3 1761 05413871 4

UNIV. OF
TORONTO
LIBRARY

Digitized by the Internet Archive
in 2010 with funding from
University of Toronto

http://www.archive.org/details/deipnosophistaru03athe

A866S

ΑΘΗΝΑΙΟΥ
ΝΑΥΚΡΑΤΙΤΟΥ
ΔΕΙΠΝΟΣΟΦΙΣΤΑΙ

ATHENAEI
NAUCRATITAE
DEIPNOSOPHISTARUM
LIBRI QUINDECIM

EX OPTIMIS CODICIBUS NUNC PRIMUM COLLATIS
EMENDAVIT AC SUPPLEVIT
NOVA LATINA VERSIONE ET ANIMADVERSIONIBUS
CUM IS. CASAUBONI ALIORUMQUE TUM SUIS
ILLUSTRAVIT
COMMODISQUE INDICIBUS INSTRUXIT

IOHANNES SCHWEIGHAEUSER
ARGENTORATENSIS
INSTITUTI SCIENTIAR. ET ART. POPULI GALLO-FRANC. SOCIUS
ANTIQUAR. LITERAR. IN SCHOLA ARGENT. PROF.

TOMUS TERTIUS.

ARGENTORATI
EX TYPOGRAPHIA SOCIETATIS BIPONTINAE
ANNO XI. (1803.)

21453
27/1/92
C

ΑΘΗΝΑΙΟΥ
ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ
ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

I.

Phagesia & Phagesiposia.

p. 275 a Ἐπιτελουμένου δὲ ἤδη τοῦ δείπνου, τῶν Φαγησίων ἑορτὴν συντελεῖσθαι νομίσαντες οἱ Κυνικοὶ, πάντων μᾶλλον ηὐφραίνοντο, καὶ ὁ Κύνουλκος ἔφη· Ἕως ἡμεῖς δειπνοῦμεν, ὦ Οὐλπιανὲ, λόγοις γὰρ ἑστιᾷ, προβάλλω σοι, παρὰ τίνι εἴρηται Φαγήσια ἑορτὴ, καὶ Φαγησιπόσια; Καὶ ὃς, ἀπορηθεὶς, ἐπισχεῖν τε κελεύσας τοὺς παῖδας τὴν περιφορὰν, καί-

ATHENAEI
DEIPNOSOPHISTARUM
LIBER SEPTIMUS.

QUUM iam ageretur coena, *Phagesiotum* festum (cui a *comedendo* nomen est) celebrari putantes Cynici, omnium maxime se oblectabant, & Cynulcus ait: Dum nos coenamus, ego tibi interim, Ulpiane, quoniam sermones tibi pro epulis sunt, quaestionem propono, *apud quemnam commemoretur festum Phagesia, & Phagesiposia?* Et ille haesitans, &, quamvis iam adversperasset, inter-

τοι ἤδη οὔσης ἑσπέρας· Οὐ συμπεριφέρομαι, ὦ σοφώτατε. ὥστε λέγειν σοι καιρὸς, ἵνα μᾶλλον καὶ b δειπνήσῃς ἥδιον. καὶ ὅς· Εἰ χάριν ὁμολογήσειας μαθὼν, λέξω. ὁμολογήσαντος δὲ, ἔφη· Κλέαρχος, Ἀριστοτέλους μαθητὴς, Σολεὺς δὲ τὸ γένος, ἐν τῷ προτέρῳ Περὶ Γραφῶν [1] (κρατῶ γὰρ καὶ τῆς λέξεως, διὰ τὸ σφόδρα μοι εἶναι προσφιλῆ) οὑτωσί πως εἴρηκε· „Φαγήσια· οἱ δὲ Φαγησιπόσια [2] προσαγορεύουσι τὴν ἑορτήν. ἐξέλιπε δὲ αὕτη, καθάπερ ἡ τῶν ῥαψῳδῶν, ἣν ἦγον κατὰ τὴν τῶν Διονυσίων· ἐν ᾗ παριόντες ἕκαστοι τῷ θεῷ [3] οἷον τιμὴν ἀπετέλουν τὴν ῥαψῳδίαν.“ Ταῦτ' εἶπεν ὁ Κλέαρχος. εἰ δ' ἀπιστεῖς, ὦ ἑταῖρε, καὶ τὸ βιβλίον κεκτημένος, οὐ φθονήσω σοί· a ἀφ' οὗ πολλὰ ἐκμαθὼν, εὐπορήσεις προβλημάτων.

Rhapsodorum festum.

1 Περιγραφῶν vulgo h. l. περὶ Γρίφων (*De Griphis*) malebat Cas. — 2 φαγησιποσία editt. vett. cum mss. tis. — 3 παριόντες ἕκαστοι τῶν θεῶν edd. cum ms. *A*. παρόντες ἑκάστοις τῶν θεῶν Epit.

mittere pueros iubens circumlationem: Non recordor, inquit, o sapientissime! Itaque commode facturus es, si tu nobis dixeris; quo copiosius etiam & libentius dein coenare potueris. Tum ille: Si gratiam mihi te habiturum, ubi id docuero, polliceris, dicam. Cui quum alter adnuisset, sic ille infit: Clearchus, Aristotelis discipulus, genere Solensis, priore libro *De Picturis* (nam ipsa verba teneo, quoniam perquam mihi carus est) in hunc fere modum scripsit: *Phagesia; alii vero Phagesiposia id festum vocant. Desitum est autem illud celebrari, quemadmodum Rhapsodorum festum, quod Bacchanalium tempore agebant; quo prodeuntes singuli rhapsodiam canebant, veluti Deo honorem tribuentes.* Haec Clearchus scripsit. Quod si tu minus credis, amice; ipsum etiam librum, cum possideam, lubens tecum communicabo: e quo multa addiscere poteris, quibus cognitis suppetet tibi difficilium quaestionum proponendarum copia. Narrat

καὶ γὰρ Καλλίαν ἱστορεῖ τὸν Ἀθηναῖον Γραμματικὴν [1] συνθεῖναι Τραγῳδίαν, ἀφ' ἧς ποιῆσαι τὰ μέλη καὶ τὴν διάθεσιν Εὐριπίδην ἐν Μηδείᾳ, καὶ Σοφοκλέα τὸν Οἰδίποδα.

II.

Lagenophoria festum.

Θαυμασάντων δὲ πάντων τὸ εὐπαίδευτον τοῦ Κυνούλκου, ὁ Πλούταρχος· Κατὰ τὸ ὅμοιον, ἔφη, καὶ ἐν Ἀλεξανδρείᾳ τῇ ἐμῇ λαγυνοφόρια [2] ἑορτή τις ἤγετο, περὶ ἧς ἱστορεῖ Ἐρατοσθένης ἐν τῷ ἐπιγραφο-
b μένῳ συγγράμματι Ἀρσινόη. λέγει δὲ οὕτως· „Τοῦ Πτολεμαίου κτίζοντος ἑορτὴν [3] καὶ θυσιῶν παντοδαπῶν γένη, καὶ μάλιστα περὶ τὸν Διόνυσον, ἠρώτησεν Ἀρσινόη τὸν Φέροντα τοὺς θαλλοὺς, τίνα νῦν ἡμέραν ἄγει, καὶ τίς ἐστιν ἑορτή; τοῦ δ' εἰπόντος, καλεῖται μὲν Λαγυνοφόρια, καὶ τὰ κομισθέντα αὐτοῖς δειπνοῦσι κατακλιθέντες ἐπὶ στιβάδων, καὶ ἐξ ἰδίας ἕκαστος λαγύνου παρ' αὐτῶν Φέροντες πίνουσιν· ὡς δ' οὖ-

1 γραμματικὸν vulgo. 2 Λαγηνοφορία edd. Λαγυνοφορία mss.
3 Forſ. ἑορτῶν. Dein vero πολλὰ γένη deſideres.

enim idem quoque, Calliam Athenienſem *Grammaticam tragoediam* compoſuiſſe, e qua Euripides in Medea & Sophocles in Oedipo & carminum exemplum & argumenti tractationem ſumſerint.

2. Eruditionem Cynulci admirantibus cunctis, Plutarchus ait: Similiter etiam Alexandriae meâ patriâ feſtum aliquod agebatur, *Lagenophoria:* quod commemoravit Eratoſthenes in libro cui titulus *Arſinoë.* Scribit autem in hunc modum: »Cum feſtorum & ſacrificiorum multifaria genera, & maxime quidem in Bacchi honorem, inſtitueret Ptolemaeus, interrogavit Arſinoë eum qui ſacram frondem geſtabat, *quemnam nunc diem ageret, quodve eſſet illud feſtum?* Qui cum dixiſſet, *vocari feſtum Lagenophoria: &, quae ſecum quisque adtuliſſet, ea hos ſtramentis discumbentes coenare, & e ſua quemque lagena domo*

τος ἀπεχώρησεν, ἐμβλέψασα πρὸς ἡμᾶς· συνοίκια γ', ἔφη, ταῦτα ῥυπαρά. ἀνάγκη γὰρ τὴν σύνοδον c γίνεσθαι παμμιγοῦς ὄχλου, θοίνην ἕωλον καὶ οὐδαμῶς εὐπρεπῆ παρατιθεμένων. Εἰ δὲ τὸ γένος τῆς ἑορτῆς ἤρεσκεν, οὐκ ἂν ἐκοπίασε δήπου τὰ αὐτὰ ταῦτα παρασκευάζουσα ἡ βασίλεια, καθάπερ ἐν τοῖς Χουσίν. εὐωχοῦνται μὲν γὰρ κατ' ἰδίαν, παρέχει δὲ ταῦτα ὁ καλέσας ἐπὶ τὴν ἑστίασιν."

III. Διὰ νυκτὸς, *per totam noctem.*

Τῶν δὲ παρόντων Γραμματικῶν τις ἀποβλέψας εἰς τὴν τοῦ δείπνου παρασκευήν, ἔφη· Εἶτα πῶς δειπνήσομεν τοσαῦτα δεῖπνα; ἴσως διὰ νυκτός· ὡς ὁ χαρίεις Ἀριστοφάνης ἐν Αἰολοσίκωνι εἶπεν, οὕτως d λέγων οἱονεὶ „δι' ὅλης νυκτός." ὡς καὶ τὸ Ὁμηρικὸν ἔχει,

Κεῖτ' ἔντοσθ' ἄντροιο τανυσσάμενος διὰ μήλων·

ἀντὶ „διὰ πάντων τῶν μήλων·" τὸ μέγεθος αὐ-

adlata bibere; ille igitur cum discessisset, adspiciens nos regina ait: *Squalida haec contubernia fuerint: necesse est enim, tam promiscuae turbae epulum rancidas esse dapes, & incondite omnino & indecore quidlibet adponi.* Quod si genus festi placuisset reginae, non gravata illa scilicet fuisset, quin epulum ipsa parandum curasset, quemadmodum fit iis feriis quae Χόες vocantur: tunc enim privatim epulantur, & epulas praebet is qui ad convivium vocavit."

3. Tum Grammaticorum, qui aderant, aliquis respiciens coenae adparatum: At tantam, inquit, dapum vim quo tandem pacto coenabimus? *Per noctem*, puto; quemadmodum festivus Aristophanes in Aeolosicone ait, sic dicens quasi *per totam noctem.* Quae etiam ratio est Homerici illius dicti,

Iacebat intra antrum, extentus per oves:

ubi nempe intelligendum, *per cunctas suas oves;* quo

τοῦ ἐμφανίζων. Πρὸς ὃν ὁ ἰατρὸς ἔφη Δάφνος· Ὠφελιμώτερά ἐστι, φίλτατε, τῷ παντὶ σώματι τὰ νυκτερινὰ δεῖπνα. τὸ γὰρ τῆς σελήνης ἄστρον πρὸς τὰς τῆς τροφῆς ἁρμόττει πέψεις, σηπτικὸν ὑπάρχον. κατὰ σῆψιν δὲ ἡ πέψις. εὐσηπτότερα γοῦν τὰ νύκτωρ
e θυόμενα τῶν ἱερείων, καὶ τῶν ξύλων τὰ πρὸς τὸ σελήνιον κοπτόμενα· καὶ τῶν καρπῶν δὲ οἱ πλεῖστοι πρὸς τὸ σελήνιον πεπαίνονται.

IV.

Ὄψον, figillatim *Piſces*:

Πολλῶν δὲ ὄντων καὶ διαφόρων τῶν παρεσκευασμένων καὶ αἰεὶ παρασκευαζομένων ἰχθύων μεγέθει τε καὶ ποικιλίᾳ, ὁ Μυρτίλος ἔφη· Εἰκότως, ἄνδρες φίλοι, πάντων τῶν προσοψημάτων ὄψων καλουμένων, ἐξενίκησεν ὁ ἰχθῦς διὰ τὴν ἐξαίρετον ἐδωδὴν μόνος οὕτως καλεῖσθαι, διὰ τοὺς ἐπιμανῶς ἐσχηκότας πρὸς
f ταύτην τὴν ἐδωδήν. λέγομεν οὖν ὀψοφάγους, οὐ

magnitudinem Cyclopis declarare poëta voluit. Cui Daphnus medicus reſpondit, dicens: Utiliores ſunt, vir amiciſſime, omnibus corporibus nocturnae coenae. Nam lunae ſidus aptum eſt ad alimentorum concoctionem, quippe vim habens putrefaciendi. Fit autem concoctio per putredinem. Quam ob cauſſam etiam celerius putreſcunt victimae noctu mactatae, & ligna quae ad lunae lucem caeduntur; & plerique fructus ad lunae lucem matureſcunt.

4. Cum autem ingens eſſet piſcium numerus, qui vel adpoſiti erant, vel idemtidem adponebantur, cum magnitudine, tum varietate inſignes, Myrtilus ait: Quamvis omnes cibi, quos cum pane comedimus, *obſonia* adpellentur, merito tamen, viri cariſſimi, piſcis quod prae caeteris eximium edulium eſt, obtinuit ut ſolus illo nomine indigetetur ab iis qui ad inſaniam usque hoc edulium adpetunt. Certe *opſophagos*, vel *obſo-*

τοὺς βέεια ἐσθίοντας· (οἷος ἦν Ἡρακλῆς, ὃς τοῖς βοείοις κρέασιν ἐπήσθιε σῦκα χλωρά·) οὐδὲ τὸν Φιλόσυκον· οἷος ἦν Πλάτων ὁ φιλόσοφος, ὡς ἱστορεῖ Φανόκριτος ἐν τῷ περὶ Εὐδόξου· (ἱστορεῖ δ' ὅτι καὶ Ἀρκεσίλας φιλόβοτρυς ἦν·) ἀλλὰ τοὺς περὶ τὴν ἰχθυοπωλίαν ἀναστρεφομένους. Φιλόμηλοι δὲ ἦσαν Φίλιππός τε ὁ Μακεδὼν, καὶ ὁ υἱὸς αὐτοῦ Ἀλέξανδρος, ὡς Δωρόθεός φησιν ἐν τῇ ἕκτῃ τῶν περὶ Ἀλέξανδρον Ἱστοριῶν. Χάρης δ' ὁ Μιτυληναῖος ἱστορεῖ, ὡς κάλλιστα μῆλα εὑρὼν ὁ Ἀλέξανδρος περὶ τὴν Βαβυλωνίαν χώραν, τούτων τε πληρώσας τὰ σκάφη, μηλομαχίαν ἀπὸ τῶν νεῶν ἐποιήσατο, ὡς τὴν θέαν ἡδίστην γενέσθαι. οὐκ ἀγνοῶ δὲ ὅτι ὄψον κυρίως καλεῖται πᾶν τὸ πυρὶ κατασκευαζόμενον εἰς ἐδωδήν. ἤτοι γὰρ ἑψόν ἐστιν, ἢ παρὰ τὸ ὠπτῆσθαι ὠνόμασται.

a

proprie, igne paratum edulium.

niorum heluones, non eos dicimus, qui bubulam comedunt; (qualis Hercules fuit, qui cum bubula carne ficis recentibus vescebatur:) nec eum qui ficis delectatur, qualis Plato philosophus fuit, ut tradit Phanocritus in libro de Eudoxo: (qui etiam Arcesilam narrat uvis esse delectatum:) sed hos, qui in piscario foro frequentes versantur. Pomis vero delectabatur Philippus Macedo, eiusque filius Alexander, ut Dorotheus scribit libro sexto Historiarum Alexandri. Chares autem Mitylenaeus narrat, Alexandrum, quum pulcerrima mala in agro Babylonio reperisset, naves eis implesse, & *pomorum pugnam* e navibus instituisse, ita ut iucundissimum esset spectaculum. Nec vero sum nescius, graecum vocabulum ὄψον proprie significare quidquid igne paratur in cibum. Etenim aut idem ac ἕψον valet, id est *coctum* vel *elixatum*; aut a verbo ὀπτᾶσθαι, ab *assando*, nomen habet.

V. Auctoris institutum.

Πολλῶν οὖν ὄντων τῶν ἰχθύων, οὓς κατὰ τὰς ἑκάστας ὥρας ἐνδαινύμεθα, ὦ θαυμασιώτατε Τιμοκρατες· (κατὰ γὰρ τὸν Σοφοκλέα,

b Χορὸς δ' ἀναύδων ἰχθύων ἐπερρόθει,
σαίνουσιν οὐραίοισιν —

οὐ „τὴν κεκτημένην" ἀλλὰ, τὰς λοπάδας. καὶ, κατὰ τὰς Ἀχαιοῦ δὲ Μοίρας,

— Πολὺς γὰρ ὅμιλος ποντίου
κύκλου [1] σοβῶν, ἐναλίος θεωρία,
χραίνοντες [2] οὐραίοισιν εὐδίαν ἁλός.)

ἀπομνημονεύσω δέ σοι [3] ἃ περὶ ἑκάστου ἔλεξαν οἱ δειπνοσοφισταί. πάντες γὰρ συνεισήνεγκαν εἰς αὐτοὺς τὰς ἐκ βιβλίων συμβολάς· ὧν τὰ ὀνόματα διὰ c τὸ πλῆθος παραλείψω.

Ὅστις ἀγοράζων ὄψον, — —
ἔξὸν ἀπολαύειν ἰχθύων ἀληθινῶν,

1 κοίλου coniectaverat Casaub. 2 χραίνοντος vulgo. 3 δή σοι malis.

5. Igitur quum omne genus adfuerit Piscium, quos quolibet anni tempore comedimus, mi admirabilis Timocrates: (nam, quod ait Sophocles,

Chorus mutorum piscium adstrepebat,
qui caudis adblandiebantur, —

non, *dominae;* sed, patinis. Et, secundum Achaei Parcas,

— Frequens enim coetus aequorei
orbis, superbe incedens, marina pompa,
turbantes caudis tranquillitatem maris.)

commemorabo tibi quae de quoque genere disputarunt Deipnosophistae. Cuncti enim suas e libellis symbolas in commune conferebant: quorum nomina propter multitudinem loquentium non adponam.

Quisquis obsonium emturus, —
cum liceat ei veris frui piscibus,

ραφανίδας ἐπιθυμεῖ πρίασθαι, μαίνεται·
φησὶν Ἄμφις ἐν Λευκάδι. Ἵνα δὲ εὐμνημόνευτά σοι
γένηται τὰ λεχθέντα, κατὰ στοιχεῖον τάξω τὰ ὀνό-
Pisces ἀλλοὶ, apud Sophoclem. ματα. Καὶ γὰρ Σοφοκλέους εἰπόντος, ἐν Αἴαντι μα-
στιγοφόρῳ, τοὺς ἰχθῦς ἐλλούς· [1]

Ἔφηκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν·

ἐζήτησέ τις, εἰ καὶ τῶν πρὸ αὐτοῦ τις τῷ ὀνόματι κέ-
χρηται. πρὸς ὃν ὁ Ζώϊλος ἔφη· Ἐγὼ δὲ, οὐκ ὢν ὀψο-
φαγίστατος, (οὕτω γὰρ Ξενοφῶν ὠνόμασεν ἐν Ἀπο- d
μνημονεύμασι, γράφων οὕτως· „Ὀψοφαγίστατός
τε καὶ βλακίστατος ἐστίν.“) οἶδα, ὅτι ὁ τὴν Τιτα-
νομαχίαν ποιήσας, εἴτ' Εὔμηλός ἐστιν ὁ Κορίνθιος, ἢ
Ἀρκτῖνος, ἢ ὅστις δήποτε χαίρει ὀνομαζόμενος, ἐν τῷ
δευτέρῳ οὕτως εἴρηκεν·

Ἐν δ' αὐτῇ πλωτοὶ χρυσώπιδες ἰχθύες ἐλλοὶ,

1 ἐλλοὺς edd. & sic dein ἐλλοῖς & ἐλλοί.

radiculas cupit emere, male sanus est:

inquit Amphis in Leucade. Quo autem facilius mandare memoriae possis ea quae dicta sunt, literarum ordine digeram piscium nomina. [Unam solummodo generalem quaestionem, de communi quodam piscium cognomento, praemittam.] Nam cum Sophocles, in Aiace flagellifero, *mutos* (ἐλλοὺς) dixerit *pisces*:

Proiecit (*in mare*) *mutis piscibus perdendum:*

quaesivit quidam, an etiam e vetustioribus aliquis eodem nomine esset usus? Cui Zoilus respondit: Ego vero, qui quidem non sum obsoniorum avidissimus, (ὀψοφαγίστατος: sic enim Xenophon dixit in Memorabilibus, ita scribens: *Obsoniorum avidissimus lurco est, & homo inertissimus.*) memini, Titanomachiae auctorem, sive Eumelus is fuerit Corinthius, sive Arctinus, sive quocumque nomine adpellari gaudeat, libro secundo sic scripsisse:

In mari fluitantes chrysopides pisces muti, (ἐλλοὶ,)

νήχοντες παίζουσι δι' ὕδατος ἀμβροσίοιο.

e Ἔχαιρε δὲ Σοφοκλῆς τῷ Ἐπικῷ κύκλῳ, ὡς καὶ ὅλα δράματα ποιῆσαι κατακολουθῶν τῇ ἐν τούτῳ μυθοποιίᾳ.

VI. Amia, piscis.

Παρατεθεισῶν οὖν ΑΜΙΩΝ, ἔφη τις· Ταύτας, Ἀριστοτέλης ἱστορεῖ, τὰ μὲν βραγχία ἔχειν καλυπτὰ, εἶναι δὲ καρχαρόδοντας, καὶ τῶν συναγελαζομένων καὶ σαρκοφάγων· χολήν τε ἔχειν ἰσομήκη τῷ ἐντέρῳ, καὶ σπλῆνα ὁμοίως. Λέγεται δὲ, ὡς θηρευθεῖσαι προσανάλλονται, καὶ ἀποτρώγουσαι [1] τὴν ὀφ μιὰν ἐκφεύγουσιν. Μνημονεύει δ' αὐτῶν Ἄρχιππος ἐν Ἰχθύσι, λέγων οὕτως·

ὅτε δ' ἤσθες ἀμίας παχείας.

καὶ Ἐπίχαρμος δ' ἐν Σειρῆσι·

[A.] Πρωΐ μέν γ' ἀτενὲς ἀπ' ἀοῦς
ἀφύας ἀποπυρίζομες

1 ἀποτραγοῦσαι edd.

natando ludebant per aquas ambrosias.

Delectabatur autem Sophocles Epico Cyclo, ita quidem ut integra etiam dramata composuerit, in quibus fabulas in illo descriptas adcurate secutus est.

6. Igitur quum adpositae essent AMIAE, dixit nonnemo: Has, Aristoteles tradit, habere branchias tectas, dentes vero serratos: esseque ex genere gregalium piscium & carnivororum: fel eis esse longitudine par intestino, pariterque splenem. Captas, narrant, sursum prosilire, arrosaque lineâ aufugere. Mentionem harum facit Archippus, in Piscibus, sic scribens:

Quum vero amias comederes pingues.

Et Epicharmus, in Sirenibus:

A. *Mane quidem statim ab aurora aphyas torrebamus*

στρογγύλας, καὶ θελφακίνας ὀπ-
τὰ [1] κρέα καὶ πωλύπους· [2]
καὶ γλυκύν γ' ἐπ' ὧν ἐπίομες
οἶνον. [B.] Οἴμοι, μοί! τάλας [3]
περὶ σᾶμά με καλοῦσα κατί-
σκα λέγει. [4] [A.] Φεῦ τῶν κακῶν!
ὄκκα πάρα τρίγλαι τε, καὶ πα- a
χῆαι [5] κἀμίαι [6] δύο
διατεταγμέναι μέσαι, φάσ-
σαί τε [7] τοσσαῦται παρῆς, [8]
σκορπίοι τε. — —

Ἀριστοτέλης δὲ, παρετυμολογῶν αὐτῆς τοὔνομα, φησὶν ὠνομάσθαι παρὰ τὸ ἅμα ἰέναι ταῖς παραπλησίαις· ἔστι γὰρ συναγελαστική. Ἰκέσιος δ' ἐν τοῖς

1 καὶ θελφάκινά γ' ἀπτάμεν coni. Casaub. Forsan καὶ θελφάκινά γ' ὀπτὰ κρ. 2 πολύπους vulgo. 3 τάλις legebam cum Sam. Petito. 4 λέγει vulgo cum sequentibus connectunt. κατέσχε λόγοις coni. Petit. An περὶ τὸ σᾶμά μ' ἀναλοῦσ' ἴσχει λόγοις? aut, ἴσχειν λέγει? 5 Vulgo ὃ καὶ παρὰ τρίγλας τε καὶ πάχνα. 6 γ' ἀμίαι corrigunt viri docti. 7 Forſ. φᾶτταί τε vel φάσσαί τε, *rhombi* vel *paſſeres piſces*. 8 Vulgo τοσαῦται παρῆν.

rotundas, & porcellorum aſſas carnes, & polypos:
& dulce ſane ad haec vinum bibebamus. B. Vae mihi, mihi! Uxorcula
circa monumentum [ſive, *circa prandii horam*] *me vocans detinuit verbis. A. O factum male!*
Quandoquidem & mullì adfuerunt, & pingues etiam amiae duae
in medio diſpoſitae: totidemque palumbi adfuerunt, & ſcorpii piſces.

Ariſtoteles, nominis rationem reddens, ait, *dictas eſſe amias eo, quod ſimul* (ἅμα) *cum ſui ſimilibus eant.* Nam gregatim is piſcis degit. Iceſius vero in libris de Ali-

περὶ Ὕλης, εὐχύλους μὲν αὐτὰς εἶναι καὶ ἁπαλὰς, πρὸς δὲ τὰς ἐκκρίσεις μέσας, ἧσσον δὲ τροφίμους.

VII. Archestrati Gastrologia.

Ὁ δὲ ὀψοδαίδαλος Ἀρχέστρατος ἐν τῇ Γαστρολογίᾳ (οὕτως γὰρ ἐπιγράφεσθαί φησι Λυκόφρων
b ἐν τοῖς Περὶ Κωμῳδίας, ὡς τὴν Κλεοστράτου τοῦ Τενεδίου Ἀστρολογίαν) [1] περὶ τῆς ἀμίας φησὶν οὕτως·

Τὴν δ' ἀμίαν φθινοπώρου, ὅταν πλειὰς καταδύνῃ,
πάντα τρόπον σκεύαζε. τί σοι τάδε μυθολογεύω;
οὐ γὰρ μὴ σὺ διαφθείρῃς γ', [2] οὐδ' ἂν ἐπιθυμῇς.
Εἰ δ' ἐθέλεις καὶ τοῦτο δαήμεναι, ὦ φίλε Μόσχε,
ὅν τινα χρὴ σε τρόπον κείνην διαθεῖναι ἄριστα·
c ἐν συκῆς φύλλοις, καὶ ὀριγάνῳ οὐ μάλα πολλῇ·
μὴ τυρὸν, μὴ λῆρον· ἁπλῶς δ' οὕτως θεραπεύσας
ἐν συκῆς φύλλοις, σχοίνῳ κατάδησον ἄνωθεν.

1 Vulgo Γαστρολογίαν. 2 Vulgo οὐ γὰρ μή σε διαφθείρῃ γ'.

mentorum Materia ſcribit, *boni ſucci eſſe hunc piſcem & tenerum, egeſtu mediocriter facilem, ſed minus nutrientem.*

7. Obſoniorum vero mirificus artifex Archeſtratus in *Gaſtrologia* (ſic enim inſcriptum fuiſſe illud carmen ait Lycophron in libris De Comoedia, quemadmodum Cleoſtrati Tenedii liber *Aſtrologia* inſcriptus eſt) de amia in hunc modum ſcribit:

Amiam autumno poſt Vergiliarum occaſum
quo libuerit modo para. Cur enim multis verbis hoc tibi dicam?
Non potes enim eam corrumpere; ne ſi velles quidem.
Quod ſi tamen & hoc diſcere cupis, dilecte Moſche,
qua ratione tu optime parare illam debeas;
dicam: cum foliis ficûs, & origano non admodum multo:
ne caſcum adhibeas, aut alias nugas! Sed poſtquam ſimpliciter ita curaveris,
foliis ficus obvolutam, funiculo ſuperne obligatam,

εἶθ' ὑπὸ θέρμην ὥσον ἔστω σποδὸν, ἐν ὥρεσὶ καιρὸν γινώσκων, ὁπότ' ἐστ' ὀπτὴ, καὶ μὴ κατακαύσῃς.
Ἔστω δ' αὐτή σοι Βυζαντίου ἐξ ἐρατεινοῦ,
εἴπερ ἔχειν ἀγαθὴν ἐθέλεις. κἂν ἐγγὺς ἄλῳ που [1]
τοῦδε τόπου, κεδνὴν λήψει. τηλοῦ δὲ θαλάσσης
Ἑλλησποντιάδος, χείρων· κἂν κεῖνον ἀμείψῃς d
Αἰγαίου πελάγους ἔναλον πόρον, οὐκ ἔθ' ὁμοία
γίνεται, ἀλλὰ καταισχύνει τὸν πρόσθεν ἔπαινον.

VIII. Epicuro praeivit Archestratus.

Οὗτος ὁ Ἀρχέστρατος ὑπὸ φιληδονίας γῆν πᾶσαν καὶ θάλασσαν περιῆλθεν ἀκριβῶς· ἐμοὶ δοκεῖ, τὰ πρὸς γαστέρα ἐπιμελῶς ἐξετάσαι βουληθείς. καὶ ὥσπερ οἱ τὰς Περιηγήσεις καὶ τοὺς Περίπλους ποιησάμενοι, μετ' ἀκριβείας ἐθέλει πάντα ἐκτίθεσθαι, ὅπου ἐστὶν ἕκαστον κάλλιστον βρωτόν. [2] τοῦτο γὰρ

1 καὶ ἐγγὺς ἅλῳ που edd. ubi ἁλές που corrigit Casaub. 2 βρωτόν τι edd. cum ms. *A*. Unde legendum videtur βρωτόν τέ ποτόν τε.

sub calidum cinerem penitus subde, & mente tempus
cognosce, quo assa fuerit, ne illam exuras.
Sit autem tibi haec ex amoeno Byzantio,
si quidem bonam habere volueris. Et sicubi capta fuerit prope
illum locum, bonam habebis. Procul vero a mari
Hellespontico deterior est: ab illoque si discesseris
Aegei pelagi freto, non amplius pari bonitate
est, sed pristinam dedecorat laudem.

8. Hic Archestratus ob voluptatis studium universam terram & maria omnia adcurate lustravit, non alio consilio, ut mihi videtur, nisi ut quae ad gulam pertinent diligenter exquireret. Et, quemadmodum ii qui Itineraria & Periplos scripserunt, sic ille exacte & adcurate omnia vult exponere, qua parte terrarum unumquodque edulii genus sit praestantissimum. Id enim ipse

e αὐτὸς ἐν τῷ προοιμίῳ ἐπαγγέλλεται τῶν καλῶν τούτων ὑποθηκῶν, ὧν πρὸς τοὺς ἑταίρους ποιεῖται Μόσχον τε καὶ Κλέανδρον, ὥσπερ ὑποτιθέμενος αὐτοῖς, κατὰ τὴν Πυθίαν, ζητεῖν,

Ἵππον Θεσσαλικὴν, Λακεδαιμονίαν τε γυναῖκα,
ἄνδρας δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.

Χρύσιππος δ' αὐτὸν, ὁ ὄντως φιλόσοφος καὶ περὶ πάντα ἀνὴρ, ἀρχηγὸν Ἐπικούρῳ φησὶ γενέσθαι, καὶ τοῖς τὰ τούτου ἐπισταμένοις, τῆς πάντα διαλυμηνα-
f μένης ἡδονῆς. Καὶ γὰρ οὐκ ἐγκαλυπτόμενος ὁ Ἐπίκουρος λέγει, ἀλλὰ μεγάλῃ τῇ φωνῇ· „Οὐ γὰρ ἔγωγε δύναμαι νοῆσαι τἀγαθὸν, ἀφελὼν μὲν τὴν διὰ χυλῶν, [1] ἀφελὼν δὲ τὴν δι' ἀφροδισίων ἡδονήν." Οἴεται γὰρ οὗτος [2] ὁ σοφὸς καὶ τὸν ἀσώτων βίον ἀνεπίληπτον εἶναι, εἴπερ αὐτῷ προσγένοιτο τὸ ἀδὲες καὶ ἴλεων. Διὸ καὶ οἱ τῆς κωμῳδίας ποιηταὶ, κατα-

1 χειλῶν edd. 2 οὕτως mssti.

in prooemio praeclararum iſtarum Praeceptionum profitetur, quas amicis ſuis Moſcho & Cleandro nuncupavit: quos admonet ut quaerant, fere ut olim Pythia edixit,

Equam e Theſſalia, mulierem Laconicam;
viros vero qui bibunt pulcrae aquam Arethuſae.

Hunc Chryſippus, veriſſimus ille philoſophus, & quovis nomine vir, *viam praeiviſſe*, ait, *Epicuro & his qui illius placita ſequuntur, ad eam quae perdit omnia voluptatem.* Nec enim obſcure Epicurus dicit, ſed alta voce clamat: *Non equidem intelligere queo bonum, detracta ſaporum voluptate, detractaque eâ quae veneris uſu percipitur.* Exiſtimat enim ſapiens ille, ne aſotorum quidem vitam improbandam eſſe, ſi demto metu adſit hilaritas. Itaque etiam Comici poëtae perſtringentes ſubinde Epicureos,

τρέχοιτές που [τῶν Ἐπικουρείων,] [1] τῆς ἡδονῆς καὶ ἀκρασίας ἐπικούρους καὶ βοηθοὺς βοῶσιν.

IX.

Comici traducunt Epicurum.

Πλάτων μὲν, ἐν Συνεξαπατῶντι, δυσχεραίνοντα ποιήσας πατέρα τῷ τοῦ υἱοῦ παιδαγωγῷ, καὶ λέγοντα· a

Α. Ἀπολώλεκας τὸ μειράκιόν μου παραλαβών, ἀκάθαρτε, καὶ πέπεικας ἐλθεῖν εἰς βίον ἀλλότριον αὐτοῦ· καὶ ποτοὺς ἐωθινοὺς πίνει διὰ σὲ νῦν, πρότερον οὐκ εἰθισμένος. [2]

Β. Εἶτ' εἰ μεμάθηκε, δέσποτα, ζῆν, ἐγκαλεῖς; 5

Α. Ζῆν δ' ἐστὶ τὸ τοιοῦτον; Β. Λέγουσιν [3] οἱ σοφοί. ὁ γοῦν Ἐπίκουρός φησιν εἶναι τἀγαθὸν τὴν ἡδονήν. Α. Δήπουθεν. [4] οὐκ ἔστιν δ' ἔχειν ταύτην ἑτέρωθεν· ἐκ δὲ τοῦ ζῆν παγκάλως b εὖτως [5] ἅπαντας, ἢ [6] τυχὸν δώσεις ἐμοί. 10

1 Verba τῶν Ἐπικουρείων ex coniect. adiecta. Aliam emendationem proposuit Casaub. 2 Alibi εἰθισμένον. 3 τὸ τοιοῦθ', ὡς λέγουσιν edd. 4 Iungunt vulgo τὴν ἡδονὴν δήπουθεν. 5 εὖ σᾶς vulgo. 6 ἢ vulgo.

voluptatis & intemperantiae epicuros (i. e. auxiliatores) *patronosque* vocant.

9. Sic Plato, in Impostore; ubi patrem inducit paedagogo filii succensentem, dicentemque:

A. *Corrupisti adolescentem commissum tibi, sceleste, & vitam sectari alienam sibi persuasisti. Per te est, quod iam potat de die a mane summo, non id solitus antea.*

B. *Eon' me culpas, here, quod didicit vivere?*

A. *Vivere tu dicis hoc?* B. *Sapientes id docent. Epicurus summum generis humani bonum voluptatem esse docuit. Hanc apiscier aliunde non est. Namque, qui vivunt bene, hi recte vivunt: nonne id concedes mihi?*

Ἑώρακας οὖν Φιλόσοφον, εἰπέ μοι, τινὰ
μεθύοντ', ἐπὶ τούτοις δ' οἷς λέγεις κηλούμενον;
Β. Ἅπαντας. οἱ γὰρ [1] τὰς ὀφρῦς ἐπηρκότες,
καὶ τὸν Φρόνιμον ζητοῦντες ἐν τοῖς περιπάτοις,
καὶ ταῖς διατριβαῖς, ὥσπερ ἀποδεδρακότα,
οὕτως, ἐπὰν γλαυκίσκος αὐτοῖς παρατεθῇ,
ἴσασιν οὗ δεῖ πρῶτον ἅψασθαι τόπου,
καὶ τὴν κεφαλὴν ζητοῦσιν, ὡς περὶ πράγματος,
ὥστ' ἐκπεπλῆχθαι πάντας.

Καὶ ἐν τῷ Ἀνδροφόνῳ δὲ ἐπιγραφομένῳ ὁ αὐτὸς Πλάτων, διαπαίξας τινὰ τῶν ἐπιεικῶν φιλοσόφων, ἐπιφέρει·

Ἑξὸν γυναῖκ' ἔχοντα κατακεῖσθαι καλὴν,
καὶ Λεσβίου χυτρῖδε λαμβάνειν δύο·
ὁ Φρόνιμός ἐστι τοῦτο, τοῦτο τἀγαθόν. [2]

1 οἱ γοῦν alibi. οἱ καὶ h. l. ed. Baſ. & Caſ. 2 ἐστι τοῦτ' ἀγαθὸν ms. *A.* ἐστι τοῦτο τἀγαθὸν ms. *Ep.* ἐστι τοῦτο τοῦτ' ἀγαθὸν edd.

A. *Vidiſtine igitur tu philoſophum quempiam vinoſum, atque iſtis ſe oblectare moribus?*
B. *Quin cuncti: adducto qui ſupercilio ambulant, quique in porticibus inque conciliabulis Sapientem quaerunt, plane tamquam aufugerit; hi, ſi glauciſcus ipſis adpoſitus fuit, qua parte ſit ſumendus, norunt memoriter; & caput anquirunt, tamquam in controverſia: ut obſtupeſcant omnes.*

Et in fabula, quae Homicida inſcribitur, idem Plato, poſtquam riſit modeſtum aliquem philoſophum, ſic pergit:

Si licet uxore cum formoſa accumbere, duasque haurire Lesbii vini amphoras: nimirum hoc ſapere recte eſt, hoc verum bonum.

Ἐπίκουρος ἔλεγε ταῦθ', ἃ νῦν ἐγὼ λέγω.
Εἰ τοῦτον ἔζων πάντες, ὃν ἐγὼ ζῶ, βίον,
οὔτ' ἄτοπος ἦν ἂν, οὔτε μοιχὸς οὐδεὶς εἷς. d
Ἡγήσιππος δ' ἐν Φιλεταίροις [1]
Ἐπίκουρος ὁ σοφὸς, ἀξιώσαντός τινος
εἰπεῖν πρὸς αὐτὸν, ὅ τι ποτ' ἐστὶ τἀγαθὸν,
ὃ διὰ τέλους ζητοῦσιν, εἶπεν ἡδονήν.
Εὖ γ', ὦ κράτιστ' ἄνθρωπε καὶ σοφώτατε·
τοῦ γὰρ μασᾶσθαι κρεῖττον οὐκ ἔστ' οὐδὲν
ἀγαθόν· πρόσεστιν ἡδονῇ γὰρ τἀγαθόν.

X.

Alii philosophi voluptarii.

Ἀσπαζόνται δὲ οὐ μόνον οἱ Ἐπικούρειοι τὴν ἡδονὴν, ἀλλὰ καὶ οἱ Κυρηναϊκοὶ καὶ Μνησιστράτειοι δὲ καλούμενοι. καὶ γὰρ καὶ [2] οὗτοι ζῆν μὲν ἡδέως χαί- e
ρουσιν, ὥς φησι Ποσειδώνιος. Οὐ μακρὰν δὲ τούτων

In his Speusippus.

ἦν καὶ Σπεύσιππος, ὁ Πλάτωνος ἀκουστὴς καὶ συγγενής. Διονύσιος γοῦν ὁ τύραννος ἐν ταῖς πρὸς αὐτὸν

1 Forſ. Φιλεταίρῳ. 2 Alterum καὶ omittunt alii.

Epicurus eadem dixit, quae nunc dicitito.
Quod ſi omnes, ego quam vivo, vitam viverent,
iam nemo adulter eſſet, nemo iniurius.

Hegeſippus vero, in Philetaeris:

Epicurus ille ſapiens, cum quis quaereret
ab eo, quid illud eſſet eximium Bonum,
quod quaeritarent: Nil niſi Voluptas, *ait.*
Salve vir optime atque ſapientiſſime!
Revera enim maius, quam mandere, haud datur
bonum. Bonum quippe in voluptate omne ineſt.

10. Non modo autem Epicurei amplexantur voluptatem, verum etiam qui *Cyrenaici* & *Mneſiſtratei* vocantur. Nam & hi, ut ait Poſidonius, vitâ gaudent voluptariâ. Nec vero multum ab his aberat *Speuſippus*, Platonis auditor & cognatus. Dionyſius quidem, in datis

Ἐπιστολαῖς, καὶ τὰ τῆς Φιληδονίας αὐτοῦ διεξερχόμενος, ἔτι τε τῆς Φιλαργυρίας, ἐρανίζεσθαί τε παρὰ πολλῶν αὐτὸν διελέγχων, ὀνειδίζει καὶ τὸν Λασθενείας τῆς Ἀρκαδικῆς [1] ἑταίρας ἔρωτα. ἐπὶ πᾶσίν τε λέγει τάδε· „Σὺ τισὶν Φιλαργυρίαν ὀνειδίζεις; αὐτὸς f μηδὲν ἐλλελοιπὼς [2] αἰσχροκερδίας; τί γὰρ οὐ πεποίηκας; οὐχ ὑπὲρ ὧν Ἑρμείας ὤφειλεν αὐτὸς ἐκτετικὼς, ἔρανον συνάγειν ἐπιχειρεῖς;“

XI.

Περὶ δὲ τοῦ Ἐπικούρου Τίμων ἐν τρίτῃ Σίλλων φησί· Sed maxime Epicurus cum ſuis.

Γαστρὶ χαριζόμενος τῆς οὐ λαμυρώτερον οὐδέν.

Ταύτης γὰρ ἕνεκεν ὁ ἀνὴρ, καὶ τῆς ἄλλης τῆς κατὰ σάρκα ἡδονῆς, ἐκολάκευε καὶ Ἰδομενέα καὶ Μητρόδωρον. Καὶ αὐτὸς δέ που ὁ Μητρόδωρος, οὐκ ἀποκρυa πτόμενος τὰς καλὰς ταύτας θέσεις, φησί· „Περὶ

1 τῆς Σαρδικῆς vulgo h. l. 2 ἐκλελειπὼς edd.

ad eum Epiſtolis, cum voluptatis ſtudium, tum divitiarum inſuper cupiditatem eius commemorans, obiiciensque quod pecuniam a multis corraſiſſet, denique etiam Laſtheneae Arcadici ſcorti amorem ei exprobrat. Quibus omnibus haec ſubiicit verba: *Tu nonnullis avaritiam exprobras; cum ipſe ad turpis lucri ſummum ſtudium nihil reliqui feceris? Quid enim non commiſiſti? Nonne, poſtquam pro Hermea quod ille debuerat aes alienum perſolviſti, nunc ſtipem ipſe colligere adgrederis?*

11. De *Epicuro* vero Timon, tertio libro Sillorum, ait:

Ventri indulgens, quo impudentius nil eſt.

Nam huius cauſſa, reliquaeque cauſſa voluptatis quae carne percipitur, adulatus etiam ille homo eſt Idomeneo & Metrodoro. Porro vero ipſe quoque *Metrodorus*, minime diſſimulans pulcra iſta praecepta, ait alicu-

γαστέρα γὰρ, ὦ Φυσιολόγε Τιμόκρατες, περὶ γαστέρα ὁ κατὰ φύσιν βαδίζων λόγος τὴν ἅπασαν ἔχει σπουδήν." Ἐπίκουρος γὰρ ἦν ὁ τούτων διδάσκαλος, ὃς καὶ βοῶν ἔλεγεν· „Ἀρχὴ καὶ ῥίζα παντὸς ἀγαθοῦ ἡ τῆς γαστρὸς ἡδονή, καὶ τὰ σοφὰ καὶ τὰ περιττὰ εἰς ταύτην ἔχει τὴν ἀναφοράν." καὶν τῷ Περὶ Τέλους δέ φησιν οὕτω πως· „Οὐ γὰρ ἔγωγε δύναμαι νοῆσαι τἀγαθὸν, ἀφαιρῶν μὲν τὰς διὰ χυλῶν ἡδονὰς, ἀφαιρῶν δὲ τὰς δι' ἀφροδισίων, ἀφαιρῶν δὲ τὰς δι' ἀκροαμάτων, ἀφαιρῶν δὲ τὰς διὰ μορφῆς κατ' b ὄψιν ἡδείας κινήσεις." Καὶ προελθών· „Φύσει, λέγει, [1] τιμητέον τὸ καλὸν, καὶ τὰς ἀρετὰς, καὶ τὰ τοιαυτότροπα, ἐὰν ἡδονὴν παρασκευάζῃ· ἐὰν δὲ μὴ παρασκευάζῃ, χαίρειν ἐατέον."

XII. Poëtae voluptatem laudantes.

Πρότερος δὲ τοῦ Ἐπικούρου Σοφοκλῆς ὁ τραγῳδιοποιὸς, ἐν Ἀντιγόνῃ, περὶ τῆς ἡδονῆς τοιαῦτ' εἴρηκεν·

1 Vulgo, καὶ προελθὼν φησὶ λέγειν.

bi: »Ad ventrem enim, o Naturae ſtudioſe Timocrates, ad ventrem omne ſtudium refert ratio ſecundum naturam progrediens.« Epicurus quippe hoc docuerat, qui alta voce clamans dixit: *Principium & radix omnis boni eſt ventris voluptas: &, ad hanc ſapientia & exquiſita doctrina refertur.* Et in libro de Fine ſic ferme ſcribit: *Non enim equidem habeo quod intelligam bonum, detrahens eas voluptates quae ſapore percipiuntur, detrahens eas quae uſu Veneris, detrahens eas quae auditu & cantibus; detrahens denique eas ſuaves motiones, quae ex formarum intuitu percipiuntur oculis.* Tum paululum progreſſus: *Naturâ*, inquit, *aeſtimandum eſt honeſtum, & virtutes, & his ſimilia, ſi quidem voluptatis ſint efficientia: at, voluptatem niſi efficiant, longum valere ea iubeamus.*

12. Ante Epicurum vero *Sophocles*, Tragoediarum ſcriptor, in Antigone, de Voluptate haec dixit:

— — Τὰς γὰρ ἡδονὰς Sophocles.
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ' ἐγὼ
ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν.
c Πλούτει τε γὰρ κατ' οἶκον, εἰ βούλει, μέγα,
καὶ ζῇ τύραννον σχῆμ' ἔχων· ἐὰν δ' ἀπῇ
τούτων τὸ χαίρειν, τἄλλ' ἐγὼ καπνοῦ σκιᾶς
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν.

Φιλέταιρος, Κυνηγίδι[1] Philetaerus.
Τί δεῖ[2] γὰρ ὄντα θνητὸν, ἱκετεύω, ποιεῖν;
πλὴν ἡδέως ζῆν τὸν βίον καθ' ἡμέραν·
ἐάν γ' ἔχῃ τις[3] ὁπόθεν. ἀλλὰ δεῖ σκοπεῖν
τοῦτ' αὐτὸ, [4] τἀνθρώπει' ὁρῶντα πράγματα·
d εἰς αὔριον δὲ μὴ Φροντίζειν εἴ τι καὶ [5]
ἔσται. περίεργόν ἐστιν ἀποκεῖσθαι πάνυ
ἕωλον ἔνδον ἀργύριον. —

1 Κυναγίδι vulgo h. l. Κυνηγίᾳ Suid. 2 Τί δὴ edd. 3 Vulgo ἐὰν ἔχῃ τις. 4 τοῦτ' αὖ τὰ τἀνθρ. ed. Ven. & Baf. τοῦτ' αὐτὰ τἀνθρ. ed. Caſaub. 5 Vulgo εἰς αὔριον δὲ φροντίζειν εἴ τε absque καὶ & absque negante particula.

— — *Voluptates enim*
qui deſerit negligitque, non ego hunc cenſeo
vivere, ſed animatum eſſe cadaver.
Eſto domi, ſi vis, locuples admodum,
vive tyranni habitu faſtuque: his ſi abeſt
mens laeta, reliqua ego fumi umbrá
non emerim homini prae voluptate.

Philetaerus, in Venatrice:

Quid, quaeſo, facere mortalem oportet?
niſi, ſuaviter vitam ut degat in diem;
modo habeat unde. Sed ſpectare oportet
hoc ipſum unum, res humanas reputantem:
in craſtinum vero non anxie curare, an ſimus perinde
habituri. Nimis curioſum eſt, reponere
iatus pridianam pecuniam. —

καὶ ἐν Οἰνοπίωνι δέ ὁ αὐτὸς φησί·

— — Θνητῶν δ' ὅσοι
ζῶσιν κακῶς, ἔχοντες ἄφθονον βίον,
ἐγὼ μὲν αὐτοὺς ἀβλίους εἶναι λέγω.
οὐ γὰρ θανών γε δήπουθ' ἕγχελυν φάγοις,
οὐδ' ἐν νεκροῖσι πέπτεται γαμήλιος.

XIII. Apollodorus Carystius.

Ἀπολλόδωρος δ' ὁ Καρύστιος, ἐν Γραμματιδιοποιῷ·

Ὦ πάντες ἄνθρωποι, τί τὸ ζῆν ἡδέως παρέντες, ἐπιμελεῖσθε τοῦ κακῶς ποιεῖν, πολεμοῦντες ἀλλήλους; [1] Πότερα, πρὸς τῶν θεῶν, ἐπισταταῖ τις τοῦ βίου νυνὶ τύχη ἄγροικος ἡμῶν, οὔτε παιδείαν ὅλως εἰδυῖα· τί τὸ κακὸν, ἢ τί ποτε δὴ τἀγαθὸν [2] ἔστ', ἀγνοοῦσα παντελῶς· εἰκῇ τε πῶς ἡμᾶς κυλινδοῦσ' ὅν τιν' ἂν τύχῃ τρόπον;

1 ἀλλήλοις lego cum Grotio. 2 ἢ τί ποτ' ἦ τἀγαθὸν edd.

Idem, in Oenopione, ait:

— — *Mortalium*
qui non bene vivunt cum divitiae ſuppetant,
hos omnium eſſe praedico miſerrimos.
Nam mortuus non comedes anguillas, neque
coquuntur in orco liba nuptialia.

13. Apollodorus vero Caryſtius, in Libellifice: (*ſive*, Litium procuratore:)

Heu quotquot eſtis! cur, vitâ laetabili
omiſſâ, id agitis ut ſe res habeant male,
bellantes alii in alios? Pro Superûm fidem!
An aliquis vitam noſtram Genius regit
illiteratus, inſicetus, barbarus?
qui, quid bonum ſit, quidque ſit contra malum,
ignoret plane: quique nos, ut fors tulit,
huc illud verſet impetu temerario?

Οἶμαι γέ. τίς γὰρ μᾶλλον ἂν προείλετο,
Ἕλλην ἀληθῶς οὖτα, λεπομένους ὁρᾶν
f αὐτοὺς ὑΦ' αὐτῶν, καὶ καταπίπτοντας νεκρούς·
ἔξον ἱλαροὺς, παίζοντας, ὑποπεπωκότας,
αὐλουμένους ὠδῇ; Λέγ' αὐτὴ, γλυκυτάτη, [1]
ἔλεγχ' ἄγροικον οὖσαν ἡμῶν τὴν τύχην.
καὶ προελθών·
Οὐ τοῦτο τὸ ζῆν ἐστι τὸν καλούμενον [2]
Θεῶν ἀληθῶς βίον. [3] Ὅσῳ δ' ἡδίονα
τὰ πράγματ' ἐν ταῖς πόλεσιν ἦν ἂν, ἢ τὰ νῦν,
εἰ μεταβαλόντες τὸν βίον διήγομεν;
a Πίνειν Ἀθηναίους ἅπαντας [4] τοὺς μέχρι
ἐτῶν τριάκοντ' ἐξιέναι· τοὺς δ' ἱππέας
ἐπὶ κῶμον εἰς Κόρινθον ἡμέρας δέκα,
στεΦάνους ἔχοντας καὶ μύρον· πρὸ ἡμέρας [5]

1 αὐλουμένους ᾠδῇ λέγειν. ὦ γλυκυτάτη, edd. 2 τὸ καλούμενον edd. 3 Interrogandi signum interponit Grotius. 4 καὶ τοὺς μέχρι edd. 5 Iungunt alii καὶ μύρον πρὸ ἡμέρας, alii ad praecedentia referentes, alii & sequentia.

Credo equidem. Nam, quis Graeco ingenio praeditus
optaret potius cernere excoriarier
alios ab aliis, cadere in terram mortuos;
quam laetos, ludibundos, inter pocula
ad tibiam cantantes? O dulcissima,
refelle nobis istum genium barbarum.

Idem, paulo post:

Nonne illud vere est coelitum quod dicitur
vitam agere? Quanto res se haberent suavius
nostras per urbes, istum vivendi modum
si mutaremus placitis mollioribus?
Athenienses usque ad tricenarios
potatum ut irent omnes; equites pergerent
Corinthum commissaturi in denos dies,
sertati & unguentati inde a diluculo;

τοὺς τὴν ῥάφανον πωλοῦντας ἔψειν Μεγαρέων·[1]
εἰς τὸ βαλανεῖον ἀπιέναι τοὺς συμμάχους·
κεραννύναι τὸν οἶνον Εὐβοῆς·[2] τρυφὴ,
καὶ βίος ἀληθῶς. Ἀλλ' ἀπαιδεύτῳ τύχῃ
δουλεύομεν. — B

XIV.

Tantalus, voluptatis ſtudioſus.

Φιλήδονον δὲ οἱ ποιηταὶ καὶ τὸν ἀρχαῖον Φασι γενέσθαι Τάνταλον. ὁ γοῦν τὴν τῶν Ἀτρειδῶν ποιήσας Κάθοδον „ἀφικόμενον αὐτὸν, λέγει, πρὸς τοὺς θεοὺς, καὶ συνδιατρίβοντα, ἐξουσίας τυχεῖν παρὰ τοῦ Διὸς αἰτήσασθαι ὅτου ἐπιθυμεῖ. τὸν δὲ, πρὸς τὰς ἀπολαύσεις ἁπλήστως διακείμενον, ὑπὲρ αὐτῶν τε τούτων μνείαν ποιήσασθαι, καὶ τοῦ ζῆν τὸν αὐτὸν τρόπον τοῖς θεοῖς. ἐφ' οἷς ἀγανακτήσαντα τὸν Δία, τὴν μὲν εὐχὴν ἀποτελέσαι διὰ τὴν ὑπόσχεσιν· ὅπως C δὲ μηδὲν ἀπολαύῃ τῶν παρακειμένων, ἀλλὰ διατελῇ

1 ἀληθῶς Μεγαρίας legit Grotius. 2 τοῦτ' ἂν τρυφὴ edd. Quae tenens Grotius, praecedentia ſic conſtituit: κεραννύναι τὸν Εὐβοῆ.

venirent Megaris braſſicam qui venderent;
adirent laeti noſtra ſocii balnea,
miſcerent vinum Euboicum. O deliciae merae!
o vera vita! Nunc Genio immiti ac fero
ſervimus.

14. Voluptatis vero ſtudioſum etiam priſcum illum *Tantalum* fuiſſe aiunt poëtae. Auctor quidem *Reditus Atridarum* ſcribit: »Poſtquam ad Deos ille perveniſſet, cum illorum conſuetudine uteretur, poteſtatem nactum eſſe precandi a Iove quidquid cuperet. Illum vero, voluptatum deſiderio inſatiabili captum, illarum fruitionem & vitam ſimilem vitae Deorum petiviſſe. Quibus precibus indignatum Iovem, praeſtitiſſe illi quidem quod optaſſet, quoniam pollicitus fuiſſet: at, ne frueretur adpoſitis, ſed turbatus ſemper & anxius eſſet, ſu-

ταραττόμενος, ὑπὲρ τῆς κεφαλῆς ἐξήρτησεν αὐτῷ πέτρον, δι' ὃν [1] οὐ δύναται τῶν παρακειμένων τυχεῖν οὐδενός." Καὶ τῶν Στωϊκῶν δέ τινες συνεφήψαντο ταύτης τῆς ἡδονῆς. Ἐρατοσθένης γοῦν ὁ Κυρηναῖος, μαθητὴς γενόμενος Ἀρίστωνος τοῦ Χίου, ὃς ἦν εἷς τῶν ἀπὸ τῆς Στοᾶς, ἐν τῷ ἐπιγραφομένῳ Ἀρίστωνι, παρεμφαίνει τὸν διδάσκαλον ὡς ὕστερον ὁρμήσαντα ἐπὶ τρυφὴν, [2] λέγων ὧδε· "Ἤδη δέ ποτε καὶ τοῦτον πεφώρακα τὸν τῆς ἡδονῆς καὶ ἀρετῆς μεσότοιχον διορύττοντα, καὶ ἀναφαινόμενον παρὰ τῇ ἡδονῇ." Καὶ Ἀπολλοφάνης [3] δὲ (γνώριμος δὲ ἦν καὶ οὗτος τοῦ Ἀρίστωνος) ἐν τῷ Ἀρίστωνι, καὶ αὐτὸς οὕτως ἐπιγράψας τὸ σύγγραμμα, ἐμφανίζει τὴν τοῦ διδασκάλου φιληδονίαν. Περὶ δὲ Διονυσίου τοῦ Ἡρακλεώτου τί δεῖ καὶ λέγειν; ὃς ἄντικρυς ἀποδὺς τὸν τῆς ἀρετῆς χιτῶνα, ἄνθινα μετημφιάσατο, καὶ Μεταθέμε-

Aristo Chius, Stoicus.

Dionysius Heracleota.

1 δι' ὧν edd. 2 εἰς τρυφὴν edd. ἐπὶ τὴν τρυφὴν ms. *Ep.* 3 Ἀφάνης vulgo.

per caput eius saxum suspendisse; quo factum, ut rebus praesentibus frui non posset." Fuerunt autem & e Stoicis nonnulli, qui idem genus voluptatis consectarentur. Eratosthenes quidem Cyrenaeus, qui discipulus fuerat *Aristonis Chii*, Stoici philosophi, in libro qui *Aristo* inscribitur, significat praeceptorem procedente tempore ad luxuriam se adplicuisse. Verba eius haec sunt: *Iam vero etiam hunc subinde deprehendi, perfosso pariete inter voluptatem virtutemque intergerino, apud voluptatem repertum.* Similiter & Apollophanes, qui & ipse discipulus fuerat Aristonis, in *Aristone* (nam & hic eodem titulo librum edidit) voluptatis studium praeceptoris significavit. De *Dionysio* vero *Heracleota* quid opus est verbis? qui palam exuto virtutis indumento, sumtaque floribus variegata

νος καλούμενος ἔχαιρε, καίτοι γηραιὸς [1] ἀποστὰς e
τῶν τῆς Στοᾶς λόγων, καὶ ἐπὶ τὸν Ἐπίκουρον μετα-
πηδήσας. περὶ οὗ οὐκ ἀχαρίτως ὁ Τίμων ἔφη·

Ἡνίκ' ἐχρῆν δύνειν, νῦν ἄρχεται ἡδύνεσθαι.

XV.

Ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι. [2]

Alphestes, piscis.

Ἀπολλόδωρος ὁ Ἀθηναῖος, ἐν τῷ τρίτῳ Περὶ Σώ-
φρονος, τῷ εἰς τοὺς Ἀνδρείους Μίμους, προθεὶς τὸ „κα-
ταπυγοτέραν τ' ἀλφηστᾶν" [3] φησίν· „Ἰχθῦς τινες οἱ
ΑΛΦΗΣΤΑΙ, τὸ μὲν ὅλον κιρροειδεῖς, [4] πορφυρίζον- f
τες δὲ κατά τινα μέρη. φασὶ δὲ αὐτοὺς ἁλίσκεσθαι
σὺν δύο, καὶ ζαίνεσθαι τὸν ἕτερον ἐπὶ τοῦ ἑτέρου [5]
κατ' οὐρὰν ἑπόμενον. ἀπὸ τοῦ οὖν κατὰ τὴν πυγὴν
θατέρῳ τὸν ἕτερον ἀκολουθεῖν, τῶν ἀρχαίων τινὲς τοὺς
ἀκρατεῖς καὶ καταφερεῖς [6] οὕτω καλοῦσιν. Ἀριστο-

1 γεραιὸς edd. 2 παύεσθαι mssti. 3 ταλφηστᾶν edd. cum ms. *A.* Forf. τᾶν ἀλφηστᾶν. 4 κιρροειδεῖς edd. 5 ἐπὶ τῷ ἑτέρῳ ms. *Ep.* 6 Alii καταφορεῖς.

veste, gavisus est *Mutatus* cognominari; quum iam senex, desertâ Stoae doctrinâ, ad Epicurum defeciſſet. De quo haud invenuste Timon dixit:

Quo tempore ad occaſum ſpectare oportebat, tunc voluptatem incipit ſectari.

Eſt amandi, eſt nuptias contrahendi tempus: eſt vero etiam tempus finem faciendi.

15. Apollodorus Athenienſis, tertio de Sophrone libro, quo Commentarius in Viriles Mimos continetur, praepoſitis verbis καταπυγοτέραν τᾶν ἀλφηστᾶν, (id eſt, *libidinoſiorem alpheſtis*) haec ſubiicit: »Sunt *Alpheſtae* piſces quidam, in totum quidem fulvi coloris, ſed nonnullis in partibus purpurei. Quos aiunt ſemper binos ſimul capi, reperirique alterum ad caudam alterius ſequentem. Igitur ab hoc ipſo, quod alter alterum ad nates ſequitur, nonnulli veterum homines intemperantes libidinoſosque *alpheſtas* vocant.« Ariſtoteles ve-

τέλης δ' ἐν τῷ Περὶ Ζώων, μονάκανθον εἶναι καὶ κιρρὸν τὸν ἀλφηστικόν. μνημονεύει δ' αὐτοῦ [1] καὶ Νου-
a μήνιος ὁ Ἡρακλεώτης ἐν Ἁλιευτικῷ, οὕτως·

Φυκίδας, ἀλφηστήν τε, καὶ ἐν χροιῇσιν ἐρυθρὸν
σκορπίον. —

καὶ Ἐπίχαρμος, ἐν Ἥβας γάμῳ·

Μῦες, ἀλφησταί τε, [καὶ] [2] κορα-
κῖνοι κοριοειδέες. [3]

Μνημονεύει δ' αὐτοῦ καὶ Μίθαικος [4] ἐν Ὀψαρτυτικῷ.

XVI. ANTHIAS, *callichthys*.

ΑΝΘΙΑΣ, κάλλιχθυς. Τούτου μέμνηται Ἐπίχαρμος, ἐν Ἥβας γάμῳ·

b Καὶ σκιφίας χρόμιός θ', ὃς ἐν τῷ
ἦρι, κατ' τὸν Ἀνάνιον, [5]
ἰχθύων πάντων ἄριστος,
ἀνθίας δὲ χείματι.

1 δ' αὐτᾶν ms. *A*. 2 καὶ ex coni. adiectum. 3 κηριοειδέες edd. *similes favis*. 4 Μύθαικος edd. 5 καπτὸν ἀνεμον edd.

ro, in opere de Animalibus, unicam ſpinam habere, & fulvi eſſe coloris *alpheſticum*, ait. Eiusdem meminit Numenius Heracleotes in Halieutico (id eſt, libro de Piſcatu) ſic:

Phycidas, alpheſtamque, & in cute rubrum
ſcorpium.

Et Epicharmus, in Hebes Nuptiis:

Muſculi, alpheſtaeque, & pupulis ſimiles coracini.

Meminit eiusdem piſcis etiam Mythaecus, (*ſive*, Mithaecus,) in Opſartytico, id eſt, in Arte Culinaria.

16. ANTHIAS, *callichthys*. Huius meminit Epicharmus in Hebes Nuptiis:

Et xiphias, & chromius, qui verno tempore, ut ait
Ananius,
piſcium omnium eſt optimus, anthias vero hyeme.

Λέγει δὲ Ἀνάνιος οὕτως·

Ἔαρι μὲν χρόμιος ἄριστος,
ἀνθίας δὲ χειμῶνι.
τῶν καλῶν δ' ὄψων ἄριστον
καρὶς ἐκ συκέης Φύλλου.
ἡδύ γ' ἐσθίειν χιμαίρης
φθινοπωρισμῷ κρέας·
δέλφακος δ', ὅταν τραπέωσιν
καὶ πατέωσιν, ἐσθίειν.
καὶ κυνῶν αὕτη τόθ' ὥρη,
καὶ λαγῶν καλωπέκων·
οἷος αὖ τόθ' ὅταν θέρος τ' ᾖ, [1]
κ' ἠχέται βαβράζωσιν.
εἶτα δ' ἐστὶν ἐκ θαλάσσης
θύννος οὐ κακὸν βρῶμα,
ἀλλὰ πᾶσιν ἰχθύεσσιν
ἐμπρεπὴς ἐν μυττωτῷ.
βοῦς δὲ πιανθεὶς, δοκέω μὲν,
καὶ μέσων νυκτῶν ἡδύς

1 Vulgo οἷος αὐτὸ τόθ' ὅταν θέρος τε ᾖ.

Verba autem Ananii haec ſunt:

Vere quidem optimus chromius, anthias autem hyeme.
Praeſtantium vero obſoniorum praeſtantiſſimum eſt locuſta e ficus ſolio.
Eſu quidem ſuavis eſt capellae caro autumno;
porcelli vero, cum (uvas) exprimunt calcantque.
Et catuli tunc quoque tempeſtivi ſunt, & lepores, vulpesque:
ovis autem, vigente aeſtate, cum ſtridunt cicadae.
Deinde eſt e mari thynnus cibus non ſpernendus,
ſed piſces inter omnes eminet cum alliato.
Bos vero ſaginatus, & media nocte, ut videtur, gratus eſt,

χ' ἡμέρης. —
Τῶν τοῦ Ἀνανίου πλεόνων ἐμνημόνευσα, νομίζων καὶ τούτων ὑποθήκας τοῖς λάγνοις ταύτας ἐκτεθήσεσθαι.

XVII. Idem Callionymus & Ellops.

Ἀριστοτέλης δ' ἐν τῷ Περὶ τῶν Ζώων ἠθῶν· „Ὅπου ἐὰν ἀνθίας ᾖ, φησὶν, οὐκ ἐστὶ θηρίον. ᾧ σημείῳ χρώμενοι οἱ σπογγεῖς κατακολυμβῶσι, καλοῦντες αὐτὸν ἱερὸν ἰχθύν." Μνημονεύει δ' αὐτοῦ καὶ Δωρίων ἐν τῷ Περὶ Ἰχθύων· „Τὸν δ' ἀνθίαν τινὲς καὶ καλλιχθυν καλοῦσιν, ἔτι δὲ καλλιώνυμον, καὶ
d ἔλλοπα." Ἰκέσιος δ' ἐν τοῖς Περὶ Ὕλης, ὑπὸ μέν τινων λύκον, ὑπὸ δ' ἄλλων καλλιώνυμον. εἶναι δὲ αὐτὸν χονδρώδη καὶ εὔχυλον καὶ εὐέκκριτον, οὐκ εὐστόμαχον δέ. Ἀριστοτέλης δὲ, καὶ καρχαρόδοντα εἶναι τὸν κάλλιχθυν, σαρκοφάγον τε καὶ συναγελαζόμενον. Ἐπίχαρμος δ', ἐν Μούσαις, τὸν μὲν ἔλλο-

& interdiu.
Plures ex Ananio verſus commemoravi, catillonibus ratus eos etiam praeceptorum loco futuros.

17. Ariſtoteles, in eo libro quo de Animalium moribus agitur: » Ubicumque *anthias* eſt, inquit, nullum eſt maleficum animal. Quo indicio fidentes ſpongiarum piſcatores urinantur; eaque de cauſſa *ſacrum piſcem* appellant.« Meminit eius etiam Dorion, libro De Piſcibus. » *Anthiam*, inquit, *nonnulli & callichthyn vocant, itemque callionymum & ellopem.*« Iceſius vero, in libris de Materia, ait: » a nonnullis *lupum*, ab aliis *callionymum* dici: eſſe autem eum ſolida firmaque carne, boni ſucci, facilis egeſtionis; ſed ſtomacho minus commodum.« Porro Ariſtoteles tradit »ſerratos dentes habere callichthyn, eſſeque carnivorum, & gregalem.« Epicharmus autem, in Muſis, *hellopem* quidem commemo-

πα καταριθμεῖται· τὸν δὲ κάλλιχθυν ἢ καλλιώνυμον, ὡς τὸν αὐτὸν ὄντα, σεσίγηκεν. λέγει δὲ περὶ τοῦ ἔλλοπος οὕτως·

— — — τόν τε
πολυτίματον ἔλλοπα.

ὁ δὲ αὐτός·

χαλκοῦ ὤνιον ἕνα μόνον κα
τῆνον ὁ Ζεὺς ἔλλαβεν· e
κἠκελήσατο κατθέμεν οἱ, καὶ
τᾷ δάμαρτι θάτερα. [1]

Δωρίων δ', ἐν τῷ Περὶ Ἰχθύων, διαφέρειν φησὶν ἀνθίαν καὶ κάλλιχθυν, ἔτι τε καλλιώνυμον καὶ ἔλλοπα.

XVIII. SACER PISCIS, quis?

Τί δ' ἐστὶν ὁ καλούμενος ἱερὸς ἰχθῦς; Ὁ μὲν τὴν Τελχινιακὴν [2] Ἱστορίαν συνθεὶς, εἴ τ' Ἐπιμενίδης ἐστὶν ὁ Κρὴς, ἢ Τηλεκλείδης, εἴ τ' ἄλλος τις· „ἱερούς, φησὶν, εἶναι ἰχθύας, δελφῖνας καὶ πομπί-

1 Vulgo ista sic scribuntur: χαλκὸς ὤνιος ἕνα μόνον καίκηνον ὁ Ζεὺς ἔλαβεν κηκελήσατο. κατθέμεν αὐτῷ τε εἰκαίται δάμαρτι θατέρᾳ. (Θατέρῳ ms. *A.*) 2 Τελχινικὴν ms. *Ep.*

rat; callichthyn vero aut callionymum, utpote eumdem cum illo, silentio praeteriit. Loquitur autem de *ellope* in hunc modum:

Et pretiosum ellopem.

Tum idem:

Aere venalem unum solummodo illum Iupiter accepit, iussitque adponi sibi, & uxori reliqua.

Dorion vero, libro de Piscibus, *differre* ait *anthiam & callichthyn, itemque callionymum & ellopem.*

18. Quis est vero, qui *Sacer* dicitur *piscis?* Telchiniacae quidem Historiae auctor, sive Epimenides is est Cretensis, sive Teleclides, sive quis alius: *sacros*, ait, *pisces esse, delphinos & pompilos.* »Est autem [inquit]

λους. ἔστι δ' ὁ πομπίλος, ζῶον ἐρωτικὸν, ὡς ἂν καὶ
f αὐτὸς γεγονὼς ἐκ τοῦ οὐρανίου αἵματος ἅμα τῇ Ἀ-
φροδίτῃ." Νίκανδρος δ', ἐν δευτέρῳ Οἰταϊκῶν, φησίν·

Πομπίλος, ὃς ναύτῃσιν ἀδημονέουσι κελεύθους
μηνύσας Φιλέρωσι, [1] καὶ ἄφθογγός περ ἀμύ-
νων. [2]

a Ἀλέξανδρος δ' ὁ Αἰτωλὸς, ἐν Κρίκᾳ, [3] εἰ γνήσιον τὸ
ποιημάτιον·

Πηδαλίῳ ἄκρῳ ἔπι Πομπίλος ἀνιόχευεν,
εἰς τὰ κάτω [4] κατόπισθε, θεοῖς ὕπο, πομπίλος
ἰχθῦς.

Παγκράτης δὲ ὁ Ἀρκὰς, ἐν τοῖς Θαλασσίοις ἔργοις
ἐπιγραφομένοις, προειπών·

Πομπίλος, ὃν καλέουσιν ἁλίπλοοι ἱερὸν ἰχθῦν·
διηγεῖται ὡς „οὐ μόνον τῷ Ποσειδῶνι ὁ πομπίλος

1 Vulgo μηνῦσαι φιλέρωσιν. 2 ἀμείναν edd. 3 An Κίρκα? Κρικαεῖ edd. unde Τριταεῖ vel Ἀλιεῖ ſuſpicatus erat Caſaub. 4 ἀνιοχεύει, καὶ τὰ κάτω edd. ἀνιοχεύνης τὰ κάτω Ms. (nempe ms. *A.* nam deſunt haec in ms. *Ep.*)

pompilus, animal in amorem propenſum; quippe & ipſe coeleſti e ſanguine ſimul cum Venere prognatus. « Nicander vero, libro ſecundo Oetaicorum, ait:

Pompilus, qui nautis anxiis viam tutam
monſtrat ad amorem propenſis, & quamvis mutus, praeſidio eſt.

Alexander vero Aetolus, in Crica, ſi genuinum eſt poëmation:

Summo in clavo Pompilus aurigabatur,
infra a tergo, Diis auctoribus, pompilus piſcis.

Pancrates autem Arcas, in poëmate quod Opera Marina inſcribitur, poſtquam dixit,

Pompilus, quem Sacrum piſcem vocant mare navigantes:

narrat deinde »non modo Neptuno carum eſſe pompi-

ἐστὶ διὰ τιμῆς, ἀλλ' ὅτι καὶ τοῖς τὴν Σαμοθράκην κατέχουσιν θεοῖς. ἁλιέα γοῦν τινα πρεσβύτην τῷ b ἰχθύϊ τούτῳ κόλασιν ὑποσχεῖν, ἔτι τοῦ χρυσοῦ γένους κατ' ἀνθρώπους ὄντος. ὄνομα δ' ἦν αὐτῷ Ἐπωπεύς, καὶ ἐξ Ἰκάρου ἦν τῆς νήσου. καὶ τοῦτον οὖν ἅμα τῷ υἱῷ ἁλιεύοντα, καὶ οὐκ εὐτυχήσαντα ἄλλων ἰχθύων ἐν τῇ ἄγρᾳ ἢ πομπίλων, οὐκ ἀποσχέσθαι τῆς τούτων ἐδωδῆς, ἀλλὰ πάντας μετὰ τοῦ υἱοῦ καταθοινηθῆναι, καὶ μετ' οὐ πολὺ δίκας ἐκτίσαι τῆς δυσσεβείας. κῆτος γὰρ ἐπελθὸν τῇ νηὶ τὸν Ἐπωπέα ἐν ὄψει τοῦ παιδὸς καταπιεῖν. " Ἱστορεῖ δ' ὁ Παγκρά- c της, ὡς „ καὶ πολέμιός ἐστιν ὁ πομπίλος τῷ δελφῖνι, καὶ ὅτι οὐδ' οὗτος ἀτιμώρητος ἐκφεύγει πομπίλου φαγών. ἀχρεῖος οὖν γίνεται καὶ σφαδάζων, ἐπειδὰν φάγῃ, καὶ ἐπὶ τοὺς αἰγιαλοὺς ἐκνυμανθεὶς, βορὰ γίνεται αἰθυίαις [1] τε καὶ λάροις· ἐνίοτε δὲ καὶ ὑπὸ τῶν ταῖς κητείαις παρεδρευόντων ἀνδρῶν παρανομεῖ-

1 ἁρπυίαις mssti.

lum, ſed & Samothracen tenentibus Diis. Piſcatorem quidem quemdam ſenem piſci huic poenas dediſſe, cum aureum adhuc ſeculum inter homines eſſet. Nomen ei Epopeus erat, natus in Icaro inſula. Hunc igitur, ait, ſimul cum filio piſcantem, quum nullos alios piſces praeter pompilos cepiſſet, eorum eſu non abſtinuiſſe, ſed cum filio cunctos uno epulo comediſſe; nec vero multo poſt poenas dediſſe impietatis. Nam cetum, facto in navem impetu, Epopeum in filii conſpectu deglutiviſſe. « Narratque idem Pancrates » eſſe quoque delphino hoſtem pompilum; neque hunc impune abire ubi pompilum devoravit. Fit enim iners, comeſo pompilo, & tremens; & fluctibus in littus eiectus, praeda fit mergis atque laris: nonnumquam etiam ab hominibus, qui cetorum

ται." Μνημονεύει τῶν πομπίλων καὶ Τιμαχίδας ὁ Ῥόδιος, ἐν τῷ ἐνάτῳ τοῦ Δείπνου·

Κώβιοι εἰνάλιοι, καὶ πομπίλοι ἱεροὶ ἰχθῦς.

d'Ηριννά τε, [1] ἢ ὁ πεποιηκὼς τὸ εἰς αὐτὴν ἀναφερόμενον ποιημάτιον·

Πομπίλε, ναύτῃσιν πέμπων πλόον εὔπλοον ἰχθῦς,[2]
πομπεύσαις [3] πρύμναθεν ἐμὰν ἀδεῖαν ἑταῖραν.

19. Ἀπολλώνιος δὲ, ὁ Ῥόδιος, ἢ Ναυκρατίτης, ἐν Ναυκράτεως Κτίσει· „τὸν Πομπίλον, φησὶν, ἄνθρωπον πρότερον ὄντα, μεταβαλεῖν εἰς ἰχθῦν, διά τινα Ἀπόλλωνος ἔρωτα. τὴν γὰρ Σαμίων πόλιν παραῤῥεῖν ποταμὸν Ἴμβρασον·

Τῷ ῥά ποτ' Ὠκυρόην νύμφην, περικαλλέα κούρην,
Χησιὰς εὐπατέρεια τέκεν Φιλότητι μιγεῖσα·
Ὠκυρόην, ἣ κάλλος ἀπείριτον ὤπασαν Ὧραι.

XIX. Pompilus, ex homine piscis.

1 Κορίννα τε edd. 2 ἰχθῦν Ms. 3 πομπεύσας vulgo. Forsan πόμπευσαι.

capturae dant operam, violatur." Meminit pompilorum etiam Timachidas Rhodius, Coenae libro nono:

Gobii marini, & pompili sacri pisces.

Et Erinna, sive quis alius est auctor poëmatii, quod sub illius nomine vulgatum est:

Pompile, nautis felicem cursum mittens piscis,
prosequere a puppi meam dulcem amicam!

19. Apollonius vero Rhodius, sive Naucratita, in *Naucratis Origine:* »*Pompilum*, ait, cum homo prius fuisset, in piscem fuisse mutatum, propter aliquem Apollinis amorem. Scilicet Samiorum urbem praeterfluere Imbrasum fluvium:

Cui olim Ocyroën nympham, formosissimam virginem,
Chesias illustri genere nata peperit ex eius concubitu,
Ocyroën, cui infinitam pulcritudinem Horae dederunt.

ταύτης οὖν ἐρασθέντα Ἀπόλλωνα ἐπιχειρῆσαι ἁρπάσαι. διαπεραιωθεῖσαν δ' εἰς Μίλητον κατά τινα Ἀρτέμιδος ἑορτὴν, καὶ μέλλουσαν ἁρπάζεσθαι, εὐλαβηθεῖσαν, Πομπίλον τινὰ θαλασσουργὸν ἄνδρωπον καθικετεῦσαι, ὄντα πατρῷον φίλον, ὅπως αὐτὴν εἰς τὴν πατρίδα διασώσῃ, λέγουσαν [1] τάδε· f

Πατρὸς ἐμεῖο φίλου συμφράδμονα [2] θυμὸν ἀέξων,
Πομπίλε, δυσκελάδου δεδαὼς θοὰ βένθεα πόντου,
σῶζε μέ. —

καὶ τὸν εἰς τὴν ἀκτὴν διαγαγόντα αὐτὴν διαπεραιοῦν. ἐπιφανέντα δὲ τὸν Ἀπόλλωνα, τήν τε κόρην ἁρπάσαι, καὶ τὴν ναῦν ἀπολιθώσαντα, τὸν Πομπίλον εἰς τὸν ὁμώνυμον ἰχθῦν μεταμορφῶσαι, ποιῆσαί τε τὸν πομπίλον ὠκυάλων νηῶν [3] αἰήονα δοῦλον. [4] a

1 λέγουσα edd. cum ms. *A.* λέγουσι ms. *Ep.* 2 ἐμοῖο φίλον συνφράδμονα edd. 3 νήσων vulgo. 4 ἁλικόνα δᾶλον edd. αἰήονα δοῦρον Ms. Forſ. αἰηνέα.

Huius igitur amore captum Apollinem, rapere eam conatum eſſe. Quae quum Miletum traieciſſet quo tempore feſtum quoddam agebatur Dianae, cum iam in eo eſſet ut raperetur, fugiens periculum, Pompilum quemdam, hominem mare exercentem, paternum amicum ſupplex rogaſſe fertur, ut in patriam ſe ſalvam reveheret, his uſa verbis:

Concordem cum caro meo patre animum alens
Pompile, horriſoni doctus rapidas voragines ponti,
ſerva me.

Et hunc, aiunt, eam ad littus perductam traieciſſe. At ſubito adparentem Apollinem rapuiſſe puellam, &, nave in lapidem converſâ, Pompilum in cognominem piſcem muraſſe, feciſſeque ex eo

pompilum, navium per maria currentium ſempiternum famulum.

XX.

Θεόκριτος δ' ὁ Συρακόσιος, [1] ἐν τῇ ἐπιγραφομένῃ Βερενίκῃ, τὸν λεῦκον ὀνομαζόμενον ἰχθῦν, ἱερὸν καλεῖ, διὰ τούτων· *Sacer piſcis, nonnullis Leucus;*

Κ' αἴ τις ἀνὴρ αἰτεῖτ' εὐαγροσύνην τε [2] καὶ ὄλβον,
ἐξ ἁλὸς ὤ ζωὴ, [3] τὰ δὲ δίκτυα κείνῳ ἄροτρα·
σφάζων ἀκρόνυχος [4] ταύτῃ θεῷ ἱερὸν ἰχθῦν,
ὃν λεῦκον καλέουσιν, (ὁ γὰρ φιερώτατος [5] ἀλλῶν·)
b καί κε λίνα στήσαιτο, καὶ ἐξερύσαιτο θαλάσσης
ἔμπλεα.

Διονύσιος δ' ὁ ἐπικαλούμενος Ἴαμβος, [6] ἐν τῷ Περὶ Διαλέκτων, γράφει οὕτως· „ Ἀκηκόαμεν γοῦν ἁλιέως Ἐρετρικοῦ, τὸν ἱερὸν ἰχθῦν, καὶ ἄλλων πολλῶν ἁλιέων, καλούντων τὸν πομπίλον. Ἔστι δὲ πελάγιος, καὶ παρὰ τὰς ναῦς πυκνὰ φαίνεται, ἐοικὼς πηλα- *ſed pleriſque Pompilus,*

1 Συρακούσιος edd. cum ms. *Ep.* 2 αἰτεῖται ἐπ' ἀγροσύνην vulgo. αἰτεῖτ' εὐαγρεσίαν corrigunt viri doctiſſimi. 3 ζώει vulgo. 4 ἀκρονύχους vulgo. 5 Vulgo ὁ γὰρ θ' ἱερώτατος. 6 Ἰαμβοποιὸς maluerat Caſaub.

20. Theocritus vero Syracuſius, in carmine quod *Berenice* inſcribitur, *leucum* piſcem, qui vocatur, eumdem *ſacrum* adpellat, his verbis:

Quod ſi quis felicem capturam deſiderat & opulentiam,
e mari victitans, cui retia ſunt pro aratro;
is mactet ineunte veſperâ huic Deae ſacrum piſcem,
quem leucum vocant: (eſt enim ille piſcium omnium nitidiſſimus:)
tum vero retia tendat; extraxeritque e mari
piſcibus plena.

Dionyſius vero, cognomine *Iambus*, in libro de Dialectis, ſic ſcribit: »Audivimus nos quidem piſcatorem Eretrienſem, multosque alios piſcatores, *ſacrum piſcem* adpellantes pompilum. Degit autem in alto, & apud naves frequens conſpicitur, pelamydi ſimilis, variega-

μύδι, [1] ποικίλος. τὸν δ' εὖν ἰχθῦν τις παρὰ τῷ ποιητῇ ἕλκει,

ἀκτῇ [2] ἐπὶ προβλῆτι καθήμενος ἱερὸν ἰχθῦν. c

εἰ μὴ ἄλλος τίς ἐστιν οὕτω καλούμενος ἱερὸς ἰχθῦς.

qui & Chrysophrys. Καλλίμαχος δ', ἐν Γαλατείᾳ, τὸν χρύσοφρυν.

Ἢ μᾶλλον χρύσειον ἐν ὀφρύσιν ἱερὸν ἰχθῦν,
ἢ πέρκας, ὅσα τ' ἄλλα φέρει βυθὸς ἄσπετος ἅλμης.

Ἐν δὲ τοῖς Ἐπιγράμμασιν ὁ αὐτὸς ποιητὴς φησίν·

— Ἱερὸς δέ τοι, ἱερὸς ὗκης. [3]

Alii aliter interpretantur. Ἄλλοι δ' ἀκούουσιν ἱερὸν ἰχθῦν, τὸν ἄνετον· ὡς καὶ ἱερὸν βοῦν, τὸν ἄνετον. οἱ δέ, τὸν μέγαν· ὡς

— ἱερὸν μένος Ἀλκινόοιο. d

Τινὲς δέ, τὸν ἱέμενον [4] πρὸς τὸν ῥοῦν.“

XXI. Κλείταρχος δ', ἐν ἑβδόμῃ Γλωσσῶν· „Οἱ ναυ-

1 πηλαμίδι edd. 2 πέτρῃ vulgatur apud Homerum. 3 Ἱερὸς δέ τις ἱερὸς ἰχθῦς edd. Alibi apud Noſtrum, Θεὸς δέ οἱ ἱερὸς ὗκης. 4 ἰέμενον corr. Caſaub.

tus. Hunc igitur piſcem, apud Poëtam, capit aliquis,

Littore in prominente ſedens, ſacrum piſcem:

niſi quis eſt alius ſic dictus *ſacer piſcis*. Callimachus vero, in Galatea, chryſophryn ſic vocat.

Aut potius aureum in ſupercilliis, [id eſt, *chryſophryn*,]
ſacrum piſcem,
aut percas, aut quotquot alios fert ſali immenſa vorago.

In Epigrammatibus vero idem poëta ait:

— — *Sacer ſane, ſane hyca.*

Alii vero *ſacrum piſcem* intelligunt, *ſacratum*: quemadmodum etiam *ſacrum bovem*, ſacratum. Alii autem *magnum* intelligunt; quemadmodum,

— — *ſacra vis Alcinoi.*

Alii vero, eum qui *fertur ſecundum fluxum aquarum.* “

21. Clitarchus autem, ſeptimo libro Gloſſarum: » Qui

τικοὶ, φησὶν, πομπίλον ἱερὸν ἰχθῦν προσαγορεύουσι, διὰ τὸ ἐκ πελάγους προπέμπειν τὰς ναῦς ἕως εἰς λιμένα· διὸ καὶ πομπίλον καλεῖσθαι, χρύσοφρυν ὄντα. " Καὶ Ἐρατοσθένης δ' ἐν Ἑρμῇ φησίν·

Ἄγρης μοῖραν ἔλειπον, ἔτι ζώοντας ἰούλους,
ἠὲ γενειῆτιν τρίγλην, ἢ περκάδα κίχλην,
ἢ δρομίην χρύσειον ἐν ὀφρύσιν ἱερὸν ἰχθῦν.

Pompilo unde nomen.

e Ἐκ ταύτης ἡμῶν τῆς ὀψολογίας ὁ καλὸς Οὐλπιανὸς ζητείτω, κατὰ τί Ἀρχέστρατος ἐν ταῖς καλαῖς ὑποθήκαις περὶ τῶν ἐν Βοσπόρῳ ταρίχων εἰπών· [1]

Βοσπόρου ἐκπλεύσαντα τὰ λευκότατ'· ἀλλὰ [2]
προσέστω
μηδὲν ἐκεῖ στερεᾶς σαρκὸς Μαιώτιδι λίμνῃ
ἰχθύος αὐξηθέντος, [3] ὃν ἐν μέτρῳ οὐ θέμις εἰπεῖν.

Piscis, cuius nomen respuit carmen epicum.

1 εἶπε malles; aut λέγων εἶπε. In Epit. est Ἀρχεστράτου - - εἰπόντος. 2 ἄλλα vulgo scribunt; iunguntque ista verba, τὰ λευκότατ' ἄλλα προσέστω. 3 ἐναυξηθέντος ms. *Ep.*

maria navigant, inquit, pompilum adpellant *sacrum piscem*, quia ex alto mari prosequitur naves usque in portum: eâque caussâ eriam *pompilum* aiunt nominari, cum sit (caeteroquin) chrysophrys. « Eratosthenes vero etiam, in Mercurio, scribit:

Capturae portionem reliquerunt, viventes adhuc iulos,
aut barbatum mullum, aut nigris distinctum maculis turdum,
aut velocem cursu aureis supercilliis sacrum piscem.

Post hos nostros de Obsonio sermones quaerat egregius Ulpianus, quid spectans Archestratus, ubi in praeclaris suis praeceptis de Bospori salsamentis loquitur, sic scripserit:

Quae e Bosporo evehuntur candidissima. Sed adsit
nihil ibi rigidae carnis Maeotide in palude
auctli piscis, quem nominare in carmine non licet.

Τίς οὗτός ἐστιν, ὃν φησιν οὐ θεμιτὸν εἶναι ἐμμέτρως εἰπεῖν;

XXII. Ἀφύαι. Καὶ ἐνιαχοῦ δὲ ἀφύην λέγουσιν, f

Aphya, vel Apua. Ἀριστώνυμος, Ἡλίῳ ῥιγοῦντι·

— — ὥστ' οὐτ' ἀφύη [1] νῦν ἔσθ' ἁπλῶς.

Τῆς δ' ἀφύης ἐστὶ γένη πλείω. καὶ ἡ μὲν ἀφρῖτις λεγομένη οὐ γίνεται ἀπὸ γόνου, ὥς φησιν Ἀριστοτέλης, ἀλλ' ἐκ τοῦ ἐπιπολάζοντος τῇ θαλάσσῃ ἀφροῦ, ὅταν ὄμβρων γενομένων πολλῶν σύστασις γένηται. ἑτέρα δ' ἐστὶν ἀφύη, κωβῖτις [2] λεγομένη. γίνεται δ' αὕτη ἐκ τῶν μικρῶν καὶ φαύλων τῶν ἐν τῇ ἄμμῳ διαγενομένων κωβιδίων. καὶ ἐξ αὐτῆς δὲ ταύτης τῆς a ἀφύης ἀπογεινῶνται ἕτεραι, αἵτινες ἐγκρασίχολοι καλοῦνται. γίνεται δὲ [3] καὶ ἄλλη ἀφύη, ὁ γόνος [4] τῶν μαινίδων· καὶ ἄλλη δὲ, ἐκ τῆς μεμβράδος· [5] καὶ ἔτι ἄλλη [6] ἐκ τῶν μικρῶν κεστρέων, τῶν ἐκ

1 ἀφύην νῦν vulgo h. l. Alibi ἀφύη μέν. 2 κωβίτης ms. *Ep.* 3 δὲ deeſt edd. 4 ἢ γόνος ἐστὶ ed. Baſ. & Caſaub. 5 βεμβράδος ms. *Ep.* 6 Deeſt ἄλλη edd. h. l.

Quaerat igitur, quis ſit hic piſcis, quem ait *non licere in carmine nominare.*

22. *AHYAE*, ſive *APUAE*. Atque etiam in ſingulari *Aphyam* vel *Apuam* dicunt. Ariſtonymus, in Sole rigente:

— — *Ita ut neque apua nunc ſit omnino.*

Sunt autem apuae plura genera. Et ea quidem, quae *aphritis* nominatur, non naſcitur e ſemine, ut ait Ariſtoteles; ſed ex ſpuma (ἀφρῷ) mari innatante, quum illa multis incidentibus imbribus concreſcit. Alia eſt apua, *cobitis* dicta: quae naſcitur e puſillis ac vilibus gobiolis, in arena degentibus. Et ex hac ipſa apua generantur aliae, quae *eneraſicholi* vocantur. Eſt vero & alia Apua, foetus maenidum: porro alia, ex membrade: rurſusque alia ex minutis mugiliibus, qui ex arena &

τῆς ἄμμου καὶ τῆς ἰλύος γινομένων. πάντων δὲ τούτων ἡ ἀφρῖτις ἀρίστη. Δωρίων δ', ἐν τῷ Περὶ Ἰχθύων, κωβίτην τινὰ ἐψητὸν λέγει, καὶ τὸν ἐξ ἀθερίνης· ἰχθυδίου δὲ ὄνομα ἀθερίνη. εἶναι δέ φησι καὶ τριγλῖτιν [1] ἀφύην. Ἐπίχαρμος δ', ἐν Ἥβας γάμῳ, ἐν μεμ-
b βράσι καὶ καμάροις τὰς ἀφύας καταριθμεῖται, διαστέλλων τὸν λεγόμενον γόνον. Ἱκέσιος δὲ φησί· „Τῆς ἀφύης ἡ μὲν, λευκὴ, καὶ λίαν λεπτὴ, καὶ ἀφρώδης, ἣν καλοῦσιν ἔνιοι καὶ κωβῖτιν· [2] ἡ δὲ, ῥυπαρωτέρα ταύτης, καὶ ἀδροτέρα. διαφέρει δὲ ἡ καθαρὰ καὶ λεπτή." Ἀρχέστρατος δὲ, ὁ ὀψοδαίδαλος, φησί·

Τὴν ἀφύην μίνθαν [3] πᾶσαν, πλὴν τὴν ἐν Ἀθήναις·
τὸν γόνον ἐξαυδῶ, τὸν ἀφρὸν καλέουσιν Ἴωνες.
καὶ λάβε πρόσφατον αὐτὸν ἐν εὐκόλποισι Φαλήρου

1 τριγλίτιν mssti. τριγλίτην edd. 2 Perperam κιβᾶτιν Ms.
3 μίνθον edd.

coeno generantur. Harum autem omnium optima aphritis eſt. Dorion vero, libro de Piſcibus, *cobitem* quemdam *hepſetum* dicit, (*id eſt*, piſciculum magnâ copiâ ſimul elixari ſolitum,) & *illum qui ex atherina*: eſt autem piſciculi nomen, atherina. *Eſſe vero etiam*, ait, *triglitin apuam:* (id eſt, *ex mullorum foetu.*) Epicharmus autem, in Hebes Nuptiis, in membradibus & cammaris apuas recenſet, diſtinguens eum qui *foetus* dicitur. Iceſius vero ait: » Apua alia eſt alba & valde tenuis & ſpumoſa, quam vocant nonnulli *cobitin*: alia, ſordidior iſtâ & grandior. Praeſtat vero quae pura eſt & tenuis.« Archeſtratus autem, obſoniorum artifex, ait:

Apuam pro ſtercore habe omnem, exceptâ Atticâ:
foetum illum dico, quam ſpumam vocant Iones.
Et ſume hanc recentem, in ſinuoſis Phaleri

ἀγκῶσι ληΦθένθ' ἱεροῖς. καὶν τῇ περικλύστῳ c
ἐστὶ Ῥόδῳ γενναῖος, ἐὰν [1] ἐπιχώριος ἔλθῃ.
Ἂν δέ που [2] ἱμείρῃ [3] αὐτοῦ γεύσασθαι, ὁμοῦ χρὴ
κνίδας ὀψωνεῖν, τὰς [4] ἀμΦικόμους ἀκαλήΦας·
εἰς ταὐτὸν μίξας δ' αὐτὰς, ἐπὶ τηγάνου ὄπτα,
εὐώδη τρίψας ἄνθη λαχάνων ἐν ἐλαίῳ.

XXIII.

Proverb. *Vidit ignem apua.*

Κλέαρχος δ' ὁ Περιπατητικὸς, ἐν τοῖς Περὶ Παροιμιῶν, περὶ [5] τῆς ἀΦύης Φησί· „ Διὰ τὸ μικροῦ δεῖσθαι πυρὸς ἐν τοῖς τηγάνοις, οἱ περὶ Ἀρχέστρατον ἐπιβάλλοντας [6] κελεύουσιν ἐπὶ θερμὸν τήγανον, σί- d
ζουσαν ἀΦαιρεῖν. ἅμα δ' ἥπται καὶ σίζει, καθάπερ τοὔλαιον, εὐθύς. διὸ λέγεται, Ἴδε πῦρ ἀΦύη." Χρύσιππος δ' ὁ ΦιλόσοΦος, ἐν τῷ Περὶ τῶν δι' αὐτὰ Αἱρετῶν· „ Τὴν ἀΦύην, Φησὶ, τὴν ἐν Ἀθήναις, διὰ μὲν τὴν δαψίλειαν ὑπερορῶσι, καὶ πτωχικὸν εἶναί Φασιν

1 ἐπὰν edd. Forſ. ἐάν γ'. 2 ἂν δέ τι γ' edd. ἂν δέ τις που ms. *A.* ἂν δέ τι που ms. *Ep.* 3 ἰμείρῃς edd. & ms. *A.* 4 τάς τ' ms. *Ep.* 5 Deeſt h. l. περὶ edd. & ms. *A.* 6 ἐπιβάλλοντες vulgo.

anfractibus captam. Etiamque in circumſlua
Rhodo nobilis eſt, niſi aliunde fuerit advecta.
Eam ſicubi guſtare cupieris, ſimul oportet
cnidas obſonari, comatas circumcirca urticas:
has poſtquam unâ miſcueris; in ſartagine coque,
odoriferis floribus olerum in oleo tritis.

23. Clearchus vero Peripateticus, in libris de Proverbiis, de *Apua* dicit: »Quia exiguo igne opus habet in ſartaginibus, iubet Archeſtratus, *calidae iniectam ſartagini auferri ſtridentem.* Simul enim atque ſtridet, continuo etiam cocta eſt, ſicut oleum. Itaque dici ſolet: *Vidit ignem apua.*« Chryſippus vero philoſophus, in libro de his quae Propter ſe Expetenda, ſcribit: »*Apuam*, quae quidem Athenis reperitur, propter frequentiam ſpernunt, & *pauperum* eſſe *obſonium* aiunt: quae vero aliis

ὄψον· ἐν ἑτέραις δὲ πόλεσιν ὑπερθαυμάζουσι, πολὺ χείρω γινομένην. εἶθ' οἱ μὲν, φησὶν, ἐνταῦθα τοὺς Ἀδριατικοὺς ὄρνιθας τρέφειν σπεύδουσιν, ἀχρειοτέρους ὄντας, ὅτι τῶν παρ' ἡμῖν πολὺ ἐλάττους εἰσίν· ἐκεῖνοι δὲ τἀναντία μεταπέμπονται τοὺς ἐνθάδε." Ἐπὶ τοῦ ἑνικοῦ Ἑρμιππος, Δημόταις· [1] Grammaticalia.

— — Νῦν δ' οὐδ' [2] ἀφύην κινεῖν δοκεῖς.

Καλλίας, Κύκλωψι·

πρὸ τῆς ἀφύης τῆς ἡδίστης.

Ἀριστώνυμος, Ἡλίῳ ῥιγοῦντι·

ὥστ' οὔτ' ἀφύη μέν ἐστιν ἁπλῶς. [3]

Ἀφύδια [4] δὲ Ἀριστοφάνης, Ταγηνισταῖς·

μηδὲ τὰ μικρὰ τὰ Φαληρικὰ τάδ' ἀφύδια.

XXIV. Rhodiorum deliciae.

Λυγκεὺς δὲ ὁ Σάμιος, ἐν τῇ πρὸς Διαγόραν Ἐπιστολῇ, ἐπαινῶν τὰς Ῥοδιακὰς ἀφύας, καὶ ἀν-

1 Denuo inferunt τὸ ἑνικόν· ed. Ven. & Baſ. cum Ms. 2 Νῦν δὲ οὐδὲ vulgo. 3 Aliter paulo ante: rurſus aliter paulo poſt. 4 Rectius fuerit ἀφυίδια.

in civitatibus, eam ſupra modum admirantur, quamvis multo ſit inferior. Porro alii, inquit, hîc Adriaticos alere gallos gallinaceos ſtudent, quamquam minus utiles, cum ſint noſtratibus minores: illi contra noſtros ad ſe curant advehendos.« In *ſingulari numero* Hermippus dixit, in Demotis: (*ſive*, Popularibus:)

Nunc ne apuam quidem movere videris.

Callias, in Cyclopibus:

Prae apuâ ſuaviſſimâ.

Ariſtonymus, in Sole rigente:

Itaque nec apua quidem eſt omnino.

Aphydia vero dixit Ariſtophanes, in Tageniſtis:

Neque minuta haec Phalerica aphydia.

24. Lynceus Samius, in Epiſtola ad Diagoram, laudans *Rhodiacas apuas*, & multa ex iis quae Athenis gi-

τιτιβεὶς πολλὰ τῶν Ἀθήνησι γινομένων πρὸς τὰ ἐν τῇ Ῥόδῳ, φησίν· „Ταῖς μὲν Φαληρικαῖς ἀφύαις τὰς f Αἰνιατίδας καλουμένας ἀφύας· τῷ δὲ γλαυκίσκῳ τὸν ἔλλοπα καὶ τὸν ὄρφον· ἀντιπαρατιθεῖσα.[1] πρὸς δὲ τὰς Ἐλευσινιακὰς ψήττας καὶ σκόμβρους, καὶ εἴ τις ἄλλος παρ' αὐτοῖς ἰχθὺς ἐπάνω τῇ δόξῃ τοῦ Κέκροπος γέγονεν, ἀντιγεννήσασα τὸν ἀλώπεκα καλούμενον. Ὁ δὲ τὴν Ἡδυπάθειαν γράψας παρακελεύεται τῷ μὴ δυναμένῳ τιμῇ κατεργάσασθαι τὴν ἐπιθυμίαν, ἀδικίᾳ κτήσασθαι τὴν ὀψοφαγίαν.“ Ἀρχέστρατον λέγει τὸν τένθην ὁ Λυγκεὺς, ὃς ἐν τῷ πο- a λυβρυλλήτῳ ποιήματι περὶ τοῦ γαλεοῦ λέγει οὕτως·

Ἐν δὲ Ῥόδῳ γαλεὸν τὸν ἀλώπεκα, κἂν ἀπεθνήσκειν
μέλλῃς, ἂν μή σοι πωλεῖν θέλῃ, ἅρπασον αὐτὸν,
ὃν καλέουσι Συρακόσιοι κύνα, πίονα. κἄτα
ὕστερον ἤδη πάσχ' ὅ τι σοι πεπρωμένον ἐστίν.

1 ἀντιπαρατιθεὶς edd.

gnuntur opponens his quae fert Rhodus, ait: »Phalericis apuis, *Aeniatidas* dictas *apuas;* glauciſco vero ellopem & orphum opponit (Rhodus:) Eleuſiniacis vero paſſeribus ac ſcombris, & ſi quis eſt apud illos alius piſcis nobilitate Cecropem ſuperans, opponendum generavit eum qui *vulpes* vocatur. Qui vero *Vitae delicias* ſcripſit, hortatur eum qui pretio ſibi parare quo gulae ſatisfaciat non poteſt, ut per iniuriam ſibi obſonium quaerat.« *Archeſtratum* Lynceus dicit, catillonem; qui in decantato illo poëmate de muſtelo haec ſcripſit:

Rhodi muſtelum Vulpem, vel ſi moriendum
fuerit, ni tibi vendere voluerint, furto aufer,
quem Canem vocant Syracuſii, pinguem: tum
deinde iam, quidquid tibi fato deſtinatum eſt, patere.

XXV. ACHARNUS.

ἈΧΑΡΝΟΣ. Καλλίας, Κύκλωψιν·

b Κίθαρος ὀπτὸς, καὶ βατὶς, θύννου τε [1] κεφάλαιον τοδί·
ἐγχέλεια, [2] κάραβοι, Αἰνεὺς [3] ἄχαρνος οὑτοσί. [4]

XXVI. BATIS, RANA: RAIA.

ΒΑΤΙΣ, ΒΑ΄ΤΡΑΧΟΣ, ΒΑ΄ΤΟΣ. Τῆς μὲν οὖν βατίδος καὶ τοῦ βατραχου μνημονεύει Ἀριστοτέλης ἐν τοῖς Περὶ Ζώων, καταριθμῶν αὐτὰ ἐν τοῖς σελάχεσιν. Εὔπολις δ' [5] ἐν Κόλαξιν φησίν·

Παρὰ τῷ δὲ Καλλίᾳ πολλὴ θυμηδία,
ἵνα πάρα μὲν κάραβοι, καὶ βατίδες,
καὶ λαγὼ, καὶ γυναῖκες εἰλίποδες. [6]

καὶ Ἐπίχαρμος, ἐν Ἥβας γάμῳ·

Ἦν δὲ νάρκαι, βατίδες· ἦν δὲ ζύγαιναι, πρήστιες, [7]

c καμεῖται, βάτοι, ῥῖναί τε τραχυδέρμονες.

ἐν δὲ Μεγαρίδι·

1 τὸ, pro τε, alibi apud Noſtrum. 2 ἐγχελία vulgo. 3 Αἰνιεύς τε coni. Caſaub. 4 οὕτως vulgo. οὗτος coni. Caſaub. 5 Deeſt vulgo coniunctio. 6 Turbati Eupolidis verſus; ut & ſequentes Epicharmi. 7 Forſ. πρίστιες.

25. ACHARNUS. Callias, Cyclopibus:

Citharus aſſus, & raia, & thynni hocce caput,
anguillae, locuſtae, Aenenſis acharnus hic.

26. BATIS, BATRACHUS, BATUS. (*Raia: rana.*) *Batidis* quidem & *Batrachi* meminit Ariſtoteles, in libris DE Animalibus; in numero ponens piſcium cartilagineorum. Eupolis autem, in Adulatoribus, ait:

Apud Callium vero multum eſt voluptatis;
ubi adſunt locuſtae, & batides,
& lepus, & mulieres flexipedes.

Et Epicharmus, in Hebes Nuptiis:

Aderant torpedines, batides: aderant zygaenae, priſties,
camitae, bati, & aſperâ cute ſquatinae.

Idem, in Megaride:

— Τὰς πλευρὰς οἷόν περ βατίς·
τὰν δ' ὀπισθίαν ἔχησθ' [1] ἀτενὲς οἷόν περ βάτος.
τὰν δὲ κεφαλὰν ὀστέων οἷόν περ ἔλαφος οὐ βατίς·
τὰν δὲ λαπάραν σκορπίος παῖς ἐπιθαλάττιός τε
οὔ. [2]

Σαννυρίων δ', ἐν Γέλωτι·

Ὦ βατίδες, ὦ γλαύκων κάραι.

Ἀριστοτέλης δ', ἐν πέμπτῳ Ζώων Μορίων, [3] σελάχη φησὶν εἶναι, βάτον, [4] τρυγόνα, βοῦν, λαμίαν, [5] αἰετὸν, [6] νάρκην, βάτραχον, καὶ πάντα τὰ γαλεοειδῆ. [7] Σώφρων δ' ἐν Μίμοις Ἀνδρείοις, βότιν καλεῖ τινα ἰχθῦν ἐν τούτοις· „Κέστραι βότιν κάπτουσαι.“ καὶ μή ποτε βοτάνην τινὰ λέγει. Περὶ δὲ τοῦ βατράχου συμβουλεύει ὁ σοφώτατος Ἀρχέστρατος ἐν ταῖς Γνώμαις τάδε· Batrachus.

1 Mendum arguit luxatum metrum. 2 Suspectae voces τι οὖ. οὖσαν corrigit Villebr. 3 Ζώων Ἱστορίας ed. Bas. 4 τὸν τρυγόνα edd. & ignorant βάτον. 5 ἀμίαν vulgo apud Nostrum. 6 αἰετὸν edd. cum ms. *Ep.* 7 γαλεώδη vulgo scribitur apud Aristotelem.

— *Latera, veluti batis;*
posteriora * *omnino velut batus;*
caput vero osseum, veluti cervus, non batis;
ilia autem, scorpius maris filius *.

Sannyrion vero, in Risu:

O batides! o glaucorum capita!

Aristoteles vero, De Partibus Animalium libro quinto, *cartilaginea* ait esse, *batum*, (id est, *raiam*,) *turturem*, *bovem*, *lamiam*, *aquilam*, *ranam*, & *omnia de genere squalorum*. Sophron vero, in Mimis Virilibus, *botin* vocat piscem quemdam, cum ait: *Cestrae* (i. e. *fudes*) *botin vorantes*. Nisi tamen herbam fortasse quampiam dixit. De *batracho* vero (vel, *rana*) sapientissimus Archestratus, in Sententiis, ait:

Βάτραχον ἔνθ' ἂν ἴδῃς, ὀψώνει. — καὶ,
γαστρίον [1] αὐτοῦ σκεύασον. —

Περὶ δὲ τῆς βατίδος·

Καὶ βατίδ' ἑφθὴν ἔσθε μέσου [2] χειμῶνος ἐν ὥρῃ,
καὶ ταύτῃ τυρὸν καὶ σίλφιον. ἄττα τε σάρκα
e μὴ πίειραν ἔχει πόντου τέκνα, τῷδε τρόπῳ χρὴ
σκευάζειν. ἤδη σοὶ ἐγὼ τάδε δεύτερον αὐδῶ.

Ἔφιππος δ' ὁ κωμῳδιοποιὸς, ἐν Φιλύρᾳ δράματι· (ἑταίρας δὲ ὄνομα ἡ Φιλύρα·)

A. Πότερον ἐγὼ τὴν βατίδα τεμάχη κατατεμὼν,
ἑψῶ; [3] τί φῄς; ἢ Σικελικῶς ὀπτὴν ποιῶ; [4]

B. Σικελικῶς. [5]

XXVII. BOCES; vel BOACES.

Βῶκες. Ἀριστοτέλης, ἐν τῷ ἐπιγραφομένῳ
f Ζωϊκῷ, ἢ περὶ Ἰχθύων· „ Νωτόγραπτα, φησὶν, λέ-

1 γαστρὶ ms. *Ep.* 2 ἑσθιέμεν χειμ. edd. 3 ἕψω edd. 4 ποιήσω vulgo. 5 Forſ. Ποίει Σικελικῶς.

Ranam, ubicumque videris, obſona. Et:
Abdomen eius parato!

De *batide* vero: (ſive, *raia foemina?*)
Elixamque batidem comede medii hyemis tempore, & cum ea caſeum & ſilphium. Ac quicumque carnem non pinguem habent ponti filii, iſto modo parandi. Iam tibi iterum hoc edico.

Ephippus vero, comicus, in fabula Philyra: (eſt autem meretricis nomen, *Philyra:*)

A. *Utrum ego batidem in fruſta conciſam elixabo? quid ais? an Siculo more aſſam dabo?*

B. *Siculo more para.*

27. BOCES. Ariſtoteles, in libro qui inſcribitur Ζωϊκὸς, (id eſt, *De Animalibus*,) ſive *De Piſcibus*, ait: »*Notographa* dicuntur, (id eſt, *in dorſo natata*,) box,

γεται βώξ· σκολιόγραπτα [1] δέ, κολίας." Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ·

Ἔτι δὲ ποττούτοισι βῶκες,
σμαρίδες, ἀφύαι, κάμμαροι.

Νουμήνιος δ', ἐν Ἁλιευτικῷ, βόηκας αὐτοὺς καλεῖ, ἐν τούτοις·

Ἢ λευκὴν συνόδοντα βόηκάς τε τριγκούς τε. [2]

Σπεύσιππος δέ, καὶ οἱ ἄλλοι Ἀττικοὶ, βόακας. Ἀριστοφάνης, Σκηνὰς [3] καταλαμβανούσαις·

Ἀλλ' ἔχουσα γαστέρα μεστὴν (βοάκων,) [4] a
ἀπεβάδιζον οἴκαδε.

Ὠνομάσθη δὲ παρὰ τὴν βοήν. διὸ καὶ Ἑρμοῦ ἱερὸν εἶναι λόγος τὸν ἰχθῦν, ὡς τὸν κίθαρον [5] Ἀπόλλωνος. Φερεκράτης δέ, ἐν Μυρμηκανθρώποις, εἰπών· „Ἄλ-

1 An κειλιόγραπτα? 2 βριγκούς τε corrigunt viri docti. Alibi apud Noſtrum τρίκκους τε ſcribitur. 3 Σκηναῖς edd. 4 Vocem praeter metrum ab Athenaeo adiectam, parentheſi incluſimus. 5 κίθαριν editio Ven. cum mstis.

[& alii:] *ſcoliographta* vero, id eſt, *oblique notata;* [ſive *coiliographta* legendum, *in ventre notata?*] colias. [aliique.] Epicharmus vero, in Hebes Nuptiis:

Adhaec porro boces, ſmarides, apuae, cammari.

Numenius vero, in Halieutico, *boëcas* illos nominat, his verbis:

Aut candidam ſynodontem, boëcasque, trincosque. [ſive, *brincosque.*]

At Speuſippus, aliique Attici, *boacas* dicunt. Ariſtophanes, in Mulieribus tentoria occupantibus:

Sed expletum poſtquam ventrem habui boacibus,
domum reverſa ſum.

Nomen autem invenit a vocabulo βοή: (quod *clamorem* vel *vocem* ſignificat.) Itaque Mercurio ſacrum eſſe hunc piſcem aiunt; quemadmodum citharum, Apollini. Pherecrates quidem in Myrmecanthropis, (i. e. *Formicis*

λον φωνὴν οὐκ ἔχειν ἰχθῦν φασι τὸ παράπαν· " ἐπιφέρει· „Νὴ τὼ θεὼ, οὐκ ἐστὶν ἄλλος ἰχθὺς οὐδὲ εἷς, ἢ βόαξ." Ἀριστοφάνης δ' ὁ Βυζάντιος· „Κακῶς, φησὶν, ἡμᾶς λέγειν τὸν ἰχθῦν βῶκα, δέον βόωπα· ἐπεὶ, μικρὸς ὑπάρχων, μεγάλους ὤπας b ἔχει. εἴη ἂν οὖν ὁ βόωψ, βοὸς ὀφθαλμοὺς ἔχων." Πρὸς ὃν λεκτέον· εἰ τοῦτον [1] κακῶς ὀνομάζομεν, διὰ τί κορακῖνον φαμὲν, οὐ κοροκῖνον; ὠνομάσθη γὰρ ἀπὸ τοῦ τὰς κόρας κινεῖν. τί δ' οὐχὶ καὶ σείουρον λέγομεν, ἀλλὰ σίλουρον; ὠνόμασται γὰρ καὶ οὗτος ἀπὸ τοῦ σείειν συνεχῶς τὴν οὐράν.

XXVIII. BEMBRADES.

ΒΕΜΒΡΑ΄ΔΕΣ. [2] Φρύνιχος, [3] Τραγῳδοῖς·

Ὦ χρυσοκέφαλοι βεμβράδες θαλάσσιαι.

Ἐπίχαρμος δ', [4] ἐν Ἥβας γάμῳ, βαμβραδόνας [5] αὐτὰς καλεῖ·

1 τοῦτο edd. 2 Βέβραδες edd. & hîc & proximo verſu. 3 Temere συνεχῶς rurſus h. l. inſerit ms. *A*. 4 Deeſt coniunctio edd. 5 βεβραδόνας edd. & hîc & deinde.

28. BEMBRADES. Phrynichus, in Tragoedis:

O aureis capitibus bembrades marinae!

Epicharmus vero, in Hebes Nuptiis *bambradonas* eas vocat:

hominibus,) cum dixiſſet, *Nulli alii piſci omnino vocem eſſe aiunt*; ſubiicit: *Per divas! nullus eſt alius piſcis, niſi boax.* Ariſtophanes vero Byzantius ait: »Perperam a nobis βῶκα piſcem hunc nominari, quem βοῶπα vocare deberemus; quoniam, parvus cum ſit, magnos oculos habet. Sic βόωψ fuerit, *bovis oculos habens.*« Cui reſponderi debet: Si perperam hunc nominamus, cur κορακῖνον dicimus, non κοροκῖνον; cum nomen habeat παρὰ τὸ κόρας κινεῖν, *quod pupillas frequenter moveat?* Cur porro non σείουρον dicimus, ſed σίλουρον; quandoquidem παρὰ τὸ σείειν συνεχῶς τὴν οὐρὰν, (*ex eo quod aſſidue caudam quatiat*) *nomen invenit?*

Βαμβραδόνες δ', ἔτι [1] κίχλαι, καὶ λαγοὶ δράκοντες [2] ἄλκιμοι.

καὶ Σώφρων, ἐν Ἀνδρείοις· „Βαμβραδόνι, ῥαφίδι." [3] c
Νουμήνιος δ', ἐν Ἁλιευτικῷ·

Ἢ βαιῇ καρίδι, καὶ εἴ ποτε βεμβράδι, [4] κείνῃ
ζωὴ ἐπ' ἀγρώστοιο, [5] τάδε σκέψαιο δέλευρα.

Δωρίων δ', ἐν τῷ Περὶ Ἰχθύων, φησί· „Βεμβράδα ἀποκεφαλίσας, ἐὰν ᾖ ἀδροτέρα, καὶ ἀποπλύνας ἁλὶ λεπτῷ καὶ ὕδατι, ἕψει τὸν αὐτὸν τρόπον τῇ τριγλίτιδι. γίνεται δὲ, φησὶν, ἐκ μόνης τῆς βεμβράδος σκευασία τις ἡ προσαγορευομένη βεμβραφύη· [6] ἧς [7] μνημονεύει Ἀριστώνυμος ἐν Ἡλίῳ ῥιγοῦντι·

Bembraphya.

Ὁ γέ τοι Σικελὸς ταῖς μεμβραφύαις d
προσέοικεν ὁ καρκινοβάτης.

Ἀττικοὶ δ' ὅμως βεμβράδας λέγουσιν. Ἀριστομένης, Attice, Bembrades
Γόησι·

1 δέ τε edd. Rectius, Βαμβραδόνες, κίχλαι τε. 2 δράκεντές τ' alibi apud Noſtrum. 3 ῥαφεία vulgo. 4 Deſunt quatuor voces editis. 5 Suſpecta vox. 6 βεβραιφύη edd. μεμβραφύα Etymol. M. 7 ἥν ms. *A*.

Bambradones, adhaec turdi, & lepores, draconesque ſtrenui.

Et Sophron in Virilibus: *Bambradoni, raphidi.* (id eſt, *acui* piſci.) Numenius vero, in Halieutico:

Aut parvae ſquillae, aut ſi forte bembradi, cui
vita in agroſto; has cogita eſcas.

Dorion vero, libro de Piſcibus, ſcribit: »Bembradem, ſi maior ſit, capite truncatam, poſtquam tenui ſale & aqua ablueris, elixa eodem modo quo triglitidem. Paratur autem, inquit, ex ſola bembrade edulium quoddam, *bembraphya* (ſive, *membraphya*) dictum; cuius meminit Ariſtonymus in Sole rigente:

Siculus carcinobates ſimilis eſt membraphyis.

Attamen Attici *bembradas* dicunt. Ariſtomenes, in Praeſtigiatoribus:

Βεμβράδας Φέρων ὀβολοῦ.

Ἀριστώνυμος, Ἡλίῳ ῥιγοῦντι·

Οὔτ' ἀφύη νῦν ἐστιν ἔτι σαφῶς, [1]
οὔτ' αὖ βεμβρὰς κακοδαίμων. [2]

Ἀριστοφάνης, Γήρᾳ·

Ταῖς πολιόχρωσι βεμβράσι τεθραμμένη.

Πλάτων, Πρέσβεσιν·

Ἡράκλεις, τῶν βεμβράδων.

Ἐν δὲ ταῖς Εὐπόλιδος Αἰξὶν ἐστὶν εὑρεῖν καὶ διὰ τοῦ μ γραφόμενον. Ἀντιφάνης δ' ἐν Κνοισθίδι· [3]

Ἄτοπόν τε [4] κηρύττουσιν ἐν τοῖς ἰχθύσιν
κήρυγμα· οὗ καὶ νῦν τις ἐκβεβράγει [5] μέγα,
μέλιτος γλυκυτέρας βεμβράδας Φάσκων ἔχειν.
Εἰ τοῦτο τοιοῦτ' ἐστὶν, οὐδὲν κωλύει
τοὺς μελιτοπώλας αὖ λέγειν βοᾶν θ', ὅτι

1 Alibi ἐσθ' ἁπλῶς vel ἐστὶν ἁπλῶς: & initio Ὥστ' οὔτ' ἀ κακόδαιμον Etym. 3 Κνοισθιδεία h. l. edd. Κνοισθιδείᾳ Ms. & deinde Τόπον τε edd. & Ms. Alibi Κνοιθίδι. 4 Forſ. Ἀτοπόν γε. 5 ἐκεκράγει corrigunt viri docti, & ſic ms. *Ep.*

Bembradas adferens obolo emtas.

Ariſtonymus, in Sole rigente:

Neque apua nunc eſt plane, neque bembras miſera.

Ariſtophanes, Senectute:

Bembradibus, quibus canus color, nutrita.

Plato, in Legatis:

O Hercules! quae bembrades!

Sed in Eupolidis Capellis etiam per *m* literam ſcriptum nomen reperias. Antiphanes vero, in Cnoeſthide, ait:

Abſurdum clamant in foro piſcario
praeconium: ubi etiam nunc quidam alta clamavit voce,
» melle dulciores bembradas ſe habere « dictitans.
Id ſi ita eſt, nihil viciſſim prohibet
hos qui mel vendunt, quo minus dicant clamentque,

πωλοῦσι τὸ μέλι σαπρότερον τῶν βεμβράδων.
Καὶ [1] Ἄλεξις δ', ἐν Χορηγίδι, διὰ τοῦ μ̄ εἰρηκεν·
Ὃς τοῖς τετραδίσταις μὲν παρέθηκεν ἐσθίειν [2]
πρώην λέκιθον [3] καὶ μεμβράδας [4] καὶ στέμφυλα.
Ἐν δὲ Πρωτοχόρῳ·
— Ἐπιπονώτερον,
μὰ τὸν Διόνυσον, [οὐδὲν] [5] οὐκ εἴληφ' ἐγὼ,
ἀφ' οὗ παρασιτῶ. βεμβράδας μοι κρεῖττον ἦν
ἔχειν μετ' Ἀττικιστὶ δυναμένου [6] λαλεῖν.
ὀνησιφόρον ἦν τοῦτο.

XXIX.

Blennus, piscis.

Βλέννος. [7] Τούτου μέμνηται Σώφρων ἐν τῷ ἐπιγραφομένῳ Ὠλιεὺς τὸν ἀγριώταν· „Βλέννῳ θηλαμόνι.“ [8] ἔστι δὲ κωβιῷ τὴν ἰδέαν παραπλήσιος.

Baeon, piscis.

Ἐπίχαρμος δ', ἐν Ἥβας γάμῳ, Βαιόνας τινὰς ἰχθῦς καλεῖ, ἐν τούτοις·

1 Deest Καὶ edd. 2 ἐσθίειν vulgo. 3 λέκυθον ed. Bas. & Cas. 4 μεμβράδα ms. *Ep.* βεμβράδας ed. Cas. 5 Vox e coniect. adiecta. ἄλλον coni. Dorville. 6 ἔχειν με χ' Ἀττικιστὶ δυνάμενον edd. 7 Βέλεννος edd. & dein βελέννῳ. 8 Ἁλιεὺς, τὸν ἀγριάταν βελέννῳ θηλ. edd.

vendere se mel putidius bembradibus.
Sed & Alexis, in Choregide, per *m* literam scripsit.
Qui tetradistis comedenda nuper adposuit
pultem & membradas & fraces.
In Protochoro vero:
— — *Molestiorem,*
ita me Bacchus! nullam (coenam) nactus sum,
ex quo parasitari coepi. Satius mihi foret, bembradas
habere apud hominem qui Attice loqui sciret.
Magis hoc me iuvaret.

29. Blennus. Huius meminit Sophron in Mimo qui inscribitur Piscator rusticum: *Blenno* (inquit) *pingui.* Est autem formâ similis gobio. Epicharmus vero, in Hebes Nuptiis, Baeonas nominat pisces quosdam:

Ἄγε δὲ [1] τρίγλας τε κυφὰς,
καὶ χαρίστους βαιόνας.

Καὶ παρ' Ἀττικοῖς δὲ παροιμία ἐστὶν· Μή μοι βαίων' κακὸς ἰχθῦς.

ΒΟΥΓΛΩΣΣΟΝ. [2] Ὁ Πυθαγορικὸς δὲ [3] δι' ἐγκράτειαν Ἀρχέστρατος φησίν· XXX.

BUGLOSSUS, Atticis *Pfetta.*

b Εἶτα λαβεῖν ψῆτταν μεγάλην, καὶ τὴν ὑπότρηχυν βούγλωσσον, ταύτην θέρεος, [4] κατὰ [5] Χαλκίδα κεδνήν.

Ἐπίχαρμος δ', ἐν Ἥβας γάμῳ·

— Βούγλωσσοί τε καὶ κίθαρος [6] ἐνῆς.

Τῶν δὲ βουγλώσσων διαλάττοντές εἰσιν κυνόγλωσσοι. περὶ ὧν καὶ αὐτῶν Ἐπίχαρμος φησίν· *Cynogloſſus.*

Αἰολίαι πλῶτές τε κυνογλωσσοί τ' ἐνῆν δὲ σκιαθίδες. [7]

Ἀττικοὶ δὲ ψῆτταν αὐτὴν καλοῦσιν.

1 Ἄγε δὲ edd. Alibi ἄγε δή. 2 Βούγλωσσος edd. 3 δὲ deest edd. & ms. *Ep.* 4 ταύτην θήρα edd. 5 Vulgo καὶ Χαλκ. Alibi περὶ Χαλκ. 6 κίθαρις edd. 7 ἐνῆν δὲ καὶ σκιαθ. vulgo h. l.

Attulit mullos gibbos, & ingratos baeonas.

Eſtque etiam apud Atticos proverbium: *Ne mihi baeon* (contingat:) *pravus eſt piſcis.*

30. BUGLOSSUM. (vel, BUGLOSSUS.) Archeſtratus, ob abſtinentiam temperantiamque Pythagoricus ſcilicet, ſcribit:

Tum ſumendus paſſer magnus, & ſubaſpera
bugloſſus, (haec quidem aeſtate,) ad Chalcidem inclytam.

Epicharmus vero, in Hebes Nuptiis:

— *Bugloſſique & citharus aderant.*

A bugloſſis autem differunt *cynogloſſi.* De quibus idem Epicharmus ait:

Et variegatae plotes & cynogloſſi: aderant porro ſciathides.

Attici vero illam (bugloſſum) *pſettam* vocant.

XXXI. Γόγγροι. Τούτους Ἰκέσιος σκληροτέρους τῶν c
Congri. ἐγχέλεων εἶναί φησι, καὶ ἀραιοσαρκοτέρους τε καὶ ἀτροφωτέρους, εὐχυλίᾳ τε πολὺ λειπομένους, εὐστομάχους δὲ εἶναι. Νίκανδρος δέ, ὁ ἐποποιός, ἐν τρίτῳ Γλωσσῶν, καλεῖσθαί φησιν αὐτοὺς καὶ γρύλλους. Εὔδοξος δέ, ἐν ἕκτῳ Γῆς περιόδου, γόγγρους [1] φησὶ πολλοὺς ἀνδραχθεῖς ἐν Σικυῶνι ἁλίσκεσθαι· ὧν ἐνίους εἶναι καὶ ἀμαξιαίους. Φιλήμων δέ, τῆς κωμῳδίας ὁ ποιητής, καὶ αὐτὸς μημονεύων τῶν ἐν Σικυῶνι διαφόρων γόγγρων, ποιεῖ τινα μάγειρον ἐπὶ τέχνῃ d
τῇ ἑαυτοῦ σεμνυνόμενον, καὶ λέγοντα ἐν τῷ ἐπιγραφομένῳ Στρατιώτῃ τάδε·

XXXII. Ὡς ἵμερός μ' ὑπῆλθε, γῇ τε κοὐρανῷ
Coquus glorioſus. λέξαι μολόντι τοὖψον ὡς ἐσκεύασα.
Νὴ τὴν Ἀθηνᾶν, ἡδύ γ' ἔστ' εὐημερεῖν

1 γόγγρους δέ φησι edd.

31. Congri. Hos, Iceſius ait, duriores eſſe anguillis, carne rariore laxioreque, minus nutrientes, & ſucci bonitate multo illis inferiores, ſed ventriculo commodos. Nicander vero, epicus poëta, tertio libro Gloſſarum, vocari eosdem *gryllos* ait. Eudoxus vero, ſexto libro Circuitus Terrae, ſcribit, multos Sicyone congros capi qui hominem ferentem onerent, ac nonnullos etiam plauſtro avehendos. Philemon vero, comoediarum ſcriptor, pariter mentionem faciens praeſtantium Sicyone congrorum, coquum aliquem inducit in fabula quae Miles inſcribitur, gloriantem arte ſua, & haec verba facientem:

32. *Ut me narrare coelo & telluri lubet*
quas adventanti primulum ſtruxi dapes!
Ut ſuave eſt ſemper, per Deos, quoties bene

ἐν ἅπασιν. Ἰχθῦς [1] ἁπαλὸς [2] οἷος γέγονέ μοι,
οἷον [3] παρατέθεικ', οὐ πεφαρμακευμένον
τυροῖσιν, οὐδ' ἄνωθεν ἐξηνθισμένον·
ἀλλ' οἷος ἦν ζῶν, κ' ὀπτὸς ὢν τοιοῦτος ἦν.
e οὕτως ἁπαλὸν ἔδωκα καὶ πρᾶον τὸ πῦρ
ὀπτῶν τὸν [4] ἰχθῦν οὐδὲ πιστευθήσομαι.
Ὅμοιον ἐγένετ', ὄρνις ὁπόταν [5] ἁρπάσῃ
τοῦ καταπιεῖν μεῖζόν τι· περιτρέχει κύκλῳ,
τηροῦσα τοῦτο· κἄτα περιεσπούδακεν [6]
ἑτέρα, διωκάθουσα ταύτην. ταυτὸν ἦν.
τὴν ἡδονὴν ὁ πρῶτος αὐτῶν καταμαθὼν
τῆς λοπάδος, ἀνεπήδησε, κἄφευγεν κύκλῳ
f τὴν λοπάδ' ἔχων. ἄλλοι δ' ἐδίωκον κατὰ πόδας.
ἐξῆν ὀλολύζειν· αἱ μὲν ἥρπασάν τι γὰρ,
αἱ δ' οὐδέν, οἱ δὲ πάντα. Καί τοι παρέλαβον

1 Ἰχθῦν corrigunt Bentl. & Toup. 2 ἀφ' ἁλὸς Toup. 3 τοῦτον ms. *Ep.* τοῖον Toup. & Bentl. 4 τὸν ὀπτὸν edd. cum ms. *A.* 5 ὅταν edd. ὡς ὅταν corr. Casaub. & Grot. 6 Vulgo τοῦτο κατατιεῖν· περὶ δ' ἐσπούδακεν.

res cedunt! Piscis ille quam factus tener,
qualem apposui, non medicatum caseo,
tinctumve adscitis desuper coloribus!
Parebat assus, qualis dum vixit fuit.
Quam temperate ac molliter ignem admoverim
assando pisci, vix est quisquam ut credat.
Ita se res habuit, magni ut si quid in cibum
gallina rapuit: illa in orbem cursitat,
quaerens id ut edat: hanc insequitur altera,
non illa minus approperans. Plane ad hunc modum,
qui patinae primus in voluptatem incidit,
continuo subsultavit, & patinam tenens
in orbem fugit; sectabantur caeteri.
Res digna plausu: quidam nacti aliquantulum,
nil alii, reliquum reliqui. Atqui acceperam

ἰχθῦς ποταμίους, ἐσθίοντας βόρβορον.
εἰ δ' ἔλαβον [1] ἀρτίως [2] σκάρον, ἢ 'κ τῆς Ἀττικῆς
γλαυκίσκον, ὦ Ζεῦ σῶτερ, ἢ 'ξ Ἄργους κάπρον,
ἢ 'κ τῆς Σικυῶνος τῆς Φίλης, ὃν τοῖς θεοῖς a
φέρει ὁ Ποσειδὼν γόγγρον εἰς τὸν οὐρανόν·
ἅπαντες οἱ Φαγόντες ἐγένοντ' ἂν θεοί.
Ἀθανασίαν εὕρηκα· τοὺς ἤδη νεκροὺς,
ὅταν [μόνον] [3] ὀσφρανθῶσι, ποιῶ ζῆν πάλιν.

XXXIII. Menecrates medicus, cogn. Iupiter.

Ταῦτα, νὴ τὴν Ἀθηνᾶν, οὐδ' ἂν [4] Μενεκράτης ἂν ὁ Συρακόσιος [5] ἐξωγκώσατο, [6] ὁ Ζεὺς ἐπικαλούμενος, ὃς ἐφρόνει μέγα ὡς μόνος αἴτιος τοῦ ζῆν τοῖς ἀνθρώποις γινόμενος διὰ τῆς αὐτοῦ ἰατρικῆς. τοὺς οὖν θεραπευομένους ὑπ' αὐτοῦ τὰς ἱερὰς καλουμένας νόσους, συγγράφεσθαι ἠνάγκαζεν, ὅτι ὑπακούσονται b

1 εἰ δὲ λαβὼν edd. vett. cum ms. *A.* ἢν δὲ λάβω ms. *Ep.* 2 ἄρτι edd. & ms. *A.* Deeſt ms. *Ep.* 3 Vox ex coniect. adiecta. ὅταν τι Grot. Forſan ἅταν γ' ἀποσφρανθῶσι aut ὅταν γὰρ ὀσφρ. 4 οὐδὲ Μενεκρ. edd. 5 Συρακούσιος edd. cum ms. *Ep.* 6 ἐφθέγξατο edd.

piſces coquendos limedones, amnicos.
Quid, ſi accepiſſem ſcarum? quid, ſi ex Attica
glauciſcum? pro Di ſummi, aut ex Argis aprum?
aut congrum, amica de Sicyone qui venit,
coenam Neptunus quam coelitibus fert Diis?
certe convivas cunctos feciſſem Deos.
Reperi immortalitatem: nam iam mortui
in vitam redeunt, ſi quid olfaxint mei.

33. Haec, per Minervam, ne *Menecrates* quidem Syracuſius gloriatus fuiſſet, *Iupiter* cognominatus; qui magnifice de ſe ſentiebat, quaſi unus vitae auctor eſſet hominibus per ſuam artis medicae peritiam. Is igitur hos, quos a ſacris morbis curaſſet, ſcripto cavere coëgit, obtemperaturos ſe illi ſervosque futuros, ubi con-

αὐτῷ δοῦλοι περισωθέντες. καὶ ἠκολούθουν, ὁ μέν τις Ἡρακλέους σκευὴν ἔχων, καὶ καλούμενος Ἡρακλῆς· (Νικόστρατος δ' ἦν οὗτος ὁ Ἀργεῖος, ἱερὰν νόσον θεραπευθείς. μνημονεύει δ' αὐτῶν Ἔφιππος ἐν Πελταστῇ, λέγων ὧδε·

Οὐ Μενεκράτης μὲν ἔφατκεν εἶναι ὁ Θεός; [1]

Νικόστρατος δ' ὁ Ἀργεῖος, ἕτερος Ἡρακλῆς;)

ἄλλος δέ τις ὡς Ἑρμῆς, χλαμύδ' ἔχων καὶ κηρύκειον, πρὸς δὲ τούτοις πτερά· ὡς ὁ Ζελείτης Νικαγόρας, ὁ καὶ τῆς πατρίδος τυραννήσας, ὡς ἱστορεῖ Βάτων [2] ἐν τοῖς Περὶ τῶν ἐν Ἐφέσῳ Τυράννων. Ἡγήσανδρος δέ φησιν, ὅτι καὶ Ἀστυκρέοντα, [3] θεραπευθέντα ὑπ' αὐτοῦ, Ἀπόλλωνα ἐκάλεσε. καὶ ἄλλος δ' αὐτῷ τῶν περισωθέντων, Ἀσκληπιοῦ στολὴν ἀναλαβών, συμπεριεφθείρετο. Αὐτὸς δ' ὁ Ζεὺς, πορφύραν ἠμφιεσμένος, καὶ στέφανον χρυσοῦν ἐπὶ τῆς κε-

1 Forſ. εἶναι Ζεὺς θεός. 2 Βάττων edd. 3 Ἀστυκλέα ms. *Ep.*

valuiſſent. Sequebanturque eum, alius Herculis habitu indutus, & *Hercules* cognominatus: (Nicoſtratus is fuit Argivus, ſacro morbo liberatus; cuius meminit Ephippus in Peltaſte, his verbis:

Nonne Menecrates Deum Iovem ſe eſſe dicebat;
Nicoſtratus vero Argivus, alterum ſe Herculem?)

alius vero Mercurii habitu, chlamydem geſtans & caduceum, inſuperque alas; ſic Zelites Nicagoras, is qui etiam tyrannidem ſuae patriae occupaverat, ut tradit Baton in libris de Epheſiorum tyrannis. Hegeſander vero narrat, Aſtycreontem, quem idem ſanaverat, *Apollinem* ab eo fuiſſe vocatum. Alius rurſus ex his qui valetudini ab eo reſtituti erant, *Aeſculapii* pallio ſumto, in illius comitatu oberravit. Ipſe vero ille *Iupiter*, purpurâ amictus, & auream coronam in capite geſtans, ſceptrum

Φαλῆς ἔχων, καὶ σκῆπτρον κρατῶν, κρηπῖδάς τε ὑποδεδεμένος, περιήει μετὰ τοῦ θείου χοροῦ. καὶ ἐπιστέλλων Φιλίππῳ τῷ βασιλεῖ, οὕτως ἔγραψεν· d

XXXIV. „ Μενεκράτης Ζεὺς Φιλίππῳ χαίρειν.

Menecratis epistola ad Philippum. „ Σὺ μὲν Μακεδονίας βασιλεύεις, ἐγὼ δὲ ἰατρικᾶς. καὶ σὺ μὲν ὑγιαίνοντας δυνάσαι, ὅταν βουληθῇς, ἀπολλύναι· ἐγὼ δὲ τοὺς νοσοῦντας σώζειν, καὶ τοὺς εὐρώστους ἀνόσους, οἳ ἂν ἐμοὶ πείθωνται, [1] παρέχειν μέχρι γήρως ζῶντας. τοιγαροῦν σὲ μὲν Μακεδόνες δορυφοροῦσιν, ἐμὲ δὲ καὶ οἱ μέλλοντες ἔσεσθαι. [2] Ζεὺς γὰρ ἐγὼ αὐτοῖς βίον παρέχω.“ Πρὸς ὃν, ὡς [3] μελαγχολῶντα, ἐπέστειλεν [4] ὁ Φίλιππος· [„ Φίλιππος] [5] Μενεκράτει ὑγιαίνειν.“ Παραπλησίως δὲ ἐπε- e στελλε [6] καὶ Ἀρχιδάμῳ τῷ Λακεδαιμονίων βασιλεῖ, καὶ τοῖς ἄλλοις, ὅσοις ἔγραφεν, οὐκ ἀπεχόμενος τοῦ

1 οἳ ἐμοὶ πείθονται edd. 2 περιέσεσθαι coni. Villebr. cum Dalec. οἱ θεοὶ μέλλοντες ἔσεσθαι coni. Casaub. 3 Carent ὡς edd. 4 ἐπέστελλεν ms. *A*. 5 Deest vulgo posteriori loco nomen Φίλιππος. 6 ἐπέστειλε edd.

manu tenens, soleasque indutus, cum isto Deorum choro terram peragravit. Idem literis datis ad Philippum regem, in hunc modum scripsit:

34. *Menecrates Iupiter Philippo salutem! Tu regnas in Macedonia; ego vero in Medicina. Et tu quidem bene valentes, si volueris, perdere potes: ego vero aegrotos sanare, &, qui bene valent, hos, si mihi pareant, praestare possum a morbis liberos ad senectutem viventes. Quare tibi quidem Macedones satellites sunt; mihi vero quotquot* [*salvi*] *esse cupiunt. Iupiter enim ego vitam illis largior.* Cui homini, tamquam insanienti, Rex rescripsit: *Philippus Menecrati sanitatem!* Similiter vero idem & Archidamo Lacedaemoniorum regi, & aliis, ad quoscumque literas daret, scribere consueverat; *Iovis* sibi nomen tribuens. Quem

Διός. [1] Καλέσας δ' αὐτόν ποτε [2] ἐπὶ δεῖπνον ὁ Φίλιππος μετὰ τῶν ἰδίων θεῶν, συγκατέκλινε πάντας ἐπὶ τῆς μέσης κλίνης, ὑψηλότατα καὶ ἱεροπρεπέστατα [3] κεκοσμημένης· καὶ τράπεζαν παραθεὶς, ἐφ' ἧς βωμὸς ἔκειτο, καὶ τῶν ἀπὸ γῆς πάντων ἄνω [4] ἀπαρχαί. καὶ, ὁπότε τοῖς ἄλλοις παρεφέρετο τὰ ἐδώδιμα, τοῖς ἀμφὶ Μενεκράτη ἐθυμίων καὶ ἔσπενδον αἱ παῖδες. καὶ τέλος ὁ καινὸς Ζεὺς, μετὰ τῶν ὑπηκόων γελώμενος, θεῶν [5] ἔφυγεν ἐκ τοῦ συμποσίου, ὡς Ἡγήσανδρος ἱστορεῖ. Μνημονεύει δὲ τοῦ Μενεκράτους καὶ Ἄλεξις ἐν Μίνῳ.

XXXV. Themiſon, cogn. Hercules.

Καὶ Θεμίσων δ' ὁ Κύπριος, τὰ Ἀντιόχου τοῦ βασιλέως παιδικὰ, ὥς φησι Πύθερμος ὁ Ἐφέσιος ἐν τῇ ὀγδόῃ τῶν Ἱστοριῶν, οὐ μόνον ἐν ταῖς πανηγύρεσιν ἀνεκηρύττετο· Θεμίσων Μακεδὼν, Ἀντιόχου

1 Forſ. τοῦ Διὸς ὀνόματος. 2 δέ ποτε αὐτὸν edd. 3 καὶ μεγαλοπρεπέστατα ἢ ἱεροπρεπ. edd. 4 πάντων ἀπαρχαί ms. *Ep.* πάντων καρπῶν ἀπ. edd. 5 μετὰ τῶν ὑπηκ. γελάμενος θεῶν ed. Caſ.

quum aliquando Philippus ad coenam vocaſſet cum ſuis Diis, cunctos unâ in lecto discumbere fecit in medio ſtante altiſſimo, & veluti Deorum in honorem magnifice exornato: menſamque iuſſit adponi, ſuper qua erat ara exſtructa, cui impoſitae omnium rerum quae terra gignuntur primitiae. Tum, quoties aliis adferebantur cibi, Menecrati eiusque comitibus odores adolebant & libabant pueri: donec ad extremum novus Iupiter, cum ſuis ſubditis riſui habitus, ex illo convivio curſim ſe proriperet; ut idem Hegeſander narrat. Eiusdem autem Menecratis mentionem etiam facit Alexis in Minoë.

35. Sic vero etiam *Themiſon* Cyprius, Antiochi regis amaſius, ut ſcribit Pythermus Epheſius octavo Hiſtoriarum, non modo in publicis hominum conventibus hac formulâ proclamatus eſt: *Themiſon Mace-*

βασιλέως Ἡρακλῆς· ἀλλ' ἔθυον [1] αὐτῷ πάν- a
τες οἱ ἐγχώριοι, ἐπιλέγοντες Ἡρακλεῖ Θεμίσωνι, καὶ
παρῆν αὐτὸς ὁπότε τις τῶν ἐνδόξων θύοι, καὶ ἀνέκει-
το στρωμνὴν καθ' αὑτὸν ἔχων, ἠμφιεσμένος λεοντῆν.
ἐφόρει δὲ καὶ τόξα Σκυθικὰ, καὶ ῥόπαλον ἐκράτει.
Ὁ δ' οὖν Μενεκράτης, τοιοῦτος ὢν οἷος εἴρηται, οὐ-
δὲν παραπλήσιόν ποτε ἐξωγκώσατο, οἷον ὁ προειρη-
μένος μάγειρος,

Ἀθανασίαν ηὕρηκα. τοὺς ἤδη νεκροὺς,
ὅταν ὀσφρανθῶσι, [2] ποιῶ ζῆν πάλιν.

XXXVI. Ἀλαζονικὸν δέ ἐστι πᾶν τὸ τῶν μαγείρων φῦλον· b

Glorioſum genus coquorum. ὡς καὶ Ἡγήσιππος ἐν Ἀδελφοῖς [3] παρίστησι. παράγει δὲ μάγειρον λέγοντα·

Α. Βέλτιστε, πολλοῖς πολλὰ περὶ μαγειρικῆς
εἰρημέν' ἐστίν. ἢ λέγων φαίνου τι δῆ [4]

1 ἀλλ' ἔθυόν τι ed. Caſ. 2 Forſ. ὅταν γ' ἀποσφρ. aut ὅταν γὰρ ὀσφρ. 3 Vulgo h. l. Ἡγήσανδρος ἐν Δελφοῖς. 4 τί μοι edd.

do, Antiochi regis Hercules: ſed & ſacra ei faciebant indigenae omnes, adclamantes *Themiſoni Herculi!* Et, quoties ex illuſtribus aliquis ſacra faceret, aderat ipſe, feorſim ſublimi in lecto cubans, leonis pelle veſtitus. Geſtabatque etiam Scythicum arcum, & clavam manu tenebat. Igitur Menecrates, quamquam talis qualem diximus, numquam aliquid ſimile gloriatus eſt, quale praedictus coquus:

Reperi immortalitatem! nam iam mortui
in vitam redeunt, ſi quid olfaxint mei.

36. Eſt autem glorioſum omne Coquorum genus: quemadmodum Hegeſippus in Adelphis docet. Inducit enim coquum iſta loquentem.

A. *Multis multa, o optime, de arte culinaria*
dicta ſunt: aut fac ut videaris mihi novi quidpiam

καινὸν παρὰ τοὺς ἔμπροσθεν, ἢ μὴ κόπτ' ἐμέ.
B. Οὔκ· ἀλλὰ τὸ πέρας τῆς μαγειρικῆς, Σύρε, [1]
εὑρημένον εἰδέναι νομίζε μόνον ἐμέ. [2]
Οὐ γὰρ παρέργως ἔμαθον ἐν ἔτεσιν δυεῖν,
ἔχων περίζωμ'· ἀλλ' ἅπαντα τὸν βίον
ζητῶν κατὰ μέρη τὴν τέχνην ἐξήτακα. [3]
c εἴδη λαχάνων ὅσ' ἐστὶ, βεμβράδων [4] τρόπους, [5]
φακῆς γένη παντοδαπά. τὸ πέρας σοι λέγω·
ὅταν ἐν περιδείπνῳ τυγχάνω διακονῶν,
ἐπὰν τάχιστ' ἔλθωσιν ἐκ τῆς ἐκφορᾶς,
τὰ βάπτ' ἔχοντες, τοὐπίθημα τῆς χύτρας
ἀφελὼν, ἐποίησα τοὺς δακρύοντας γελᾶν·
τοιοῦτος ἔνδοθέν τις ἐν τῷ σώματι
διέδραμε γαργαλισμὸς, ὡς ὄντων γάμων.
A. Φακῆν παρατιθεὶς, εἰπέ μοι, καὶ βεμβράδας; [6]

1 Vulgo τῆς μαγειρικῆς εὗρε. 2 Vulgo εὕρημα μόνον εἰδέναι τῶν νομιζομένων ἐμέ. 3 ἐξήτασα edd. 4 μεμβράδων ms. *Ep.* 5 τρόπος edd. 6 μεμβράδας ms. *Ep.*

praeter caeteros commemorare; aut ne me obtundito.
B. *Non: sed finem artis culinariae, Syre,*
reperisse nosseque me unum puta.
Non enim perfunctorie didici biennio
ventrali praecinctus: sed totâ vitâ
hanc artem exploravi, particulatim omnia quaerens:
quot sint olerum species, bembradum mores,
lenticulae varia genera. Denique tibi dico:
si quando in silicernio ego ministro;
ubi primum redeunt ab exequiis,
pullis induti vestibus, simul atque ollae operculum
tollo, e lacrymantibus ridentes facio:
talis quaedam interiora corporis
percurrit titillatio, ac si fiant nuptiae.
A. *Lenticulam dum adponis, dic mihi, & bembradas?*

Β. Τὰ πάρεργά μου ταῦτ' ἐστίν. ἐὰν δὲ δὴ λάβω [1]
τὰ δέοντα, καὶ τοὐπτάνιον [2] ἁρμόσωμ' [3] ἅπαξ· d
ὅπερ ἐπὶ τῶν ἔμπροσθε Σειρήνων, Σύρε,
ἐγένετο, καὶ νῦν ταὐτὸ τοῦτ' ὄψει πάλιν.
ὑπὸ τῆς ὀσμῆς γὰρ οὐδὲ εἷς [4] δυνήσεται
ἁπλῶς διελθεῖν τὸν στενωπὸν τουτονί·
ὁ δὲ παριὼν πᾶς εὐθέως πρὸς τὴν θύραν
ἑστήξετ' ἀχανὴς, προσπεπατταλευμένος,
ἄφωνος, ἄχρι ἂν τῶν φίλων, [5] βεβυσμένος
τὴν ῥῖν', ἕτερός τις προσθραμὼν ἀποσπάσῃ.
Α. Μέγας εἶ τεχνίτης. Β. Ἀγνοεῖς πρὸς ὃν λαλεῖς· e
πολλοὺς ἐγὼ σφόδρ' οἶδα τῶν καθημένων,
οἳ καταβεβρώκασ' ἕνεκ' ἐμοῦ τὰς οὐσίας.

Πρὸς τῶν θεῶν τί διαφέρειν οὗτος ὑμῖν δοκεῖ τῶν παρὰ Πινδάρῳ Κηληδόνων, αἳ κατὰ τὸν αὐτὸν τρόπον

1 ἐὰν δὲ μὴ λάβω ms. *A.* ἢν δὲ λάβω ms. *Ep.* 2 τοὐπτανεῖον vulgo. 3 ἁρμόσαμαι ἅπαξ mssti. 4 ὑπὸ τῆς ὀδμῆς γὰρ οὐδεὶς edd. 5 ἄχρις ἂν αὐτὸν τῶν φίλων edd. Hinc vocem ἄφωνος delens Valck. legebat ἄχρις γ' ἂν αὐτὸν τῶν φιλ.

B. *Haec sunt quae obiter facio. At quod si nactus fuero*
quae opus sunt, & culinam semel instruxero;
quod olim apud Sirenas, Syre,
accidit, id ipsum nunc iterum videbis:
prae odore enim nemo unus poterit
angiportum hunc praetergredi;
sed, quisquis praeterit, is statim ad fores
consistet attonitus, veluti clavis adfixus,
mutus, donec eum amicorum aliquis, cui obturatae
nares, adcurrens abstrahat.
A. *Magnus es artifex.* B. *Nescis cum quo loquaris:*
multos admodum ego novi hic sedentium,
qui sua propter me bona devorarunt.

Quid, quaeso, per Deos, homo hic videtur vobis differre a Pindari Celedonibus, quae eodem modo quo

ταῖς Σειρῆσι τοὺς ἀκροωμένους ἐποίουν, ἐπιλανθανομένους τῶν τροφῶν διὰ τὴν ἡδονὴν, ἀφαυαίνεσθαι.

XXXVII. Coquus plures artes doctus.

Νικόμαχος δ', ἐν Εἰλειθυίᾳ, καὶ αὐτὸς παράγει τινὰ μάγειρον ὑπερβάλλοντα τοὺς περὶ τὸν Διόνυσον τεχνίτας. λέγει δ' οὖν οὗτος πρὸς τὸν μισθωσάμενον·

f A. Ὑποδεικνύεις μὲν ἦθος ἀστεῖον πάνυ
καὶ πρᾶον· ὀλίγωρον δὲ πεποίηκάς τι. B. Πῶς;
A. Ἐν τῇ τέχνῃ τίνες ἐσμὲν, οὐκ ἐξήτακας.
ἢ πρότερον ἐπύθου τῶν ἀκριβῶς εἰδότων,
οὕτω τ' ἐμισθώσω με; B. Μὰ Δί', ἐγὼ μὲν οὐκ
ὤμην. A. Ἴσως, [1] ὅσον μαγείρου διαφέρει [2]
a μάγειρος, οὐκ οἶσθ'; B. Εἴσομαι δέ γ', ἢν λέγῃς.
A. Τὸ γὰρ, παραλαβόντ' ὄψον ἡγορασμένον
πρότερον [3] ἀποδοῦναι σκευάσαντα μουσικῶς,

1 Iungit ὤμην ἴσως, & interpungit (vſ. ſq.) poſt μάγειρος ms. *Ep.* & ed. Caſ. Grotius vſ. praec. interpungit poſt ἐγὼ μὲν οὐκ. Tum ſic legit: Ἢ μὴν ἴσως ὅσον διαφ. 2 ὅσον διαφέρει διακόνου edd. Hinc vertit Grotius; *famulus & coquus quid diſtent.* ὅσον διαφέρει μαγείρου mssti. 3 πότερον vulgo.

Sirenes, effecerunt ut alimentorum ob voluptatem obliti auditores extabeſcerent.

37. Nicomachus vero, in Lucinâ, introducit coquum aliquem, Dionyſiacos (id eſt, ſcenicos) artifices [inſolenti vaniloquentiâ] ſuperantem. Is igitur cum eo, a quo fuerat mercede conductus, ſic colloquitur:

A. *Ingenium lepidum oſtendis ac tractabile:*
ſed negligenter hic feciſti. B. *Quomodo?*
A. *Non exploraſti in arte me quantus forem.*
An forte ab aliis, rem qui ſcirent, didiceras?
atque ita me conduxiſti? B. *Nil certe minus.*
A. *Ignorans igitur fortaſſe, coquus & coquus*
quid diſtent. B. *At, ſi docueris, iam ſcivero.*
A. *Accipere ab alio praeſtinatum obſonium,*
id ſic ut oportet concinnatum reddere,

διακόνου ἐστὶ τοῦ τυχόντος. [1] Β. Ἡράκλεις.
Α. Ὁ μάγειρός ἐσθ' ὁ τέλειος· ἑτέρα διάθεσις.
Πολλὰς τέχνας λάβοις ἂν ἐνδόξους πάνυ, [2]
ὧν τὸν μαθεῖν βουλόμενον ὀρθῶς οὐκ ἔνι
ταύταις [3] προσελθεῖν εὐθύς· ἀλλ' ἔμπροσθε δεῖ [4]
ζωγραφίας ἦφθαι. ταυτὰ [5] καὶ μαγειρικῆς
πρότερον μαθεῖν δεῖ τῆς τέχνης ἑτέρας τέχνας·
ὧν εἰδέναι σοι κρεῖττον ἦν, μοὶ πρὶν λαλεῖν· [6] b
Ἀστρολογικὴν, Ἰατρικὴν, Γεωμετρικήν.
τῶν ἰχθύων γὰρ τὰς δυνάμεις καὶ τὰς τέχνας [7]
ἐντεῦθεν εἴσῃ· παρακολουθήσεις χρόνοις,
πότ' ἄωρος ἐσθ' ἕκαστος, ἢ πόθ' ὥριμος.
τῶν ἡδονῶν γὰρ μεγάλα τὰ διαστήματα·

1 Grotius vertit: *famuli ſunt opera, non coqui.* In ms. *A.* videtur indicari haec ſcriptura, διακόσου 'στ' οὐ τοῦ τυχόντος. Unde haec fortaſſe *interrogative* accipienda, & perſonae *B.* tribuenda. 2 An ἄνευ? ad ὧν referendum. Grotius πάνυ tenens, dein corrigit ὧν μὴ μαθεῖν βουλ. 3 ταύτῃ legit Grot. 4 Forſ. ἔμπροσθε δὴ, & dein δεῖ ζωγραφίας. 5 Grotius, ἦφθαί τι· καὶ μαγειρ. 6 λαβεῖν edd. Grotius: (ἃ σ' εἰδέναι μοι κρεῖττον ἦν πρὶν ἐμὲ λαβεῖν.) 7 καὶ τἀσθενῆ Grot.

famuli ſunt opera cuiuslibet. B. *Quid praedicas?*
A. *Coqui perfecti longe eſt alia qualitas.*
Multas ego artes claras nominaverim,
quas qui non recte didicerit, non debeat
ad noſtram proſilire. De Pictoria
arte aliquid deguſtandum eſt. Inde aliae quoque
addiſcendae artes ante hanc: (intererat meâ
haec ſcire te priusquam me conduceres:)
ut Medica, Sideralis, & Menſoria.
Namque omnes vires piſcium & invalentiam
hinc noſſe dabitur, quando ſi conſideres
quisque intempeſtus aut tempeſtivus fiet.
Habent articulos nam voluptates ſuos:

ἐνίοτε κρειττων γίνεται θύννου βόαξ.
Β. Ἔστω. Γεωμετρικῇ δὲ καὶ σοὶ πρᾶγμα τί;
Α. Τοὐπτάνιον [1] ἡμεῖς σφαῖραν εἶναι τιθέμεθα.
τοῦτο διελέσθαι, καὶ τόπον λαβόνθ' ἕνα
c μερίσαι κατ' εἶδος τῆς τέχνης ἐπιδέξια,
ἐκεῖθεν ἐνταῦθ' ἐστὶ μετενηνεγμένα.
Β. Οὗτος, [2] πέπεισμαι· καὶ τὰ λοιπὰ μὴ λαλῇς.
περὶ τῆς Ἰατρικῆς δέ; Α. Τῶν γὰρ βρομάτων
πνευματικὰ καὶ δύσπεπτα, καὶ τιμωρίαν
ἔχοντ' ἔνεστιν, οὐ τροφήν. δειπνῶν δὲ πᾶς
τ' ἀλλότρια γίνετ' ὀξύχειρ, κ' οὐκ ἐγκρατής.
τοῖς δὴ τοιούτοις βρώμασι τὰ φάρμακα
εὕρητ' ἐκεῖθεν. μεταφορὰ δ' ἔστιν τέχνης
d ἤδη, τὸ μετὰ νοῦ καὶ τὸ συμμέτρως ἐμόν· [3]
παρὰ [4] Τακτικῆς, ἕκαστα ποῦ τεθήσεται· [5]

1 τοὐπταπεῖον vulgo. 2 Οὕτως edd. 3 ἐμοὶ corrigunt. 4 περὶ Ms. 5 Inverſe Grotius: ἕκαστα ποῦ τεθήσεται, παρὰ ταχτικῆς.

eſt cum ſit ipſo ſuavior thynno boax.
B. *Hoc ita ſit: verum tibi quid cum Menſoria?*
A. *Culinam nobis ceu globum proponimus:*
hunc bene partiri, &, unum cum accepſis locum,
ſpeciatim distribuere, prout arti expedit;
haec tralatitia ex Arte ſunt Menſoria.
B. *Et hoc concedo: verbis nil ultra eſt opus.*
At de Medicina? A. *Sunt difficiles concoqui*
quidam, ventorum concitatores cibi;
tormenta, non alimenta. Tum vero ſolent
qui aliena coenant, avidi eſſe, immemores modi.
Ad tales igitur paſtus nobis remedia
illinc petenda. Cuncta ut convenientibus
locis locentur accurate & ordine,
hoc mutuandum ab Arte Induperatoria eſt.

ἀριθμῷ τὸ πλῆθος εἰδέναι, Ἀριθμητικῆς.[1]
οὐδεὶς ἕτερός σοι πρὸς ἐμὲ καὶ γραφήσεται.[2]
Β. Μικρὰ διακουσον ἐν μέρει κἀμοῦ. Α. Λέγε.
Β. Σὺ μηδὲν ἐνόχλει, μήτε σαυτὸν, μήτ' ἐμέ·
ἀπραγμόνως δὲ διαγενοῦ τὴν ἡμέραν.

XXXVIII. Coquus magiſter.

Ὁ δὲ παρὰ τῷ νεωτέρῳ Φιλήμονι μάγειρος διδασκαλικός τις εἶναι θέλει, τοιαῦτά τινα λαλῶν·

Ἐάσαθ' οὕτως, ὡς ἔχει.[3] τὸ πῦρ μόνον
ποιεῖτε τοῖς ὀπτοῖσι[4] μή τ' ἀνειμένον·
(τὸ γὰρ τοιοῦτ' οὐκ ὀπτὸν, ἀλλ' ἑφθὸν ποιεῖ,)
μή τ' ὀξύ. κατακάει γὰρ ὅσ' ἂν ἔξω λάβῃ
τοῦτο πάλιν, εἰς τὴν σάρκα δ' οὐκ ἐνδύεται.
Μάγειρός ἐστιν, οὐκ ἐὰν ζωμήρυσιν
ἔχων τις ἔλθῃ καὶ μάχαιραν πρός τινα,
οὐδ' ἄν τις εἰς τὰς λοπάδας ἰχθῦς ἐμβάλῃ·

1 μαγειρικῆς vulgo. 2 τάδε γραφήσεται Grot. γ' ἐγγραφήσεται Caſaub. Forſ. κ' ἐγγραφήσεται. 3 Vulgo οὕτως ἔχειν. 4 ὀπτοῖς vulgo.

Convivas numerare, Artis eſt Numerariae.
Nemo alius haec, praeter me, deſcribet tibi.
B. *Rogo, me viciſſim ut audias paullum.* A. *Audio.*
B. *Noli moleſtus eſſe vel tibi, vel mihi:*
ſed feriare, quantum in me eſt, hunc diem.

38. Apud iuniorem Philemonem coquus, magiſtri auctoritatem ſibi vendicans, huiusmodi quaedam ait:

Sic, ſic abire ſinite: atque iſtud cernite,
ad aſſandum ignis ne ſit aequo tenuior,
(elixat namque is carnes, non aſſas facit:)
nec vehemens; namque is urit cuncta extrinſecus,
neque interim ipſas penitus carnes percoquit.
Non, ſi quis geſtat ad confutandum truam,
adde etiam cultrum, dixeris recte Coquum;
nec ſi quis piſces in patellam iecerit.

f ἀλλ' ἔστι τις Φρόνησις ἐν τῷ πράγματι.

XXXIX. Coquus, difficilis in locandâ opera.

Ὁ δὲ παρὰ Διφίλῳ ἐν τῷ Ζωγράφῳ, καὶ πρὸς οὓς ἐκμισθοῦν αὐτὸν δεῖ διδάσκει, λέγων οὕτως·

Α. Οὐ μὴ παραλάβω σου (θᾶμ' οὐ δρακὼν ἐγὼ) [1] ἔπεργον, [2] οὖ [3] μὴ διατελεῖς [4] τὴν ἡμέραν τραπεζοποιῶν ἐν ἀγαθοῖς πολλοῖς χύδην.
Οὐ γὰρ βαδίζω πρότερον, ἐὰν μὴ δοκιμάσω,
a τίς ἔσθ' ὁ θύων, ἢ πόθεν συνίσταται
τὸ δεῖπνον, ἢ κέκληκεν ἀνθρώπους τίνας.
Ἔστιν δ' ἁπάντων τῶν γενῶν μοι διαγραφὴ,
εἰς ποῖα μισθοῦν ἢ φυλάττεσθαί με δεῖ.
Οἷον τὸ κατὰ τοὐμπόριον, εἰ βούλει, γένος.
ναύκληρος ἀποθύει τις εὐχὴν, [5] ἀποβαλὼν

1 Vulgo σου θάμ' οὐ δράχων ἐγώ. Ubi corrigunt, τοῦ-δον, οὐδ' ἔχω γ' ἐγώ. 2 ἐπ' ἔργον vulgo. 3 οὐ vulgo. 4 διατελῆς edd. Ubi corrigunt διατελῶ. 5 Temere εὐθὺς edd.

Prudentiâ opus eſt hoc quoque in negotio.

39. Alius apud Diphilum, in Pictore, docet etiam, quibus hominibus operam ſuam locare coquus debeat, ſic loquens:

A. *Non accipiam tuam (meum non reſpiciens commodum) operis ſocietatem, niſi ſicubi aſſidue totum diem menſam ſtruis multis bonis affluentem.*

[Sive ex Grotii verſione:

Obſonium non accipio, operam nec meam addico, niſi ſim certus me totum diem ſtructurum rebus affatim affluentibus.]

Neque ante quemquam ſector, quam cognovero quis ſit ſacrum facturus, aut quâ gratiâ convivium paret, & quos advocaverit.
Nam forma apud me generum deſcripta omnium eſt, queis me elocare, quos cavere debeam.
Primum, ut de genere dicam mercatorio:
nauta aliquis voti damnatus facit ſacrum,

τὸν ἱστὸν, ἢ πηδάλια [1] συντρίψας νεὼς,
ἢ Φορτί' ἐξέρριψ' ὑπέραντλος γενόμενος.
ἀΦῆκα τὸν τοιοῦτον. οὐθὲν ἡδέως
ποιεῖ γὰρ οὗτος, ἀλλ' ὅσον νόμου χάριν·
ὁμοῦ δὲ ταῖς σπονδαῖσι διαλογίζεται, 15 b
τοῖς συμπλέουσιν ὁπόσον ἐπιβάλλει μέρος
τιθείς. τὰ Θ' αὑτοῦ σπλάγχν' ἕκαστος ἐσθίει.
Ἀλλ' ἕτερος εἰσπέπλευκεν ἐκ Βυζαντίου
τριταῖος, ἀπαθὴς, εὐπόρηκὼς, περιχαρὴς
εἰς δέκ' ἐπὶ τῇ μνᾷ γεγονέναι καὶ δώδεκα, 20
λαλῶν [2] τὰ ναῦλα, καὶ δάνει' ἐρυγγάνων,
ἀΦροδίσι' ὑπὸ κόλλοψι μαστροποῖς ποιῶν·
ὑπὸ τοῦτον ὑπέμυξ' [3] εὐθὺς ἐκβεβηκότα,
τὴν δεξιὰν ἐνέβαλον, ἐμνήσθην Διὸς
Σωτῆρος, ἐμπέπηγα τῷ διακονεῖν. 25 e

1 πηδάλιόν τι vulgo. 2 λαβὼν edd. 3 ὑπέμυσ' legit Dalec. *oculis adſpicio nictitantibus.* An ὑπέμιξ'?

qui clavum fregit, malum aut praecipitem dedit,
aut iactum fecit cum ſentina graveſceret;
omitto hunc nil cunctatus: nam, quicquid facit,
facit dicis cauſſa, haud animi ex ſententia;
tum vero inter libandum ponit calculum,
quantum eius imputandum ſit vectoribus:
ſuamque de extis ſinguli partem vorant.
Byzantio alius autem nudius tertius
egreſſus venit ſalvus huc, re ſoſpite,
decem lucratus in minas aut duodecim
drachmas, vecturâ acceptâ, ructans foenora;
qui Veneri faciat duris ſub lenonibus.
Hunc, ſimul exſcendit, propter emungor, manum
cedo, Iovique Praeſtiti grates ago,
neque ipſe totus ad miniſterium apparo.

Τοιοῦτος ὁ τρόπος. Μειράκιον ἐρῶν πάλιν
τὰ πατρῷα βρύκει καὶ σπαθᾷ. πορεύομαι.
Ἀπὸ συμβολῶν συνάγοντα, νὴ Δί', ἑτερά που
ἐνέβαλεν εἰς τὸν κέραμον ἔνι' εὑρημένα, [1]
τὰ κράσπεδ' ἀποθλίβοντα, καὶ κεκραγότα,
„ὀψάριον ἀγοραῖον ποιεῖν τίς βούλεται;"
ἐῶ βοᾶν. πληγὰς γάρ ἐστι προλαμβάνειν [2]
ἐλθόντα, καὶ τὴν νύχθ' ὅλην διακονεῖν.
τὸ μισθάριον γὰρ ἐὰν [3] ἀπαιτῇς· ἀμίδα μοι
d ἔνεγκε πρῶτον, Φησίν. ὄξος ἡ Φακῆ
οὐκ εἶχε. πάλιν ἤτησας· οἰμώξει [4] μακρὰ
πρῶτος μαγείρων, Φησίν. ἕτερα μυρία
τοιαῦτα καταλέξαιμ' ἄν. Β. Οὔ δὲ νῦν σ' ἄγω,
πορνεῖον ἐστίν· πολυτελῶς Ἀδώνια
ἄγουσ' ἑταίρα μεθ' ἑτέρων πορνῶν χύδην.

1 ἐν εὑρημένα edd. An ἐνευρημένα? ἐνουρημένα Coray. 2 προσλαμβάνειν Ms. Forſ. προσλαβεῖν. 3 ἂν vulgo. 4 οἰμώξεις edd.

Meus iſte mos eſt. Iuvenis amore perditus
rem patriam luxu prodigit: ſequor hunc ego.
At alios, eſſe qui volunt de ſymbolis,
repertumque aliquid iaciunt ſorte in urceum,
quamvis torquentes fimbrias clament diu,
„*Vile obſoniolum quisnam eſt qui nobis paret?*"
ſino clamitare. Nam principio verbera
ibi ſunt parata, & noctis perpetuae labor.
Quod ſi mercedem flagites: Matulam mihi
prius, inquit, praebe; lenti, ne oblitum putes,
acetum deerat. Poſcas iterum. Nae tu, ait,
flebis coquorum primus. Sexcenta id genus
adferre poſſum. B. Verum, quo te ductito,
lupanar eſt opiparum: ſcortum nobile
Adonia agere vult cum ſociennis ſuis:

σαυτὸν ἀποτάξεις [1] τόν τε κόλπον ἀποτρέχων.

XL. Coquulus expeditus.

Καὶ παρ' Ἀρχεδίκῳ δέ, ἐν Θησαυρῷ, ἄλλος σοφιστὴς μαγειρίσκος τάδε λέγει· e

Πρῶτον μὲν, ὠμῶν κειμένων
τῶν ἰχθύων, πάρεισιν οἱ κεκλημένοι.
„Δίδου κατὰ χειρός." — „Τοῦψον οἰχήσει λαβών."
Τὰς λοπάδας ἐπιθεὶς ἐπὶ τὸ πῦρ, τοὺς ἄνθρακας
ἔῤῥαν' ἐλαίῳ, πάντα καὶ ποιῶ φλόγα. 5
ἐν ᾧ τὸ λάχανον αἵ τε τῶν παροψίδων
τὸν ἄνδρα θριμύτητες εὐφραίνουσί μου,
ἕφθὸν τὸν ἰχθὺν ἀποδίδωμι, [2] ἔχοντα τοὺς
χυμοὺς ἐν αὐτῷ, τήν τε τῆς ἅλμης ἀκμὴν, f
εἰς ἣν ἂν ἐμβάψαιτο πᾶς [3] ἐλεύθερος. 10
ἐλαδίου κοτύλης τε παῤαναλωμένης,
σέσωκ' ἐμοὶ [4] τρίκλινα πεντήκοντ' ἴσως.

1 ἀποσάξεις Grot. cum Caſ. 2 ἀποδιδόντ' edd. 3 πᾶς ἀνὴρ ἐλεύθερος Ms. 4 Vulgo σέσωκέ μου.

ubi abibis, & te excuties, & pariter ſinum.

40. Porro apud Archedicum, in Theſauro, alius Coquulus argutator haec loquitur:

Primum quidem, crudi adhuc quum iacerent
piſces, iam aderant convivae.
» *Da aquam ad lavandum!* « — » *Piſces illico auferes.* «
Lancibus igni impoſitis, carbones
perfudi oleo, latamque facio flammam.
Interea dum olus & paropſidum
ſuavis acrimonia hominem oblectant meum,
elixum piſcem reddo, habentem
ſuccos in ſe, & muriae praeſtantiam,
in quam ſe ingurgitaſſet ingenuus quilibet.
Sic unâ vilis olei inſumtâ cotulâ,
ſervavi mihi epulas quinquaginta fortaſſe.

Φιλοστέφανος δ', ἐν Δηλίῳ, καὶ ὀνόματα ἐνδόξων μαγείρων ἐν τοῖσδε καταλέγει·

a Εἰδώς σε πάντων διαφέροντα τῇ τέχνῃ
τῇ τ' ὀξύτητι, μετὰ Θίμβρωνα, Δαίδαλε,
τὸν ἐξ Ἀθηνῶν, τὸν καλούμενον Πέρας·
δοὺς μισθὸν, ὃν μ' ἤτησας, [1] ἧκω δεῦρ' ἄγων. [2]

Thimbro, clarus coquus.

XLI.

Σωτάδης δὲ, οὐχ ὁ τῶν Ἰωνικῶν ἀσμάτων ποιητὴς ὁ Μαρωνίτης, ἀλλ' ὁ τῆς μέσης κωμῳδίας, ποιεῖ καὶ αὐτὸς, ἐν Ἐγκλειομέναις (οὕτω γὰρ ἐπιγράφει τὸ δρᾶμα) τοιάδε μάγειρον λέγοντα·

Sodates, alius Lyricus, alius Comicus.

Καρῖδας ἔλαβον πρῶτον, ἀπετηγάνισα
b ταύτας ἁπάσας. Γαλεὸς εἴληπται μέγας·
ὤπτησα τὰ μέσα, τὴν δὲ λοιπὴν γρυμέαν
ἕψω, ποιήσας τρίμμα συκαμίνινον. [3]
Γλαύκου φέρω κεφάλαια παμμεγέθη δύο, 5

1 ὃν ἤτησας vulgo. Forſ. ὅν γ' ἤτησας. 2 ἧκω † δεῦρ' ἀγαγὸν σε. edd. ἧκω δεῦρ' ἄγων σε. Ms. 3 συκάμινον vulgo.

Philoſtephanus vero, in Delio, etiam nomina recenſet clarorum coquorum, ubi ait:

Quum ſciam, te omnes antecellere arte
ingeniique acumine, poſt Thimbronem, Daedale,
Athenienſem, Culmen cognominatum,
huc veni te arceſſitum, data mercede quam poſtulaſti.

41. Denique etiam Sotades, non Maronita ille, Ionicarum cantilenarum poëta, ſed Mediae Comoediae, in fabula quam Incluſas inſcripſit, coquum facit haecce loquentem:

Squillas ſumſi primum: in ſartagine frixi
iſtas omnes. Muſtelum accepi magnum:
huius medias aſſavi partes, reliquas quisquilias
elixo, intritum faciens ſycaminum,
Glauci fero capita vaegrandia duo;

ἐν λοπάδι μεγάλῃ ταῦτα, λιτῶς προσαγαγὼν
χλόην, κύμινον, ἅλας, ὕδωρ, ἐλάδιον. [1]
Λάβρακα μετὰ ταῦτ' ἐπριάμην καλὸν σφόδρα·
ἔσται δι' ἅλμης λιπαρὸς ἐφθὸς ἐν χλόῃ.
Ἀποδοὺς [2] ὅσ' ἐστὶν ἀπ' ὀβελίσκου ὄπταν', [3]
τρίγλας καλὰς ἠγόρασα καὶ κίχλας καλάς·
ἔρριψα ταύτας [4] ἐπὶ τὸν ἄνθρακ', ὡς ἔχει,
ἅλμῃ τε λιπαρᾷ παρατίθημι ὀρίγανον.
Ταύταις [5] προσέλαβον σηπίας καὶ τευθίδας·
ἀστεῖον ὤφθη τευθὶς ὠνθυλευμένη,
καὶ πτερύγι' [6] ἁπλῶς σηπίας ὠπτημένα.
τριμμάτιον ὠκείωσα τούτοις ἄνθινον
παντοδαπόν. Ἕψητα [7] δὲ μετὰ ταῦτ' ἐστίν τινα· [8]
ὀξυλίπαρον τούτοις ἔδωκα χυμίον.

1 ἔλαιον vulgo. 2 Suspectum verbum. 3 Vulgo ὃς ἐστιν ἀποβέλισον ὄπταναι. 4 ταῦτα mssti. 5 ταύταισι vulgo. 6 πτέρυγ' vulgo. 7 ἑψητὸν vulgo. 8 Deest τινα edd. sed videtur indicari in Ms.

ingenti haec in lance, simpliciter adiectis
herbulis, cumino, sale, aqua, & olei parum.
Lupum post haec emi pulcrum admodum:
hic pinguis in muria elixabitur cum herbulis.
Omittens omnia ex verubus assa,
pulcros emi mullos, turdosque pulcros;
hos carbonibus imposui simpliciter,
tum pingui muriae adiicio origanum.
Ad haec sepias sumsi & loligines:
bella res visa, loligo omni artis lenocinio parata,
& pinnulae sepiae simpliciter assatae:
intritum his adcommodavi floridum
multifarium. Hepseti deinde adsunt nonnulli:
his dedi scitamentum ex oleo cum aceto.

d Γόγγρον ἐπὶ τούτοις ἐπριάμην, παχὺν σφόδρα·
κατέπνιξ' ἐν ἅλμῃ τοῦτον εὐανθεστέρᾳ.
Κωβίδι' ἄττα καὶ πετραῖα δή τινα
ἰχθύδια· τούτων ἀποκνίσας τὰ κρανία,
ἐμόλυν' ἀλεύρῳ τοιούτῳ τρόπῳ [1] τινί,
πέμπω τε ταῖς καρῖσι τὴν αὐτὴν ὁδόν.
Ἀμίαν τε χήραν, θηρίον καλὸν σφόδρα·
θρίοισι ταύτην εἴλυσ', [2] ἐλαδίῳ διεὶς,
ἐσπαργάνωσα περιπάσας ὀρίγανον,
e ἐνέκρυψά θ' ὥσπερ δαλὸν εἰς πολλὴν τέφραν.
Ἀφύαν θ' ἅμ' αὐτῇ παρέλαβον Φαληρικήν.
εἰς κύαθος ἐνταῦθ' ὕδατος ἐπιχυθεὶς, πολὺ·
τεμὼν δὲ λεπτὴν τῆς χλόης, καὶ πλείονα,
κἂν ᾖ δικότυλος λήκυθος, καταστρέφω.
Τί λοιπόν; Οὐδὲν ἄλλο. τοῦτ' ἔσθ' ἡ τέχνη,

1 Deeſt vulgo τρόπῳ. Ibi ταῦτα τοιούτῳ τινὶ corrigit Caſaub. 2 εἴλησ' edd. εἴλης' ms. *Ep.* ἅλασ' ms. *A.*

Congrum inſuper emi, craſſum admodum:
hunc in muria ſuffocavi fragrantiſſima.
Sunt gobioli nonnulli, & ſaxatiles quidam
piſculi: hos, avulſis capitibus,
farina eodem modo reſperſi,
eademque ratione, qua ſquillas, adparo.
Amiamque viduam, pulcram ſane beſtiam;
hanc foliis ficus obvolutam, oleoque rigatam,
& origano circumquaque conſperſam faſciavi,
ac veluti titionem multo ſub cinere condidi.
Apuamque ſimul ſumſi Phalericam:
huic unus adfuſus aquae cyathus, multum eſt;
herbulis vero minutim conciſis, olei multo amplius
infundo, ampullam duas licet capientem cotulas totam
invertens.
Quid reliquum? Nihil aliud: haec eſt ars,

οὐκ' ἐξ ἀπογραφῆς, οὐδὲ δι' ὑπομνημάτων.

XLII. Καὶ μαγείρων μὲν ἄλις· περὶ δὲ τοῦ γόγγρου λεκτέον. [1] Ἀρχέστρατος μὲν γὰρ ἐν τῇ Γαστρονομίᾳ, ἃ καὶ ὁπόθεν ἕκαστον μέρος αὐτοῦ δεῖ συνωνεῖσθαι, διηγεῖται οὕτως·

Rursus de Congro.

Γόγγρου μὲν γὰρ ἔχεις κεφαλὴν φίλος [2] ἐν Σικυῶνι,
πίονος, ἰσχυροῦ, μεγάλου, καὶ πάντα τὰ κοῖλα.
εἶτα χρόνον πολὺν ἕψε χλόῃ περίπαστον ἐν ἅλμῃ.

Ἑξῆς τε περὶ τῶν κατ' Ἰταλίαν τόπων διεξιὼν πάλιν ὁ καλὸς οὗτος Περιηγητής, φησίν·

Καὶ γόγγρος σπουδαῖος ἁλίσκεται, ὥστε τοσοῦτον
τῶν ἄλλων πάντων ὄψων κρατεῖ οὗτος, ὅσον περ
θύννος ὁ πιότατος τῶν φαυλοτάτων κορακίνων.

Ἄλεξις, ἐν Ἑπτὰ ἐπὶ Θήβαις· [3]

— Γόγγρου δ' ὁμοῦ μέλη

1 Ἰδίον δὲ γόγγρου περὶ λεκτέον ed. Cas. 2 φίλῃ malim. 3 Θήβας edd.

quae non ex profeſſione exiſtit, nec e commentariis diſcitur.

42. Sed de Coquis ſatis: eſt enim de *Congro* dicendum. Cuius quidem partes etiam ſingulae unde ſint coëmendae, Archeſtratus in Gaſtronomia docuit, ſic ſcribens:

Congri quidem habes caput carâ in Sicyone
pinguis, validi, magni; inteſtinaque omnia.
Deinde circumſparſum olusculis elixa diu in muria.

Poſt haec de Italiae locis diſſerens idem praeclarus Itinerator, ait:

Et conger ibi capitur eximius, qui tantum
aliis omnibus antecellit obſoniis, quantum
pinguiſſimus thynnus viliſſimis coracinis.

Alexis, in Septem contra Thebas:

— Congri ſimul artus

σωρευτὰ, πιμελῆς ὑπογέμοντα. —

b Ἀρχέδικος δ', ἐν Θησαυρῷ, παράγει τινὰ μάγειρον, λέγοντα περὶ ὧν ὠψώνηκεν αὐτός·

Δραχμῶν τριῶν γλαυκίσκον· — — —
γόγγρου [δὲ][1] κεφαλὴν καὶ τὰ πρῶτα τεμάχια [2]
δραχμῶν πάλιν πέντ'. ὦ ταλαιπώρου βίου.
δραχμῆς τραχήλους. Ἀλλὰ, νὴ τὸν ἥλιον,
καὶμοὶ τράχηλον ἕτερον εἴ ποθεν λαβεῖν
ἦν καὶ πρίασθαι δυνατὸν, ὃν ἔχω τοῦτον ἂν,
πρὶν εἰσενεγκεῖν ταῦτα δεῦρ', ἀπηγξάμην.

c Οὐθεὶς δεδιηκόνηκεν [3] ἐπιπονώτερον.
ἅμα μὲν πρίασθαι πολλὰ, καὶ πολλοῦ σφόδρα·
ἅμα δ', εἴ τι χρηστὸν ἀγοράσαιμι, ἀπωλλύμην.
κατέδουτ' ἐκεῖνοι. τοῦτο πρὸς ἐμαυτὸν λέγω. 11
διαπυτιοῦσ' [4] οἶνον δὲ τοιοῦτον χαμαί! — Οἵ μοι!

1 Abeſt vulgo δὲ. 2 τεμάχια edd. 3 δὲ διηκόνηκεν edd.
4 διαπυτιοῦσιν vulgo: & interpungit ed. Baſ. & Caſ.

coarcervati, pinguedine referti. —

Archedicus vero, in Theſauro, coquum quemdam inducit, de his quae ipſe obſonatus eſſet, ſic loquentem:

Tribus drachmis glauciſcum: — — —
congri vero caput & anteriora fruſtula
drachmis rurſus quinque. O miſeram vitam!
Drachmâ cervices. At, per ſolem,
mihi quoque ſi cervicem aliam aliunde accipere
emereve liceret; hanc ego quam habeo,
priusquam haec iſtuc inferrem, ſtrangularem.
Nemo me miniſtravit miſerius.
Simul emere multa, & admodum caro!
ſimul, ſi quid boni emi, perii.
Devorant (me) illi. Hoc, quod dico, ad me ſpectat.
Sed & exſpuunt vinum tale humum! — *Heu mihi!*

XLIII. ΓΑΛΕΟΙ'. [1] Ἱκέσιος, ἐν τοῖς περὶ Ὕλης, τῶν γαλεῶν βελτίονας εἶναι καὶ ἀπαλωτέρους τοὺς ἀστερίας καλουμένους. Ἀριστοτέλης δέ, εἰδη αὐτῶν, φησὶν, d εἶναι πλείω· ἀκανθίαν, λεῖον, ποικίλον, σκύμνον, ἀλωπεκίαν, ῥίνην. Δωριων δ', ἐν τῷ Περὶ Ἰχθύων, τὸν ἀλωπεκίαν μίαν ἔχειν, φησὶν, λοφιὰν πρὸς τῷ οὐραίῳ, ἐπὶ δὲ τῆς ῥάχεως οὐδαμῶς. ὁ δ' Ἀριστοτέλης, ἐν πέμπτῳ Ζώων Μορίων, [2] καὶ κεντρίνην, φησὶ, τινὰ γαλεὸν εἶναι, καὶ νωτιδανόν. Ἐπαίνετος δ' ἐν Ὀψαρτυτικῷ, ἐπινωτίδεα καλεῖ· „χείρονα δ' εἶναι τὸν κεντρίνην καὶ δυσώδη. γνωρίζεσθαι δ' ἐκ τοῦ πρὸς τῇ πρώτῃ λοφιᾷ ἔχειν κέντρον, τῶν ὁμοειδῶν οὐκ ἐχόντων· οὔτε δὲ στέαρ, οὔτε πιμελὴν ἔχειν τοὺς ἰχθῦς e

Galeus vel Mustelus, piscis.

1 ΓΑΛΕΟ'Σ. edd. 2 ἐν πέμπτῳ Ζώων, absque Μορίων ed. Ven. & Bas.

43. Galei: (Squali, vel Musteli *pisces*.) Hicesius, in libris de Materia; » Galeorum optimos esse, ait, tenerrimosque eos qui *asteriae* adpellantur.« Aristoteles vero *species eorum plures esse* scribit: *acanthian*, (sive, *spinosum*,) *laevem*, *variegatum*, *scymnon*, (id est, *catulum*,) *alopeciam*, (quasi, *vulpinum*,) *rhinen*, (quasi *limam* diceres.) Dorion vero, in libro de Piscibus, ait: alopeciam non nisi unam pinnam dorsalem habere, eamque prope caudam; in anteriore dorso nullam. Aristoteles porro, quinto libro de Partibus Animalium, etiam *centrinem* in galeorum numero nominat, & *notidanum*. Epaenetus vero in Opsartytico, (sive, in Arte coquinaria,) *epinotideum* nominat: » peiorem autem esse, ait, centrinem & mali odoris. Dignosci vero epinotideum ex eo, quod in prima pinna dorsali aculeum habeat, quo careant caeteri eiusdem generis: nihil vero adipis aut pinguedinis habere hos pisces, eo quod carnem ha-

τούτους, διὰ τὸ χονδρώδεις εἶναι." Ἰδίως δὲ ὁ ἀκανθίας τὴν καρδίαν ἔχει πεντάγωνον. Τίκτει δ' ὁ γαλεὸς τὰ πλειστα τρία· καὶ εἰσδέχεται τὰ γενηθέντα εἰς τὸ στόμα, καὶ πάλιν ἀφίησι· μάλιστα δ' ὁ ποικίλος, καὶ ὁ ἀλωπεκίας. οἱ δὲ λοιποὶ οὐκ ἔτι, διὰ τὴν τραχύτητα.

XLIV. Accipenſer.

Ἀρχέστρατος δὲ, ὁ τὸν αὐτὸν Σαρδαναπάλῳ ζήσας βίον, περὶ τοῦ ἐν Ῥόδῳ γαλεοῦ λέγων, τὸν αὐτὸν εἶναι ἡγεῖται τῷ παρὰ Ῥωμαίοις μετὰ αὐλῶν f καὶ στεφάνων εἰς τὰ δεῖπνα περιφερομένῳ, ἐστεφανωμένων καὶ τῶν φερόντων αὐτὸν, καλούμενόν τε [1] ἀκκιπήσιον. ἀλλ' οὗτος μὲν μικρὸς καὶ μακρορυγχότερός ἐστι, καὶ τῷ σχήματι τρίγωνος ἐκείνων μᾶλλον. τούτων δὲ ὁ εὐτελέστατος καὶ μικρότατος οὐχ ἧττον Ἀττικῶν χιλίων πιπράσκεται. Ἀππίων δ' ὁ Γραμματικὸς, ἐν τῷ περὶ τῆς Ἀπικίου τρυφῆς, τὸν

1 καλούμενον δὲ edd.

beant grumoſam. « Singulare vero hoc habet acanthias, quod cor ei ſit quinquangulare. Parit autem Galeus utplurimum foetus tres: natosque in os recipit, rurſusque emittit; praeſertim is qui varius vel variegatus nominatur, & qui alopecias. Reliqui vero non item, propter aſperitatem.

44. Archeſtratus vero, is qui Sardanapali vixit vitam, de galeo Rhodio loquens, eumdem eſſe piſcem cenſet atque eum, qui apud Romanos coronis ornatus, ad tibiae cantum, menſis infertur, coronatis etiam qui inferunt famulis; quem *accipenſerem* vocant. Verum hic quidem minor eſt, & roſtro longiore, & formâ magis triangulari quam illi. Horum vero viliſſimus minimusque haud minus mille drachmis Atticis venditur. Appion vero Grammaticus, in libro de Apicii Luxuria,

ἔλλοπα [1] καλούμενον τοῦτόν φησιν εἶναι τὸν ἀκκιπήσιον. Ἀλλ' ὅ γε Ἀρχέστρατος, περὶ τοῦ Ῥοδιακοῦ γαλεοῦ λέγων, τοῖς ἑταίροις πατρικῶς πῶς συμβουλεύων, φησίν·

Ἐν δὲ Ῥόδῳ γαλεὸν, τὸν ἀλώπεκα, κἂν ἀποδύη- a
σκειν
μέλλῃς, ἂν μή σοι πωλεῖν θέλῃ, ἅρπασον αὐτόν·
ὃν καλέουσι Συρακόσιοι κύνα, πίονα· κἆτα
ὕστερον ἤδη πάσχ' ὅ τι σοι πεπρωμένον ἐστί.

Τούτων τῶν ἐπῶν μνησθεὶς καὶ Λυγκεὺς ὁ Σάμιος ἐν τῇ πρὸς Διαγόραν Ἐπιστολῇ φησι, καὶ δικαίως παρακελεύεσθαι τὸν ποιητὴν τῷ μὴ δυναμένῳ τιμὴν ἀριθμῆσαι, ἀδικίᾳ κτήσασθαι τὴν ἐπιθυμίαν. καὶ γὰρ τὸν Θησέα, φησὶ, [2] γεγονότα καλὸν ὑπολαμβανω, b
τοῦ Τληπολέμου τὸν ἰχθῦν τοῦτον αὐτῷ παρασχόντος, παρεσχηκέναι. Τιμοκλῆς δ' ἐν Δακτυλίῳ [3] φησί·

1 ἔλοπα ms. *A*. 2 φασὶ videtur legendum. 3 ἐν Δακτύλῳ vulgo.

quem piſcem Graeci *ellopa* (vel *elopa*) vocant, hunc eſſe ait *accipenſerem*. Archeſtratus igitur, de Rhodio galeo loquens, paternâ quadam benevolentiâ conſilium dans ſuis familiaribus, ait:

Rhodi ubi fueris, galeum vulpem, mortem licet ſubire
oporteat, niſi tibi vendere velint, furto aufer,
quem canem Syracuſii vocant, pinguem: tum
deinde iam patere quod fatis tibi fuerit deſtinatum.

Quorum verſuum mentionem faciens Lynceus Samius in Epiſtola ad Diagoram, ait, iure merito hortari poëtam eos qui numerare pretium non poſſint, ut per iniuriam & flagitium ſibi parent quo cupiditatem expleant. Nam & Theſeum aiunt, formoſus (opinor) cum eſſet, Tlepolemo eſſe gratificatum, piſcem hunc ei offerenti. Timocles vero, in Annulo, ait:

Γαλεοὺς, καὶ βατίδας, ὅσα τε
τῶν γενῶν ἐν ὀξυλιπάρῳ τρίμματι σκευάζεται.

XLV. Glaucus, piscis.

ΓΛΑΥΚΟΣ. Ἐπίχαρμος, ἐν Ἥβας γάμῳ·

Σκορπίοι τε ποικίλοι, σαῦ-
ροί τε, γλαῦκοι πίονες.

Νουμήνιος, ἐν Ἁλιευτικῷ·

Ὕκκην, [1] ἢ κάλλιχθυν, ἢὲ χρόμιν, ἄλλοτε δ' ὀρ-
φὸν,
c ἢ γλαῦκον περόωντα κατὰ μυία σιγαλόεντα.

Caput glauci.

Τὴν δὲ τοῦ γλαύκου κεφαλὴν ἐπαινῶν ὁ Ἀρχέστρατος, φησίν·

Ἀλλά μοι ὀψώνει γλαύκου κεφαλὴν ἐν Ὀλύνθῳ,
καὶ Μεγάροις. σεμνὸς [2] γὰρ ἁλίσκεται ἐν τενάγεσσι. [3]

Καὶ Ἀντιφάνης δ' ἐν Προβατεῖ φησίν·

Βοιωτίαι μὲν ἐγχέλεις, μῦς Ποντικοὶ, [4]

1 Συχὴν vulgo h. l. 2 σεμνοῖς vulgo. 3 ἐν τεναγισταῖς edd. ἐκτεναγιστῆς Ms. 4 Βοιωτία μὲν ἐγχελυς, μῦς Ποντικὸς, edd.

Galeos, & batidas, & quaecumque
genera cum moreto acido pinguique parantur.

45. Glaucus. Epicharmus, in Hebes Nuptiis:
Scorpiique variegati, laeertique, & glauci pingues.
Numenius, in Halieutico:
Hycam, aut callychthyn, aut chromin, subinde vero orphum,
aut glaucum molles permeantem algas.
Caput vero glauci laudans Archeſtratus, ait:
At glauci mihi caput obſona Olynthi
& Megaris: praeſtans enim capitur vadoſis in locis algoſisque.
Antiphanes, in Ovium paſtore:
Boeoticae anguillae, muſculi Pontici,

γλαῦκοι [1] Μεγαρικοὶ, μαινίδες Καρύστιαι,
Φάγροι δ' Ἐρετρικοὶ, Σκύριοι δὲ κάραβοι. d

ὁ δ' αὐτὸς ἐν Φιλώτιδι καὶ ταῦτα λέγει·

A. Οὐκοῦν τὸ μὲν γλαυκίδιον; B. Ὥσπερ ἄλλοτε,
ἕψειν ἐν ἅλμῃ φημί. [2] A. Τὸ δέ γε λαβράκιον; [3]
B. Ὀπτᾶν ὅλον. A. Τὸν γαλεόν; B. Ἐν ὑποτρίμματι [4]
ζέσαι. A. Τὸ δ' ἐγχέλειον; B. Ἅλες, ὀρίγανον,
ὕδωρ. A. Ὁ γόγγρος; B. Ταὐτόν. A. Ἡ βατίς;
B. Χλόη.
A. Πρόσεστι θύννου τέμαχος. B. Ὀπτήσεις. A. Κρέας
ἐρίφιον; B. Ὀπτόν. A. Θάτερον; B. Τἀναντία.
A. Ὁ σπλήν; B. Σεσάχθω. A. Νῆστις; — —

XLVI. Glauci caput.

Εὔβουλος, Καμπυλίωνι· e

1 Θύννοι edd. & ms. *A.* itemque ms. *Ep.* in contextu. 2 Deest vulgo h. l. φημί. 3 Satis erat τὸ δὲ λαβράκιον. 4 Vulgo τὸν γαλεὸν ἐνυποτριμματίζεσθαι.

glauci Megarici, maenides Caryſtiae,
phagri Eretriaci, e Scyro locuſtae.

Idem porro in Philotide haec dicit:

A. *Ergo glauculum?* B. *Sicut aliás,*
elixandum dico in muriâ. A. *At minutus ille lupus?*
B. *Aſſandus integer.* A. *Sed ſqualus iſte?* B. *Cum intrito*
elixandus. A. *At anguillula?* B. *Sal, origanum,* (adhibebitur,)
aqua. A. *Tum conger?* B. *Eadem.* A. *Raia?* B. *Oluscula.*
A. *Adeſt etiam thynni fruſtum.* B. *Torrebis.* A. *Caro*
hoedina. B. *Aſſabitur.* A. *Reliqua caro?* B. *Elixabitur.*
A. *Lien?* B. *Farcietur.* A. *Ieiunum inteſtinum?* —

46. Eubulus, Campylione:

Τήν τ' εὐπρόσωπον λοπάδα τοῦδε τοῦ
Θαλαττίου γλαύκου φέρουσαν εὐγενέστερον
λάβρακά θ' ἑφθὸν ἅλμῃ μίαν. [1]

Ἀναξανδρίδης, Νηρεῖ·

Ὁ πρῶτος εὑρὼν πολυτελὲς τμητὸν μέγα
γλαύκου πρόσωπον, τοῦ τ' ἀκύμονος δέμας
θύννου, τά τ' ἄλλα βρώματ' ἐξ ὑγρᾶς ἁλὸς,
Νηρεὺς, κατοικεῖ τόνδε πάντα τὸν τόπον.

Ἀμφις, ἐν Ἑπτὰ ἐπὶ Θήβαις· [2]

f Γλαῦκοι δ' ὅλαι, ῥαχιστὰ κρανίων μέρη
εὔσαρκα. —

καὶ ἐν Φιλεταίρῳ·

Ἔχειν καθαρίως ἐγχελύδιόν τι, καὶ
γλαυκιδίου [3] κεφάλαια, καὶ λαβρακίου
τεμάχια. —

1 Corrupto fragmento nil medetur Ms. 2 ἐπὶ Θήβας edd. 3 γλαυχιτιδίου Ms.

Et iſtam pulcra facie lancem marini
Glauci, ferentem unà ſimul generoſum
lupum elixum in muria.

Anaxandrides, in Nereo:

Qui primus invenit pretioſum praefectum ingens
glauci caput, & fluctibus non agitati corpus
thynni, reliquosque ex udo mari cibos,
Nereus, habitat univerſum hunc locum.

Amphis, in Septem contra Thebas:

Glauci integri, ſectaeque capitum partes
carnoſae.

Et in Philetaero:

Habere munde anguillulam aliquam, &
glauculi capitula, & lupuli fruſtula.

Ἀντιφάνης δ' [1] ἐν Κύκλωπι, ὑπερακοντίζων τὸν τενθην Ἀρχέστρατον, φησίν·

Ἔστω δ' ἡμῖν κεστρεὺς ὑμήττιος, [2]
νάρκη πνικτὴ, πέρκη σχιστὴ,
τευθὶς σακτὴ, συνόδων ὀπτὸς,
γλαύκου πρετομὴ, γόγγρου κεφαλὴ,
βατράχου γαστὴρ, θύννου λαγόνες,
βατίδος νῶτον, κέστρας ὀσφῦς,
ψήττας κίσχος, [3] μαινὶς, καρὶς,
τρίγλη, φυκίς· τῶν τοιούτων
μηδὲν ἀπέστω.

XLVII. Glaucus, deus marinus.

Ναυσικράτης, Ναυκλήροις· a

— Α. Δύο μέν φασιν [4] ἁπαλοὶ
[τε] καὶ καλοὶ, τοῦ ναυτίλοισι πολλάκις
ἤδη φανέντος πελαγίοις ἐν ἀγκάλαις·

1 Ἀντιφάνης τ' ms. *A.* 2 Suspecta vox. 3 Corrigunt ψῆττα, κίχλη. 4 φησὶν edd.

Antiphanes vero, in Cyclope, exsuperans lurconem Archestratum, ait:

Esto vero nobis mugil hymettius, [?]
torpedo sub testu cocta, perca dissecta,
loligo farcta, synodon assus,
glauci pars anterior, congri caput,
ranae (piscis) venter, thynni ilia,
raiae tergum, sphyraenae lumbi,
passer, turdus, maenis, squilla,
mullus, phycis: horum talium
nihil abesto.

47. Nausicrates, in Naviculatoribus:

— A. *Duo quidem aiunt teneri*
ac pulcri, eius qui navigantibus saepe
iam adparuit pelagiis in amplexibus:

ὃν καὶ τὰ θνητῶν φασιν ἀγγέλλειν πάθη.

B. Γλαῦκον λέγεις. A. Ἔγνωκας.

Τὸν δὲ Γλαῦκον τὸν θαλάττιον δαίμονα, Θεόλυτος μὲν ὁ Μηθυμναῖος, ἐν τοῖς Βακχικοῖς ἔπεσιν, ἐρασθέντα φησὶν Ἀριάδνης, ὅτε ἐν Δίᾳ τῇ νήσῳ ὑπὸ Διονύσου ἡρπάσθη, καὶ βιαζομενον, ὑπὸ Διονύσου ἀμπε-
b λίνῳ δεσμῷ ἐνδεθῆναι· καὶ δεηθέντα ἀφεθῆναι, εἰπόντα·

Ἀνθηδὼν νύ τις ἐστὶν, ἐπὶ πλευροῖο [1] θαλάσσης
ἀντίον Εὐβοίης, σχεδὸν Εὐρίποιο ῥοάων·
ἔνθεν ἐγὼ γένος εἰμί· πατὴρ δέ με γείνατο Κωπεύς.

Προμαθίδας δ' ὁ Ἡρακλεώτης, ἐν Ἡμιάμβοις, Πολύβου τοῦ Ἑρμοῦ καὶ Εὐβοίας τῆς Λαρύμνου γενεαλογεῖ τὸν Γλαῦκον. Μνασέας δὲ, ἐν τρίτῳ τῶν Εὐρωπιακῶν, Ἀνθηδόνος καὶ Ἀλκυόνης αὐτὸν γενεαλογεῖ. ναυτικὸν δὲ αὐτὸν καὶ κολυμβητὴν ἀγαθὸν γε-

1 πλευρῇσι edd.

quem etiam praedicere aiunt mortalium mala.

B. *Glaucum dicis.* A. *Tenes.*

Glaucum vero *marinum Deum*, Theolytus Methymnaeus, in Carminibus Bacchicis, ait, amore captum esse Ariadnae, quo tempore in Dia insula rapta fuit a Baccho; quumque vim illi inferre esset conatus, vinctum irretitumque a Baccho esse vinculo vitigineo: sed precibus contendentem rursus dimissum esse, cum dixisset:

Anthedon est quaedam, ad latus maris,
Euboeam contra, prope Euripi fluxus:
inde mihi genus est; pater autem me genuit Copeus.

Promathidas vero Heracleota, in Hemiambis, Polybo Mercurii filio & Euboeâ Larymni filiâ natum Glaucum facit. Mnaseas vero, tertio Europiacorum, Anthedonis & Alcyones filium fuisse ait: adpellari autem *Pontium*, (id est, *marinum*) eo quod navigandi urinandique

νόμειαν, Πόντιον καλεῖσθαι· ἁρπάσαντα δὲ Σύμην, c
τὴν Ἰηλύμου [1] καὶ Δωτίδος θυγατέρα, ἀποπλεῦσαι
εἰς τὴν Ἀσίαν, καὶ τὴν ἐγγὺς τῆς Καρίας νῆσον ἔρη-
μον κατοικήσαντα, ἀπὸ τῆς γυναικὸς Σύμην αὐτὴν
προσαγορεῦσαι. Εὐάνθης δ' ὁ ἐποποιὸς, ἐν τῷ εἰς τὸν
Γλαῦκον ὕμνῳ, Ποσειδῶνος αὐτὸν υἱὸν εἶναι καὶ Νάϊ-
δος νύμφης· μιγῆναί τε Ἀριάδνῃ ἐν Δίᾳ τῇ νήσῳ,
ἐρασθέντα, ὅτε ὑπὸ Θησέως κατελείφθη. Ἀριστοτέ-
λης δ', ἐν τῇ Δηλίων Πολιτείᾳ, ἐν Δήλῳ κατοική-
σαντα μετὰ τῶν Νηρηίδων τοῖς θέλουσι [2] μαντεύε- d
σθαι. Πόσσις [3] δ' ὁ Μάγνης, ἐν τρίτῳ Ἀμαζονίδος,
τῆς Ἀργοῦς φησι δημιουργὸν γενέσθαι τὸν Γλαῦκον·
καὶ κυβερνῆται αὐτὴν, ὅτε Ἰάσων μετὰ τῶν Τυῤῥη-
νῶν ἐμάχετο, μόνον ἄτρωτον γενέσθαι ἐν τῇ ναυμα-
χίᾳ· κατὰ δὲ Διὸς βούλησιν ἐν τῷ τῆς θαλάττης
βυθῷ φανῆναι, καὶ οὕτως γενέσθαι θαλάττιον δαί-

1 Ἰκλμος edd. Ἰκλυμος Ms. Ἰαλύσου ex Steph. Byz. corrigit Caſ.
2 τοῖς θεοῖς μαντ. edd. cum ms. *A*. 3 Πόσις corrigit Caſ.

fuiſſet peritiſſimus: eumdem raptâ Syme, Ialymi (*ſive*, Ialyſi) & Dotidis filia, in Aſiam navigaſſe, inſulamque deſertam prope Cariam incolis frequentaſſe, eamque ab uxoris nomine *Symen* nominaſſe. Euanthes autem, poëta epicus, in Hymno in Glaucum, Neptuni filium fuiſſe ait & Naidis nymphae, concubuiſſeque cum Ariadne in Dia inſula, amore eius captum poſtquam a Theſeo fuiſſet derelicta. Ariſtoteles vero, in Deliorum Republica, ait, Deli habitantem cum Nereidibus vaticinatum eſſe volentibus. Poſſis vero (*ſive*, Poſis) Magnes, tertio libro Amazonidis, navis Argi architectum fuiſſe Glaucum tradit, eamque gubernaſſe; &, quum Iaſon pugnaret cum Tyrrhenis, unum absque vulnere e pugna navali diſceſſiſſe: ex Iovis autem voluntate in fundo maris adparuiſſe, atque ita marinum Deum exſtitiſſe, &

μονα, ὑπὸ μόνου τε Ἰάσωνος θεωρηθῆναι. Νικάνωρ δὲ ὁ Κυρηναῖος, ἐν Μετονομασίαις, τὸν Μελικέρτην φησὶ Γλαῦκον μετονομασθῆναι.

XLVIII. Immortalitatis herba Glauci.

e Ἱστορεῖ δὲ περὶ αὐτοῦ καὶ ὁ Αἰτωλὸς Ἀλέξανδρος ἐν τῷ ἐπιγραφομένῳ Ἁλιεῖ, ὡς [1] ὅτι

Γευσάμενος βοτανῆς —
κατεποντώθη,

— ἣν ἠελίῳ Φαέθοντι
ἐν Μακάρων νήσοισι λιτὴ φύει εἴαρι γαίη·
Ἥλιος δ' ἵπποις θυμήρεα δόρπον ὀπάζει,
ὕλῃ ναιετάουσαν, ἵνα δρόμον ἐκτελέσωσιν
ἄτρυτοι, καὶ μή νιν [2] ἕλοι μεσσηγὺς ἀνίη.

Αἰσχρίων δ' ὁ Σάμιος, ἔν τινι τῶν Ἰάμβων, Ὕδνης [3] φησὶ, τῆς Σκύλλου τοῦ Σκιωναίου κατακολυμβήτου
f θυγατρὸς, τὸν θαλάσσιον Γλαῦκον ἐρασθῆναι. ἰδίως δὲ καὶ περὶ τῆς βοτάνης λέγει, ἣν φαγὼν ἀθάνατος

1 Abeſt ὡς ms. *Ep.* 2 μή τιν' vulgo. 3 Κυάνης & mox Σκυλλίου corrigunt viri docti.

ab uno Iaſone fuiſſe conſpectum. Nicanor vero Cyrenaeus, in Transnominatis, Melicerten, ait, mutato nomine Glaucum fuiſſe adpellatum.

48. De eodem narrat Alexander Aetolus, in carmine quod Piſcator inſcribitur, *Mari demerſum fuiſſe,*

guſtatâ herbâ, quam Soli Phaëthonti,
Beatorum in inſulis inculta gignit vêre terra;
Sol autem equis gratum cibum praebet,
in ſylvis natum, curſum ut abſolvant
indefeſſi, neve qua medio curſu moleſtia eos invadat.

Aeſchrion vero Samius, in aliquo ſuorum Iamborum, ait, *Hydnae* (ſive, *Cyanae*) *amore, Scylli* (ſive, *Scylliae,*) *Scionaei urinatoris filiae, captum fuiſſe marinum Glaucum.* Sigillatim vero etiam de *herba* loquitur, quâ comeſâ im-

ἐγένετο· „καὶ θεῶν ἄγρωστιν εὗρες, ἣν Κρόνος κατέσπειρεν.“ Νίκανδρος δ', ἐν τρίτῳ Εὐρωπίας, [1] Νηρέως [2] ἐρώμενον τὸν Γλαῦκον ἱστορεῖ γενέσθαι. ὁ δ' αὐτὸς Νίκανδρος, ἐν πρώτῳ Αἰτωλικῶν, τὴν μαντικὴν φησιν Ἀπόλλωνα ὑπὸ Γλαύκου διδαχθῆναι· θηρῶντα δὲ περὶ τὴν Ὀρείην (ὄρος δὲ τοῦτ' ὑπάρχειν ὑψηλὸν a ἐν Αἰτωλίᾳ) λαγὼν θηρᾶσαι, ὃν λειποθυμοῦντα ὑπὸ τῆς διώξεως ἀπαγαγεῖν [3] ὑπὸ κρήνῃ τινὶ, [4] καὶ τῇ παρακειμένῃ πόᾳ ἤδη ἀποψυχόμενον [5] ἀπομάσσειν. ἀναζωπυρήσαντος δὲ τοῦ λαγὼ τῇ βοτάνῃ, ἐπιγνόντα τῆς βοτάνης τὴν [6] δύναμιν ἀπογεύσασθαι· καὶ ἔνθεον γενόμενον, ἐπιγενομένου χειμῶνος κατὰ Διὸς βούλησιν, εἰς τὴν θάλασσαν αὐτὸν ἐκρίψαι. Ἡδύλος [7] δ' ὁ Σάμιος ἢ Ἀθηναῖος, Μελικέρτου φησὶν ἐρασθέντα τὸν Γλαῦκον, ἑαυτὸν ῥίψαι εἰς τὴν θάλασσαν. Ἡδύ- b λη δὲ, τοῦ ποιητοῦ τούτου μήτηρ, Μοσχίνης δὲ θυ-

In mare se deiicit Glaucus.

1 Εὐρωπιακῶν corr. Casaub. 2 Νηρέως edd. 3 ὑπαγαγεῖν corr. Cas. 4 ἐπὶ κρήνῃ τινι corr. Pierf. 5 Vulgo ὑποψυχόμενον, *refrigeratum.* 6 Deeft articulus edd. 7 Ἡδύλεγος edd.

mortalis eſt factus: *Et Deorum*, inquit, *herbam reperiſti, quam ſeverat Saturnus.* Nicander vero, tertio Europiae, *a Nereo amatum fuiſſe* narrat *Glaucum.* Idemque Nicander, primo Aetolicorum, ſcribit: *vaticinandi artem edoctum eſſe Apollinem a Glauco: eumdemque Glaucum, cum venaretur circa Oream, (montem hunc ait praealtum Aetoliae) leporem eſſe perſecutum; qui, quum curſu fatigatus viribus defeciſſet, ſub fontem quemdam ſeſe recepit, & in proxima herba, cum iam animam efflaret, ſe abſterſit. Ibi quum herbae illius virtute vitam viresque recepiſſet lepus, cognita illa virtute Glaucum guſtaſſe herbam: indeque veluti numine afflatum, exorta Iovis conſilio tempeſtate, in mare ſeſe praecipitaſſe.* Hedylus vero Samius ſive Athenienſis, *Melicertae*, ait, *amore flagrantem Glaucum in mare ſe proieciſſe.* Hedyle vero, mater

γάτηρ τῆς Ἀττικῆς, Ἰάμβων ποιητρίας, ἐν τῇ ἐπιγραφομένῃ Σκύλλῃ, ἱστορεῖ τὸν Γλαῦκον ἐρασθέντα Σκύλλης ἐλθεῖν αὐτῆς εἰς τὸ ἄντρον,

ἢ κόγχου δώρημα φέροντ' Ἐρυθρᾶς [1] ἀπὸ πέτρης,
ἢ τοὺς Ἀλκυόνων παῖδας ἔτ' ἀπτερύγους,
τῇ νύμφῃ δυσπείστῳ [2] ἀθύρματα. δάκρυ δ' ἐκείνου
καὶ Σειρὴν γείτων παρθένος οἰκτίσατο·
c ἀκτὴν γὰρ κείνην ἀπενήχετο, καὶ τὰ σύνεγγυς
Αἴτνης. —

XLIX. Fullo, piscis.

Γναφεύς. Δωρίων, ἐν τῷ Περὶ Ἰχθύων, τὸ ἐκ τῆς ἑψήσεως τοῦ γναφέως ὑγρὸν, φησὶ, πάντα σπῖλον [3] καθαίρειν. μνημονεύει δ' αὐτοῦ καὶ Ἐπαίνετος ἐν Ὀψαρτυτικῷ.

L. Anguilla.

Ἔγχελυς. Τῶν θαλασσίων ἐγχέλεων μνημονεύει Ἐπίχαρμος ἐν Μούσαις. Δωρίων δ', ἐν τῷ

1 ἐρυθραίης mssti. 2 δύσπιστος edd. δυσπίστῳ aut δύσπιστον legit Casaub. 3 σπίλον edd.

huius poëtae, Moschines filia Athenienſis, eius quae Iambos conſcripſit, in carmine cui titulus Scylla, *Glaucum*, narrat, *Scyllae amore captum, antrum eius intraſſe,*

aut concham pro munere ferentem ex Erythrae ſcopulo,
aut Alcyonum pullos adhuc implumes,
inexorabili nymphae oblectamenta. Lacrymam vero eius
etiam Siren vicina virgo miſerabatur:
illud enim ad littus enatavit, & ad vicina
Aetnae. —

49. Fullo. Dorion, libro de Piſcibus, *liquore*, ait, *in quo elixatus ſit fullo piſcis, elui quamlibet maculam.* Eiusdem meminit etiam Epaenetus, in Arte coquinaria.

50. Anguilla. *Marinarum anguillarum* meminit Epicharmus in Muſis. Dorion vero, libro de Piſcibus, men-

Περὶ Ἰχθύων, μνημονεύων καὶ τῶν ἀπὸ τῆς Κωπαΐδος, τὰς Κωπαΐδας ἐπαινεῖ· γίνονται δ' αὗται ὑπερ- d
μεγέθεις. Φησὶ γοῦν Ἀγαθαρχίδης ἐν ἕκτῃ Εὐρωπιακῶν, τὰς ὑπερφυεῖς τῶν Κωπαίδων ἐγχέλεων, ἱερείων τρόπον στεφανοῦντας, καὶ κατευχομένους, οὐλάς τε ἐπιβαλλοντας, θύειν τοῖς θεοῖς τοὺς Βοιωτούς· καὶ πρὸς τον ξένον τὸν διαπορούντα τὸ τοῦ γένους [1] παράδοξον, καὶ πυνθανόμενον, ἓν μόνον εἰδέναι, Φῆσαι τὸν Βοιωτὸν, Φάσκειν τε [2] ὅτι δεῖ τηρεῖν τὰ προγονικὰ νόμιμα, καὶ ὅτι μὴ καθήκει τοῖς ἄλλοις ὑπὲρ αὐτῶν ἀπολογίζεσθαι. Οὐ χρὴ δὲ [3] θαυμαξειν, εἰ ἱερείων τρόπον ἐγχέλεις θύονται, ὁπότε καὶ Ἀντίγονος ὁ Καρύ- e
στιος, ἐν τῷ Περὶ Λέξεως, τοὺς ἁλιέας λέγει θυσίαν ἐπιτελοῦντας τῷ Ποσειδῶνι ὑπὸ τὴν τῶν θύννων ὥραν, ὅταν εὐαγρήσωσι, θύειν τῷ θεῷ τὸν πρῶτον [4] ἁλόντα θύννον, καὶ τὴν θυσίαν ταύτην καλεῖσθαι Θυννεῖον.

1 τέλους corr. Coray. 2 Absunt φάσκειν τε ms. *Ep.* 3 Deest δὲ edd. 4 Deest πρῶτον edd.

tionem etiam anguillarum ex Copaide lacu faciens, laudat *Copaidas*. Crescunt autem hae ad miram magnitudinem. Scribit quidem Agatharchides, sexto Europiacorum, Boeotos ex anguillis Copaidibus eas quae sunt eximiae magnitudinis, in victimarum modum coronatas, insperså molâ, inter preces Diis immolare: & peregrino homini, miranti insolitum sacrificii genus, eiusque causam sciscitanti, respondisse Boeotum, *nonnisi unum se scire dicereque, servanda esse instituta patria, neque decere rationem eorum reddere aliis.* Nec vero mirari debemus, sacrificari anguillas victimarum in modum; quandoquidem Antigonus Carystius, libro de Dictione, scribit, *Piscatores, qua tempestate capi thynni solent, solenne sacrum Neptuno facientes, postquam felici usi sunt captura, primum quem ceperunt thynnum Deo immolare, illudque sacrum nominare Thynnaeum,*

Καὶ τάριχοι δὲ παρὰ Φασηλίταις ἀποδύονται. Ἡρόπυθος γοῦν, ἐν Ὥροις [1] Κολοφωνίων, περὶ τῆς κτίσεως ἱστορῶν τῆς Φασηλίδος, φησίν· ὅτι „Λάκιος ὁ τὴν ἀποικίαν στείλας, μισθὸν ἔδωκε τοῦ τόπου Κυ- f λάβρᾳ ποιμένι, νέμοντι πρόβατα, ταρίχους, ἐκείνου τοῦτο αἰτήσαντος. προθέντος γὰρ αὐτῷ τοῦ Λακίου λαβεῖν τοῦ χωρίου [2] ἢ ἄλφιτα ἢ ἅλητα [3] ἢ ταρίχους, εἵλετο ὁ Κυλάβρας [4] τοὺς ταρίχους. καὶ διὰ τοῦτο οἱ Φασηλῖται ἀνὰ πᾶν ἔτος τῷ Κυλάβρᾳ ἔτι καὶ νῦν τάριχον θύουσιν.“ Φιλοστέφανος δ', ἐν τῷ πρώτῳ Περὶ τῶν ἐν τῇ Ἀσίᾳ πόλεων, οὕτως γράφει· „Λάκιον τὸν Ἀργεῖον τῶν σὺν Μόψῳ ἀφικομένων, ὃν τινες μὲν Λίνδιον εἶναι λέγουσιν, ἀδελφὸν δὲ Ἀντιφήμου τοῦ Γέλαν οἰκίσαντος, εἰς τὴν Φασηλίδα ὑπὸ a Μόψου μετ' ἀνδρῶν πεμφθέντα κατά τινα λόγον

LI. Phaselitarum sacrificium.

1 Ὅροις vulgo. 2 ἀντὶ τοῦ χωρ. legit Toup. 3 ἢ ἅλιτα vulgo. Fortasse delenda verba. 4 Κυλαβρος h. l. Ms.

51. Sed & *salsamenta* Diis offeruntur apud Phaselitas. Heropythus sane, in Colophoniorum Annalibus, ubi narrat quo pacto condita *Phaselis* fuerit: *Lacium*, ait, *eum qui coloniam duxit, Cylabrae pastori, oves suas ibi pascenti, pretii loco, quo emeret solum, salsamenta dedisse; ipso Cylabra id postulante. Nam quum Lacius arbitrio eius permisisset, farinam-ne (sive hordaceam, sive triticeam) accipere pro pretio soli vellet, an salsamenta; salsamenta selegerat Cylabras. Ob eamque causam Phaselitae quotannis Cylabrae ad hunc usque diem salsamenta offerunt.* Philostephanus vero, primo libro de Asiae Civitatibus, ita scribit: *Lacium Argivum, ex eorum numero qui cum Mopso advenerant, quem nonnulli Lindium esse aiunt, fratrem vero Antiphemi eius qui Gelam condidit, in Phaselidem a Mopso cum hominum manu missum esse ex oraculo quodam iussuque Mantûs matris*

Μαντοῦς τῆς Μόψου μητρὸς, ὅτε αἱ πρύμναι τῶν ἰδίων νηῶν συνέβαλον καὶ συνεθραύσθησαν κατὰ Χελιδονίας, τῶν μετὰ τοῦ Λακίου διὰ τὸ ὑστερεῖν αὐτῶν νυκτὸς προσβαλλόντων. ἀγοράσαι δ' αὐτὸν τὴν γῆν λέγεται, [1] οὗ ἡ πόλις νῦν ἐστι, καθὰ ἡ Μαντὼ προεῖπε, παρὰ Κυλάβρα τινὸς, δόντα τάριχον· τοῦτον γὰρ ἐλέσθαι λαβεῖν αὐτὸν, ἀφ' ὧν ἦγον. ὅθεν κατ' ἐνιαυτὸν τοὺς Φασηλίτας τῷ Κυλάβρᾳ θύειν τάριχον, τιμῶντας ὡς ἥρωα."

LII. De Anguillis varia.

Περὶ δὲ τῶν ἐγχέλεων Ἰκέσιός φησιν ἐν τοῖς Περὶ Ὕλης, ὡς αἱ ἐγχέλεις εὐχυλότεραι πάντων εἰσὶν b ἰχθύων, καὶ ὅτι εὐστομαχίᾳ διαφέρουσιν τῶν πλείστων· πλήσμιαι γάρ εἰσι, καὶ πολύτροφοι. ἐν δὲ τοῖς ταρίχεσι τὰς Μακεδονικὰς ἐγχέλεις κατατάττει. Ἀριστοτέλης δέ· „Χαίρειν, φησὶ, τὰς ἐγχέλεις καθαρωτάτῳ ὕδατι. ὅθεν τοὺς ἐγχελυοτρόφους καθαρὸν αὐ-

1 ἀγοράσαι τὴν γῆν ms. *Ep.* omiſſis verbis δ' αὐτὸν & λέγεται.

Mopſi, puppibus navium ipſius colliſis vulneratisque ad Chelidonias, quum Lacius cum ſuis, e longinquo tardius ſequens, noctu ad eas fuiſſet adpulſus. Hunc igitur emiſſe aiunt regionem, ubi nunc oppidum eſt, quemadmodum Manto praedixerat, a Cylabra quodam, datis ſalſamentis loco pretii: haec enim ex omnibus, quae vehebant naves, ipſe ſelegerat. Inde factum, ut quotannis Phaſelitae ſalſamenta Cylabrae offerant: quippe quem ut heroa colunt.

52. De *anguillis* vero Iceſius, in libris de Materia, ait: » melioris ſucci eſſe anguillas reliquis omnibus piſcibus; & ventriculo commodiores, quam alii plerique: multum enim ſatiare nutrireque.« In *ſalſamentorum* autem numero idem ponit *Macedonicas anguillas*. Ariſtoteles vero: »Gaudere, ait, anguillas aquâ puriſſimâ: ideoque hos, qui anguillas alunt, limpidam eis adfundere;

ταῖς ἐπιχεῖν· πνίγεσθαι γὰρ ἐν τῷ θολερῷ. διὸ καὶ οἱ θηρεύοντες θολοῦσι τὸ ὕδωρ, ἵνα ἀποπνίγωνται. λεπτὰ γὰρ ἔχουσαι [1] τὰ βράγχια, αὐτίκα ὑπὸ τοῦ
c θολοῦ τοὺς πόρους ἐπιπωματίζονται. ὅθεν καὶ τοῖς χειμῶσιν, ὑπὸ τῶν πνευμάτων ταραττομένου τοῦ ὕδατος, ἀποπνίγονται. Ὀχεύονται δὲ συμπλεκόμεναι, κἄπ' ἀλλήλαις γλοιώδες ἐξ αὐτῶν, ὃ γενόμενον ἐν τῇ ἰλύϊ ζωογονεῖται. λέγουσι δὲ οἱ ἐγχελυοτρόφοι, καὶ ὡς νυκτὸς μὲν [2] νέμονται· ἡμέρας δὲ ἐν τῇ ἰλύϊ ἀκινητίζουσι· ζῶσί τε τὸ ἐπὶ πολὺ ἐπὶ ὀκτὼ ἔτη." Ἐν ἄλλοις δὲ πάλιν Ἀριστοτέλης ἱστορεῖ· „Γίνεσθαι αὐ- Sexu caret Anguilla.
τὰς, οὔτε ὠοτοκούσας, οὔτε ζωοτοκούσας, ἀλλ' οὐδὲ ἐξ ὀχείας· ἀλλ' ἐν τῷ βορβόρῳ καὶ τῇ ἰλύϊ σήψεως γι-
d νομένης· [3] καθάπερ καὶ ἐπὶ τῶν καλουμένων τῆς γῆς ἐντέρων λέγεται. διὸ καὶ Ὅμηρον, τῆς τῶν ἰχθύων φύσεως χωρίζοντα, τάδε εἰπεῖν·

1 ἔχουσι τὰ βράγχια, καὶ αὐτίκα edd. 2 Deeſt μὲν edd. 3 γενομένης edd.

ſuffocari enim turbidis. Quamobrem aquam turbant qui eas piſcantur. Tenues enim illis branchiae ſunt, quarum meatus ſtatim obturantur coeno: quamobrem aquis vi tempeſtatum conturbatis ſuffocantur. Coëunt complexae ſe mutuo: deinde emittunt ex ſe glutinoſum quiddam; quod, poſtquam (per aliquod tempus) in limo fuit, vitam concipit, ut animalia inde naſcantur. Narrant etiam qui anguillas alunt, noctu eas paſci, interdiu vero in limo immotas manere. Vivunt autem utplurimum ad octo annos. « Rurſus vero alibi idem Ariſtoteles tradit: »Nec ex ovis, nec vivas gigni anguillas, & ne ex coitu quidem; ſed in coeno & limo putredine exiſtente; quemadmodum etiam de terrae inteſtinis, quae vocantur, aiunt. Ideoque Homerum, ab aliorum piſcium natura eas ſeparantem, iſta dixiſſe:

Τείροντ' ἐγχέλυές τε καὶ ἰχθύες οἱ κατὰ δίνας."

LIII.

Helena coenarum.

Ἐπικούρειος δέ τις εἰκαδιστὴς, τῶν συνδειπνούντων ἡμῖν, ἐγχέλυος παρατεθείσης· Πάρεστιν, ἔφη, τῶν δείπνων Ἑλένη· [1] ἐγὼ οὖν Πάρις ἔσομαι. καὶ, χεῖρας μήπω τινὸς ἐκτετακότος ἐπ' αὐτὴν, ἐπιβαλὼν ἐψίλωσε τὸ πλευρὸν ἀγαγὼν [2] εἰς ἄκανθαν. ὁ δ' αὐτὸς οὗτος, πλακοῦντός ποτε θερμοῦ παρατεθέντος, καὶ πάντων ἀπεχομένων, ἐπιφωνήσας, e

Τοῦ δ' ἐγὼ ἄντιος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικε·

προπετῶς ἐπιβαλὼν, καὶ καταπιὼν, φλεγόμενος ἐξεφέρετο. καὶ ὁ Κύνουλκος ἔφη· ἀποφέρεται ἐκ τῆς βρογχοπαρατάξεως ὁ λάρος. Καὶ περὶ τῆς ἐγχέλυος δὲ Ἀρχέστρατος οὕτως ἱστορεῖ·

Ἔγχελυν αἰνῶ μὲν πᾶσαν· πολὺ δ' ἐστὶ κρατίστη,
Ῥηγίου ἀντίπεραν [3] πορθμοῦ ληφθεῖσα θαλάσσης.
ἔνθα σὺ τῶν ἄλλων πάντων, Μεσσήνιε, θνητῶν f

1 Forſ. ἡ τῶν δείπνων Ἑλ. 2 An ἀπάγων? 3 ἀντίπερας edd.

Vexabantur & anguillae & piſces in vorticibus.«

53. E convivis autem noſtris Epicureus quidam, viceſimarius, quum adponeretur anguilla: *Adeſt*, inquit, *coenarum Helena: ergo ego Paris ero.* Et priusquam alius quisquam manum ad eam extendiſſet, nudavit eam, latus detrahens usque ad ſpinam. Idem vero homo, placentâ deinde fervidâ adpoſitâ, cum abstinerent alii omnes; exclamans,

Hanc ego contra eo, manibus ſit licet ſimilis igni:

quum propere arreptam deglutiviſſet, miſere exuſtus eſferebatur. Tum Cynulcus dicebat: *Effertur ex gutturis proelio larus.* Porro de Anguilla ſic praecipit Archeſtratus:

Anguillam laudo quidem omnem: longe vero optima,
quae capitur ea parte freti quae Rhegio eſt oppoſita.
Ibi tu, Meſſenie, hoc cibo veſcens

βρῶμα τιθεὶς τοιόνδε διὰ στόματος πλεονεκτεῖς.
οὐ μὴν, ἀλλὰ κλέος γ' ἀρετῆς μέγα κάρτα φέ-
ρουσι 5
Κωπαῖαι καὶ Στρυμόνιαι· μεγάλαι τε γάρ εἰσι,
καὶ τὸ πάχος θαυμασταί. ὅμως [1] δ' οἶμαι βασι-
λεύει
a πάντων τῶν περὶ δαῖτα, καὶ ἡδονῇ ἡγεμονεύει
ἔγχελυς, ἢ φύσει ἐστὶν ἀπήρινος [2] μόνος ἰχθύς.

LIV. Grammaticalia de voc. Ἔγχελυς.

Ὁμήρου δὲ εἰπόντος „τείρονt' ἐγχέλυές τε, καὶ ἰχθύες" ἀκολούθως ἐποίησε καὶ Ἀρχίλοχος·

Πολλὰς δὲ τυφλὰς ἐγχέλυας ἐδέξω. [3]

Οἱ δ' Ἀττικοὶ, καθὼς Τρύφων φησὶ, τὰς ἑνικὰς χρήσεις ἐπιστάμενοι διὰ τοῦ υ, τὰς πληθυντικὰς οὐκ ἔτι ἀκολούθως ἐπιφέρουσιν. ὁ γοῦν Ἀριστοφάνης ἐν μὲν Ἀχαρνεῦσι·

1 Forſ. ὅλως. 2 ἀπύρηνος vulgo. 3 Forſ. ἐδέξατο, aut ἐδέξατο.

omnibus felicior es mortalibus.
Sed & magnam virtutis famam profecto habent
Copaeae & Strymoniae: ingentes enim ſunt,
mirumque in modum craſſae. Omnino vero, me iudice,
regnat
omnes inter dapes, & ſuavitate praeſtat
anguilla, unus omnium piſcium naturâ partibus carens
genitalibus.

54. Quemadmodum vero Homerus dixit, *vexantur &* ἐγχέλυες (*anguillae*) *&* *piſces:* ſic & Archilochus eâdem nominis formâ uſus eſt in illo verſu,

Multas vero caecas anguillas (ἐγχέλυας) *accepiſti.*

Attici vero, ut ait Tryphon, licet in ſingulari numero agnoſcant formationem per υς, pluralem tamen iam non ſimili ratione efferunt. Ariſtophanes quidem, in Acharnenſibus, ait:

„Σκέψασθε, φησὶ, παῖδες, τὴν κρατίστην ἔγχελυν.“
καὶ ἐν Λημνίαις· b
— ἔγχελυν Βοιωτίαν.
τὴν δ' εὐθεῖαν ἐν Δαιταλεῦσι·
καὶ λεῖος ὥσπερ ἔγχελυς. —
καὶ Κρατῖνος, ἐν Πλούτοις·
— θύννος, ὀρφὼς, γλαῦκος, ἔγχελυς, κύων.
Τὰς μέντοι πληθυντικὰς οὐκ ἔτι ὁμοίως τῷ Ποιητῇ.
Ἀριστοφάνης Ἱππεῦσιν·
Ὥσπερ[1] γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.
καὶ δευτέραις Νεφέλαις·
Τὰς εἰκοῦς τῶν ἐγχέλεων τὰς ἐμὰς μιμούμενοι.
ἐν Σφηξὶ δὲ ἡ δοτική·
Οὐ χαίρω δὲ βατίσιν, οὐδ' ἐγχέλεσιν.
Στράττις δ' ἐν Ποταμίοις[2] ἔφη[3] „ἐγχέλεων ἀνεψιός.“ Σιμωνίδης δ' ἐν Ἰάμβοις· c

1 Rectius infra, Ὅτερ. 2 Ποταμοῖς vulgo. 3 ἔφυ edd.

Videte, pueri, optimam anguillam. (ἔγχελυν.)
Et in Lemniis: ἔγχελυν *Boeoticam.* Itemque rectum casum, in Convivis:
Et laevis sicut anguilla. (ἔγχελυς.)
Et Cratinus, in Plutis:
Thynnus, orphus, glaucus, ἔγχελυς, *canis.*
At pluralem porro non similem Poëtae (Homero) faciunt. Aristophanes, Equitibus:
Accidit tibi id quod venantibus τὰς ἐγχέλεις.
Et in secundis Nubibus:
Imagines meas de anguillis (τῶν ἐγχέλεων) *imitantes.*
In Vespis vero est dativus casus:
Nec rariis vero gaudeo, nec anguillis. (ἐγχέλεσιν.)
Strattis, in Potamiis, dixit: *Anguillarum* (ἐγχέλεων) *consobrinus.* Simonides vero, in Iambis:

— ὥσπερ ἔγχελυς κατὰ γλοιοῦ.

καὶ τὴν αἰτιατικήν·

Ἐρωδιὸς γὰρ, ἔγχελυν Μαιανδρίην
τρίορχον εὑρὼν ἐσθίοντ', ἀφείλετο.

Ἀριστοτέλης δ' ἐν τοῖς Περὶ Ζώων, διὰ τοῦ ι ἔγχελις εἴρηκεν. ὅταν δ' Ἀριστοφάνης ἐν Ἱππεῦσι λέγῃ·

Ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.
ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν·
d ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
αἱροῦσι. καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταράττῃς.

σαφῶς δηλοῖ, ὅτι ἡ ἔγχελυς ἐκ τῆς ἰλύος λαμβάνεται. ὅθεν καὶ τοὔνομα εἰς υς ἐπερατώθη. καὶ ὁ Ποιητὴς οὖν, θέλων δηλῶσαι τὸ εἰς βάθος τοῦ ποταμοῦ καιόμενον, οὕτως ἔφη· „τείροντ' ἐγχέλυες τε καὶ ἰχθύες." ἰδικώτερον δὲ, καὶ κατ' ἐξαίρετον, ἐγχέλυες· ἵνα καὶ τὸ βάθος τοῦ κεκαυμένου ὕδατος δηλώσῃ.

Velut anguilla (ἔγχελυς) *de lubricitate* [*conquerens.*] & accusativum:

Ardea cum offendisset buteonem, qui
anguillam comedebat Maeandriam, eripuit ei.

Aristoteles vero, in opere de Animalibus, per *iota* vocalem, ἔγχελις, dixit. At Aristophanes, cum in Equitibus ait:

Accidit tibi id quod anguillas venantibus.
Stagno tranquillo nihil illi capiunt:
quod si autem sursum deorsumque coenum miscent,
tum capiunt. Sic & tu quaestum facis, civitatem perturbans.

perspicue declarat, capi anguillam in limo. A cuius etiam graeco nomine (ἰλὺς) nomen anguillae in υς terminatur, ἔγχελυς. Atque etiam Poëta, indicaturus vim incendii in fundum fluvii penetrasse, sic ait: *vexabantur & anguillae & pisces:* sigillatim vero prae caeteris *anguillas* nominavit, quo profunditatem ferventis aquae declararet.

LV. Aegyptiorum mores diversi a Graecis.

Ἀντιφάνης δ' ἐν Λύκωνι, κωμῳδῶν τοὺς Αἰγυ- e
πτίους, φησίν·

Καὶ τ' ἄλλα δεινούς φασι τοὺς Αἰγυπτίους
εἶναι, τὸ νομίσαι τ' ἰσόθεον τὴν ἔγχελυν.
πολὺ τῶν θεῶν γάρ ἐστι τιμιωτέρα.
τῶν μὲν γὰρ εὐξαμένοισιν ἔσθ' ἡμῖν τυχεῖν·
τούτων δὲ, δραχμὰς τοὐλάχιστον δώδεκα
ἢ πλέον ἀναλώσασιν, ὀσφρᾶσθαι μόνον.
οὕτως ἔσθ' ἅγιον [1] παντελῶς τὸ θηρίον.

Ἀναξανδρίδης δ', ἐν Πόλεσι, πρὸς τοὺς Αἰγυπτίους
ἀποτεινόμενος τὸν λόγον, φησίν· f

Οὐκ ἂν δυναίμην συμμαχεῖν ὑμῖν ἐγώ.
οὐθ' οἱ τρόποι γὰρ ὁμονοοῦσ', οὔθ' οἱ νόμοι
ἡμῶν· ἀπ' ἀλλήλων δὲ διέχουσιν πολύ.
Βοῦν προσκυνεῖς· ἐγὼ δὲ θύω τοῖς θεοῖς.
τὴν ἔγχελυν, μέγιστον ἡγεῖ [2] δαίμονα· 5

1 οὕτως ἁγιόν γε corrigit vir doctus. 2 ἡγῇ edd.

55. Antiphanes vero, in Lycone, comice traducens Aegyptios, ait:

Tum rebus aliis aiunt esse Aegyptios
sollertes, tum quod anguillam aequiparant Deis.
Quin vero longe est illa Dis pretiosior:
nam solis precibus nobis se indulgent Dei;
at illam, drachmas solidas cum dederis decem,
aut plus aliquanto, olfacere vix tandem licet.
Tantam habet in se animal illud sanctitudinem.

Anaxandrides vero, in Civitatibus, ad Aegyptios conversâ oratione, ait:

Ego esse vester non queam commilito;
quando nec leges, nec mores consentiunt,
sed multis inter se intervallis differunt.
Bovem tu adoras, ego quem sacrifico Diis.
Anguillam numen esse reris optimum,

ἡμεῖς δὲ τῶν ὄψων μέγιστον παραπολύ.
Οὐκ ἐσθίεις ὕεια· ἐγὼ δέ γ' ἥδομαι
a μάλιστα τούτοις. κύνα σέβεις, τύπτω δ' ἐγώ,
τοὖψον κατεσθίουσαν ἡνίκ' ἂν λάβω.
Τοὺς ἱερέας ἐνθάδε μὲν ὁλοκλήρους νόμος 10
εἶναι· παρ' ὑμῖν δ', ὡς ἔοικεν, ἀπηργμένους.
τὸν αἰέλουρον ἐὰν κακῶς ἔχοντ' ἴδῃς, [1]
κλαίεις· ἐγὼ δ' ἥδιστ' ἀποκτείνας δέρω.
δύναται παρ' ὑμῖν μυγαλή, παρ' ἐμοὶ δέ γ' οὔ.

Τιμοκλῆς δ', ἐν Αἰγυπτίοις·

Πῶς ἂν μὲν οὖν σώσειεν ἶβις ἢ κύων;
b Ὅπου γὰρ εἰς τοὺς ὁμολογουμένους θεοὺς [2]
ἀσεβοῦντες οὐ διδόασιν εὐθέως δίκην,
τίν' αἰελούρου βωμὸς ἐπιτρίψειεν ἄν;

Ὅτι δ' ἥσθιον τὰς ἐγχέλεις καὶ μετὰ τεύτλων LVI.

1 Vulgo κακὸν ἔχοντ' ἢν (ἐὰν mss.) ἴδῃς. 2 εἰς θεοὺς τοὺς ὁμολ. θεοὺς edd. εἰς θεοὺς ὁμολ. θεοὺς mss.

quae mihi putatur optimum esse obsonium.
Non vesceris suilla: mihi nulla est caro
quae sapiat melius. Tum tu veneraris canem:
ego eundem, si epulas praegustavit, verbro.
Lex nostra solos, qui integro sunt corpore,
at vestra mutilos lex sacerdotes probat.
Tum si quod felem attigerit infortunium,
ploras: ego illam occido & excorio libens.
Magnum quid apud vos, mihi nil, mus araneus.

Timocles vero, in Aegyptiis:

At quomodo aliquem aut canis aut ibis sospitent?
Nam, si in confessos qui Deos sunt impii,
supplicium extemplo sceleris non pendunt sui,
altare felis quomodo aliquem everterit?

56. Solitos autem olim anguillas comedere betis ob-

Anguillae beta involutae.

ἐντυλίξαντες, πολὺ μέν ἐστι καὶ παρὰ τοῖς ἀρχαίοις κωμικοῖς, καὶ Εὔβουλος δέ φησιν ἐν Ἠχοῖ·

Νύμφα ἀπειρόγαμος τεύτλῳ περὶ σῶμα καλυπτὰ
λευκόχρως παρέσται [1] ἔγχελυς,
ὦ [2] μεγά μοι — μεγά σοι — φῶς ἐναργές.

καὶ ἐν Ἰωνι·

Μετὰ [3] ταῦτα θύννων μεγαλόπλουτ' ἐπεισέπλει [4] c
ὑπογάστρι' ὀπτῶν· αἵ τε λιμνοσώματοι
Βοιώτιαι παρῆσαν ἐγχέλεις θεαὶ,
τεῦτλ' ἀμπεχόμεναι. —

καὶ ἐν Μηδείᾳ·

— Παρθένου Βοιωτίας [5]
Κωπαΐδος· ὀνομάζειν γὰρ αἰδοῦμαι θεάν.

Strymoniae anguillae.

Ὅτι δὲ καὶ αἱ Στρυμόνιαι ἐγχέλεις δι' ὀνόματος ἦσαν, φησὶν ἐν Θαμύρᾳ Ἀντιφάνης·

1 πάρεστι edd. 2 ὦ vulgo. 3 Καὶ μετὰ edd. 4 ἐπί σε πλεῖ vulgo. 5 Supplet Casaubonus: τεῦτλ' ἀμπεχομένης παρθένου Βοιωτίας.

volutas, multis in locis cum alii veteres Comici declarant, tum Eubulus in Echo, ubi ait:

Innupta puella, betis corpore tecta,
alba carne aderit anguilla.
O magnum mihi - magnum tibi - lumen illustre.

Et in Ione:

Posthaec thynnorum ditissima intrarunt
abdomina assorum: & paludis incolae
aderant divae Boeoticae anguillae,
betis vestitae.

Et in Medea:

— *Virginis Boeoticae*
Copaidis: verecundor enim nominare Deam.

Celebres autem fuisse etiam *Strymonias* anguillas, Antiphanes declarat in Thamyra:

Καὶ σοῦ γ' ἐπώνυμός τις ἐν Φήμαις βροτῶν
Θρήκης κατάρδων ποταμὸς ὠνομασμένος,
d Στρυμών, μεγίστας ἐγχέλεις κεκτημένος.

Καὶ περὶ τὸν Εὐλέα[1] δὲ ποταμὸν (οὗ μνημονεύει Ἀντίμαχος, ἐν ταῖς ἐπιγραφομέναις Δέλτοις, οὕτως·

Ἐλθὼν Εὐλείας[2] πηγὰς ἔπι δινήεντος.)

Δημήτριος[3] ὁ Σκήψιος ἐν ἑκκαιδεκάτῳ τοῦ Τρωϊκοῦ διακόσμου, ἐγχέλεις φησὶ διαφόρους γίνεσθαι.

LVII. Ellops, vel Elops.

Ἔλλοψ. Προείρηται μέν τινα περὶ αὐτοῦ. ἀλλὰ καὶ Ἀρχέστρατός φησι τάδε περὶ αὐτοῦ·

e Τὸν δ' ἔλοπ' ἔσθε μάλιστα Συρακούσαις ἐνὶ κλειναῖς,
τόν γε κρατιστεύονθ'. οὗτος γὰρ αὖ ἐστιν ἐκεῖθεν
τὴν ἀρχὴν γεγονὼς θήν.[4] κἂν ἢ περὶ νήσους,
ἢ περὶ τὴν ἄλλην που ἁλῶ γῆν, ἢ περὶ Κρήτην,

1 Εὐκλεᾶ edd. Εὐκλέα Ms. 2 Εὐκλεία edd. 3 Δημήτριος δ' ὁ Σκήψ. edd. 4 Abest θήν edd. Quare κἂν νὴ Δί' ἢ supplet Cas.

Et, qui tibi nomen dedit, hominum sermonibus
celebratus, Thraciam irrigans amnis,
Strymon, maximas possidens anguillas.

Sed & circa *Eulea* [sive *Euleam*] fluvium (cuius meminit Antimachus in poëmate, quod Δέλτοι, id est Tabellae, inscribitur, his verbis:

Veniens ad Euleae fontes vorticosi.)

eximias esse anguillas scribit Demetrius Scepsius, decimo sexto libro Ordinationis aciei Troianae.

57. Ellops. [sive, Elops.] De hoc iam supra a nobis dicta sunt nonnulla. Caeterum de eodem haec scribit Archestratus:

Elopem comede maxime Syracusis in celebribus,
praestantissimum utique. Nam & hic rursus piscis inde
initio venit certe. Qui si circa insulas
aut aliam quamdam terram captus fuerit, aut circa Cretam,

λεπτὸς καὶ στερεὸς καὶ κυματοπλὴξ ἀφικνεῖται.

LVIII. ERYTHRINUS.

Ἐρυθρῖνος. Ἀριστοτέλης ἐν τῷ Περὶ Ζώων, καὶ Σπεύσιππος, παραπλήσιά φησιν εἶναι φάγρον, ἐρύθρινον, ἧπατον. τὰ παραπλήσια εἴρηκε καὶ Δωρίων ἐν τῷ Περὶ Ἰχθύων. Κυρηναῖοι δὲ ὕκην [1] τὸν ἐρύθρινον καλοῦσι, ὡς Κλείταρχός φησιν ἐν Γλώσσαις.

LIX. ENCRASICHOLI.

Ἐγκρασίχολοι. Καὶ τούτων μέμνηται Ἀριστοτέλης, ὡς μικρῶν ἰχθυδίων, ἐν τῷ Περὶ Ζωϊκῶν. Δωρίων δέ, ἐν τῷ Περὶ Ἰχθύων, τῶν ἐγκρασιχόλων ἐν τοῖς ἑψητοῖς μέμνηται, εἰπὼν οὕτως· „Ἑψητοὺς εἶναι μὲν δεῖ ἐγκρασιχόλους, ἢ ἴωπας, ἢ ἀθερίνας, ἢ κωβιούς, ἢ τριγλίδας μικράς, σηπίδιά τε, καὶ τευθίδια, καὶ καρκίνια.“

LX. HEPSETUS.

Ἕψητός. Ἐπὶ [2] τῶν λεπτῶν ἰχθυδίων. Ἀριστοφάνης ἐν Ἀναγύρῳ·

1 δὲ ὕκην vulgo. 2 Ἐστὶ edd. cum ms. *A*.

macer & durus & fluctibus vexatus adveniet.

58. ERYTHRINUS. Ariſtoteles, libro DE Animalibus, & Speuſippus, ſimiles inter ſe eſſe tradunt phagrum, erythrinum, hepatum. Paria ſcribit Dorion, libro DE Piſcibus. Cyrenaei vero *hycam* vocant erythrinum, ut docet Clitarchus in Gloſſis.

59. ENCRASICHOLI. Etiam horum meminit Ariſtoteles, ut minutorum piſciculorum, in libro DE Animalibus. Dorion vero, libro DE Piſcibus, encraſicholorum mentionem facit in hepſetis, ita ſcribens: »Hepſetos oportet eſſe, encraſicholos, aut iopas, aut atherinas, aut gobios, aut minutos mullos, & ſepiolas, minutas loligines, & cancellos.«

60. HEPSETUS. (Latine proprie, *Elixus.*] Dicitur de parvis piſciculis. Ariſtophanes, in Anagyro:

— οὐχ ἑψητῶν λοπάς ἐστιν.

Ἄρχιππος, Ἰχθύσιν·

καὶ τὴν μὲν ἀφύην καταπέπωκεν ἑψητὸς [1] ἐντυχών.

Εὔπολις, Αἰξίν·

Ὦ Χάριτες, αἷσι μέλουσιν [2] ἑψητοί. —

Εὔβουλος, ἐν Προσουσίᾳ, [3] ἢ Κύκνῳ·

Ἀγαπῶν τε, κἂν ἑψητὸν ἐν τεύτλοις ἕνα

διὰ δωδεκάτης ἑψόμενον ἡμέρας ἴδῃ. [4]

Ἄλεξις ἐν Ἀπεγλαυκωμένῳ·

— Καὶ γὰρ ἑψητοί τινες [5]

παρῆσαν ἡμῖν δαιδαλαῖοί πως· [6] τὰ γὰρ

b καλὰ ἅπαντα Δαιδάλου καλοῦσ᾽ ἔργα. [7]

Καὶ πάλιν·

Τῶν οὖν κορακίνων πεῖραν οὐχὶ λαμβάνεις;

οὐδὲ τριχίδων, οὐδ᾽ οἷον ἑψητῶν τινῶν;

1 ἑψητὸν legebam. 2 μέλλουσιν edd. 3 Mendosum videtur vocab. 4 ἴδῃ edd. 5 ἑψητῶν τινὲς edd. 6 δαιδαλέοι πως edd. δαιδάλεσί πως ms. *Ep.* Forsan δαιδάλειοί πως. 7 Vulgo τὰ γὰρ καλὰ πάντα Δαιδάλου καλοῦσιν ἔργα.

— *Nec adest hepsetorum patina.*

Archippus, in Piscibus:

Aphyam hepseton natus, devoravit.

Eupolis, Capellis:

O Gratiae, quibus curae sunt hepseti.

Eubulus, in Προσουσίᾳ, sive Cygno:

Et contentus, si hepsetum unum, cum betis
elixum, duodecimo quoque videat die.

Alexis, in Apeglaucomeno: [id est, Caerulato:]

— *Nam & hepseti nonnulli*
adcrant nobis, daedaleo quodam modo parati.
Etenim pulcra omnia, Daedali dicunt opera.

Idem rursus:

Coracinos igitur gustare nullo pacto vis?
nec trichides, & ne hepsetos quidem nonnullos?

Πληθυντικῶς δὲ λέγουσιν, ἐψητοὺς, κατὰ τὸ πλεῖστον. Ἀριστοφάνης, Δράμασιν ἢ Νιόβῳ· [1]

Οὐδέν, μὰ Δί', ἐρῶ λοπάδος ἐψητῶν.

Μένανδρος, Περινθίᾳ·

Τὸ παιδίον δ' εἰσῆλθεν ἐψητοὺς φέρον.

Ἐνικῶς δὲ Νικόστρατος, ἐν Ἡσιόδῳ·

βαμβράδ' [2] ἀφύην ἐψητόν. —

Ποσειδίππος, Ἀποκλειομένῃ·

ἐψητὸν ἀγοράζειν τινά. —

Ἐν δὲ τῇ ἐμῇ Ναυκράτει ἐψητοὺς καλοῦσιν ἰχθύδια ἀπολειπόμενα ἐν ταῖς διώρυξιν, ὅταν ὁ Νεῖλος ὑποπαύηται [3] τῆς πληρώσεως. c

LXI. Hepatus, sive Lebias.

Ἧπατος, ἢ Λεβίας. Διοκλῆς τοῦτόν φησι τῶν πετραίων εἶναι. Σπεύσιππος δ' ὅμοιον φάγρῳ τὸν ἧπατον. Ἔστι δὲ μονήρης, ὡς φησιν Ἀριστοτέλης, σαρκόφαγός τε, καὶ καρχαρόδους· τὴν

1 Νιόβῃ edd. 2 Βεμβράδ' edd. 3 ἀποπαύηται edd.

Plerumque vero plurali numero efferunt: HEPSETI. Sic Ariſtophanes, in Dramatibus ſive Niobo:

Nihil, per Iovem, dicam de hepſetorum patina. [ſive: *Nihil magis amo, quam hepſetorum patinam.*]

Menander, Perinthiâ:

Puerulus introiit, hepſetos ferens.

Singulariter vero Nicoſtratus, in Heſiodo:

Bembradapuam hepſeton.

Poſidippus, in Excluſa:

Hepſetum emere aliquem.

Mea vero in patria Naucrati *hepſetos* vocant, piſciculos in foſſis relictos, poſtquam Nilus exundare deſiit.

61. HEPATUS, ſive LEBIAS. Diocles hunc ait eſſe e ſaxatilibus. Speuſippus vero, ſimilem eſſe phagro. Eſt autem ſolitarius, ut ait Ariſtoteles, & carnivorus, &

χροιὰν μὲν μέλας, ὀφθαλμοὺς δὲ μείζονας ἢ καθ' αὐτὸν ἔχων, καρδίαν τρίγωνον, λευκήν. Ἀρχέστρατος δ', ὁ τῶν δείπνων λοχαγὸς, φησίν·

d Καὶ λεβίαν δὲ λαβεῖν, τὸν χ' ἥπατον,[1] ἐν περικλύστῳ
Δήλῳ καὶ Τήνῳ.

LXII. ELACATENES.

Ἠλακατῆνες. Μνησίμαχος, Ἱπποτρόφῳ·

— σκόμβρος, θύννος, κωβιὸς, ἠλακατῆνες.

Εἰσὶ δὲ κητώδεις, ἐπιτήδειοι εἰς ταριχείαν. Μένανδρος, Κόλωσι,[2] φησί·

κωβιὸς, ἠλακατῆνες, καὶ κυνὸς οὐραῖον.

Μνασέας δὲ ὁ Πατρεὺς φησίν· „Ἰχθύος δὲ γίνεται, καὶ ἡσυχίας τῆς ἀδελφῆς, γαλήνη,[3] καὶ μύραινα, καὶ ἠλακατῆνες.“

e LXIII. THYNNUS.

Θύννος. Τοῦτόν φησιν Ἀριστοτέλης εἰσ-

1 Καὶ λεβίαν λαβεῖν ὄσχετον ἧπατον edd. cum ms. *A.* καὶ λεβίαν λαβεῖν τὸν ἧπατον ms. *Ep.* 2 Κόλαξι corr. Casaub. Κόλακι Cleric. 3 An γαλῆ, *mustela piscis?*

dentibus ferratis, colore niger: oculos autem maiores habet quam pro corporis magnitudine; cor triangulare, album. Archestratus vero, coenarum centurio ac veluti ordinum ductor, ait:

Lebias vero, qui & hepatus, sumendus ex circumflua
Delo aut Teno.

62. ELACATENES. Mnesimachus, in Equos-alente:

— *Scomber, thynnus, gobius, elacatenes.*

Sunt autem cetacei, ad salsamenta idonei. Menander, in Colonibus, [*sive*, in Assentatore,] ait:

Gobius, elacatenes, & canis pulpamentum caudae proximum.

Mnaseas vero Patrensis ait: *Ex Ichthye vero*, (i. e. *Pisce*) *eiusque sorore Hesychia*, (id est, Quiete) *gignuntur Galene*, (i. e. tranquillitas maris) *& muraena, & elacatenes.*

63. THYNNUS. Hunc, ait Aristoteles, in Pontum in-

πλεῖν εἰς τὸν πόντον ἐχόμενον τῆς γῆς ἐπὶ δεξιὰ, ἐκπλεῖν δ' ἐπ' ἀριστερά. τῷ γὰρ δεξιῷ ὀφθαλμῷ ὀξύτερον βλέπειν, [1] τῷ δὲ εὐωνύμῳ ἀμβλυωπεῖν. ἔχει δὲ ὑπὸ τὰ πτερύγια τὸν λεγόμενον οἶστρον. Χαίρει δὲ ἀλέᾳ· διὸ καὶ πρὸς τὴν ἄμμον πρόσεισι. Γίνεται δὲ εὐδώδιμος, ὅταν τοῦ οἴστρου παύσηται. Μίσγεται [2] δὲ μετὰ τὴν φωλείαν, ὡς φησι Θεόφραστος. καὶ ἕως μὲν ἂν ἔχῃ μικρὰ τὰ κυήματα, δυσάλωτος· ὅταν δὲ μείζω γένηται, διὰ τὸν οἶστρον ἁλίσκεται. Φωλεύει δὲ ὁ θύννος, καίτοι πολυαίματος [3] ὤν. Ἀρχέστρατος δὲ φησίν· f

Ἀμφὶ δὲ τὴν ἱερὰν τε καὶ εὐρύχορον Σάμον ὄψει
θύννον ἁλισκόμενον σπευδῇ μέγαν· ὃν καλέουσιν
ὄρκυν, [4] ἄλλοι δ' αὖ κῆτος. τούτου δὲ θεοῖς χρὴ
ὀψωνεῖν· ἃ πρέπει ταχέως, καὶ μητέρι τιμῆς. [5]

1 Desunt nonnulla ed. Ven. & msstis. Locus suppletus ex Aristot. 2 πίων γίνεται coni. Gesner. 3 πολυκύματος ed. Ven. & Bas. πολυκύμαντος corrigit Coray. 4 ὄρκυνον edd. ὄρκυνον ms. *Ep.* 5 καὶ μὴ περιμίμνειν corrigit Cas. κἂν ᾖ ἐρίτιμος Heringa: καὶ μὴ περὶ τιμῆς Coray.

trantem, dextrum littus radere, exireque laevo: dextro enim oculo acutius cernere, sinistro vero esse hebetiorem. Habet autem sub pinnis quem oestrum vocant. Gaudet solis tepore: eâque caussâ ad arenam accedit. Fit ad comedendum gratus, postquam oestro desiit pungi. Coit autem [*sive*, Pinguescit] postquam latuit, ut ait Theophrastus. Et quamdiu parvos habet foetus, difficilis captu est: postquam autem hi adoluerunt, capitur propter oestrum. Latitat autem thynnus, quamvis sanguine abundet. Archestratus vero ait:

Circa sacram vero spatiosamque Samum videbis
thynnum capi valde magnum; quem vocant
orcynum, alii vero cetum. De hoc Diis oportet emere
obsonium: & promte id facere decet, nec (litigare) *de pretio.*

a Ἔστι δὲ γενναῖος Βυζαντίῳ, ἔν τε Καρύστῳ
ἐν Σικελῶν τε κλυτῇ νήσῳ Κεφαλοιδὶς [1] ἀμείνους
πολλῷ τῶνδε τρέφει θύννους καὶ Τυνδαρὶς ἀκτή.
Ἂν δέ ποτ' Ἰταλίας ἱερᾶς Ἱππώνιον ἔλθῃς,
ἑρπετὸν εἰς ὕδατος στεφάνους, [2] πολὺ δή, πολὺ πάντων,
ἐνταῦθ' εἰσὶν ἄριστοι, ἔχουσι δὲ [3] τέρματα νίκης.
Οἱ δ' ἐπὶ τῶνδε τόπων, πεπλανημένοι εἰσὶν ἐκεῖθεν,
b πολλὰ περάσαντες πελάγη, βρυχίου διὰ πόντου·
ὥστ' αὐτοὺς ἡμεῖς θηρεύομεν ὄντας ἀώρους.

LXIV.

Oestrus thynni.

Ὠνομάσθη δὲ θύννος ἀπὸ τοῦ θύειν τε καὶ ὁρμᾶν. ὁρμητικὸς γὰρ ὁ ἰχθύς, διὰ τὸ ἔχειν κατά τινα ὥραν οἶστρον ἐπὶ τῆς κεφαλῆς, ὑφ' οὗ φησιν ὁ Ἀριστοτέλης αὐτὸν ἐξελαύνεσθαι, γράφων οὕτως· „Οἱ δὲ θύννοι καὶ οἱ ξιφίαι οἰστρῶσι περὶ κυνὸς ἐπιτολήν.

1 κέφαλοι δέ τ' ἀμείνους edd. 2 Βρεττίων ὑδατοστεφέων coni. Casaub. 3 ἴχουσί τε malim.

Est autem generosus Byzantii & Caryſti;
& in Siculorum inclytâ insulâ Cephaloedis meliores
multo istis alit thynnos & Tyndaris ora.
At si quando sacrae Italiae veneris Hipponium,
[Bruttiorum undis coronatorum;] *longe sane, longe omnium*
ibi sunt optimi, habentque victoriae culmen.
Qui vero hisce in locis (reperiuntur,) *inde palantes venere,*
multis traiectis aequoribus, fremebundum per pontum.
Ita fit, ut istos nos venemur intempestivos.

64. Nomen sortitus est *Thynnus* a graeco verbo θύειν, quod *cum impetu moveri* significat. Est enim impetuosus hic piscis, quoniam certo anni tempore oestrum habet in capite; a quo exagitari eum ait Aristoteles, sic scribens: »Thynni vero & xiphiae oestro agitantur circa

ἔχουσι γὰρ ἀμΦότεροι τηνικαῦτα παρὰ τὰ πτερύγια, οἱονεὶ σκωλήκιον, τὸν [1] καλούμενον οἶστρον, ὅμοιον μὲν c σκορπίῳ, μέγεθος δὲ ἡλίκον ἀράχνης. [2] τοῦτο δὲ ποιεῖ αὐτοὺς ἐξάλλεσθαι, οὐκ ἔλαττον τοῦ δελΦῖνος· καὶ τοῖς πλοίοις πολλάκις ἐμπίπτουσι." Καὶ Θεοδωρίδας δέ Φησί·

Θύννοι τε δὴ οἰστρήσοντι Γαδείρων δρόμον.

Πολύβιος δ' ὁ Μεγαλοπολίτης, ἐν τετάρτῃ καὶ τριακοστῇ τῶν Ἱστοριῶν, περὶ τῆς ἐν Ἰβηρίᾳ Λυσιτανίας χώρας διαλεγόμενος, Φησίν· ὅτι „βαλανοί εἰσι κατὰ βάθος ἐν τῇ αὐτόθι θαλάττῃ πεΦυτευμέναι, ὧν τὸν καρπὸν σιτουμένους τοὺς θύννους πιαίνεσθαι. διό- d περ οὐκ ἂν ἁμάρτοι τις λέγων ὗς εἶναι θαλαττίους τοὺς θύννους. εἰσὶ γὰρ οἱ θύννοι, οἷον ὗες, ἀπὸ τῶν βαλάνων αὐξανόμενοι."

LXV.

In thynno laudatur abdomen.

Ἐπαινεῖται δὲ τοῦ ἰχθύος τούτου τὰ ὑπογάστρια, ὡς καὶ Εὔβουλός Φησιν ἐν Ἴωνι·

1 οἷον σκωλ. τὸ καλούμ. edd. 2 δραχμῆς ed. Ven. cum msstis.

caniculae ortum. Habet enim uterque horum piſcium eâ tempeſtate iuxta pinnas veluti vermiculum, qui *oeſtrus* vocatur, ſimilem ſcorpio, magnitudine aranei. Inde fit ut exſiliant, non minus quam delphines: & nonnumquam in naves incidunt." Porro Theodoridas ait:

Thynni oeſtro citati Gades curſu petunt.

Polybius vero Megalopolitanus, quarto & triceſimo Hiſtoriarum libro, de Luſitania Iberiae verba faciens, ſcribit „in profundo ad mare illius orae gigni quercus glandiferas, quarum fructu veſcentes thynni pingueſcant. Quapropter a vero haud aberraverit, ſi quis *porcos marinos* eſſe dixerit thynnos: quia, ſicut porci, glandibus veſcentes thynni augeſcunt."

65. Laudantur vero in hoc piſce *abdomina*. Quam in partem Eubulus dixit, in Ione:

Μετὰ ταῦτα θύννων μεγαλόπλουτ' ἐπεισέπλει [1]
ὑπογάστρι' ὀπτῶν. —

Ἀριστοφάνης, Λημνίαις·

— Οὐκ ἔγχελυν Βοιωτίαν,
οὐ γλαῦκον, οὐχὶ θύννου ὑπογάστριον.

Στράττις, Ἀταλάντῃ·

Ὑπογάστριον θύννου τε καὶ ἀκροκώλιον [2]
e ὀβραχμῆς ὕειον. [3]

ἐν δὲ Μακεδόσιν·

ὑπογάστρια θ' ἡδέα θύννων.

Ἐριφος, Μελιβοίᾳ·

Ταῦθ' οἱ [4] πένητες οὐκ ἔχοντες ἀγοράσαι,
ὑπογάστριον θύννακος, οὐδὲ κρανίον
λάβρακος, οὐδὲ γόγγρον, [5] οὐδὲ σηπίας·
ἃς οὐδὲ μάκαρας [6] ὑπερορᾶν οἶμαι θεούς.

1 ἐπὶ σὲ πλεῖ edd. 2 Possis & κἀκροκώλιον scribere. 3 Vulgo ὑείον. 4 Ταῦτα γὰρ οἱ vulgo. Forsi. τάδε γὰρ πένητες. 5 γόγγρου edd. 6 μακρὰν vel μακρὰς edd.

Posthaec thynnorum opulenta intrarunt
abdomina assorum.

Aristophanes, in Lemniis:

— *Non anguillam Boeoticam,*
non glaucum, non thynni abdomen.

Strattis, in Atalanta:

Et abdomen thynni, & trunculi
suilli, drachmae pretio.

Idem, in Macedonibus:

Et suavia thynnorum abdomina.

Eriphus, in Meliboea:

Ista quidem emere non possunt pauperes,
abdomen thynnacis, nec caput
labracis, nec congrum, nec sepias;
quas ne a beatis quidem Diis sperni arbitror.

Ὅταν δὲ καὶ Θεόπομπος ἐν Καλλαίσχρῳ λέγῃ·

Ἰχθύων δὲ δὴ ὑπογάστριον, ὦ Δάματερ. —

παρατηρητέον, ὅτι ἐπὶ ἰχθύων μὲν ὑπογάστριον λέγουσι, σπανίως δὲ ἐπὶ χοίρων, καὶ τῶν ἄλλων ζώων. Ἄδηλον δὲ ἐπὶ τίνων ἔταξε τὸ ὑπογάστριον Ἀντιφάνης ἐν τῷ Ποντικῷ, ὅταν λέγῃ· f

— Ὅστις ὠψώνηκ' ἴσως
τούτους [1] μεγαλείως ταῖς κάκιστ' ἀπολουμέναις,
ὑπογάστρι' ἐλθὼν, ὅσα Ποσειδὼν ἀπολέσαι· [2]
τάττειν τε γεννικῶς [3] παρασκευάζεται
πλευρὰν μετ' αὐτῶν.

Caput & claves thynni. Ἀλεξις δὲ, ἐν Ὀδυσσεῖ ὑφαίνοντι, καὶ τὴν κεφαλὴν a τοῦ θύννου ἐπαινῶν, φησίν·

Α. Καὶ τοὺς ἁλιέας εἰς τὸ βάραθρον ἐμβαλῶ·
ἀπελευθέρων ὀψάρια θηρεύουσί μοι,

1 An ταύταις? 2 ἀπολέσει edd. 3 γενικῶς ed. Ven. Baſ. & Caſ. 1.

Quandoquidem vero etiam Theopompus in Callaeſchro dicit:

Piſcium nempe abdomen, (ὑπογάστριον,) *o alma Ceres!*

obſervandum, in piſcibus quidem nomine *abdomen* (ὑπογάστριον) uti veteres, raro vero, in porcis aliisque animantibus. Quaenam autem *abdomina* (ὑπογάστρια) Antiphanes dixerit, incertum eſt, cum ait in Pontico:

— Quisquis obſonatus eſt fortaſſe
magnifice hisce (*mulieribus*) *peſſime perditis*
abdomina, (huc) *veniens, quae Neptunus male perdat,*
& ponere generoſe adgreditur
latus cum illis.

Alexis vero, in Ulyſſe texente, caput etiam thynni laudans, ait:

A. *Et piſcatores ego in barathrum coniiciam:*
libertorum obſoniola mihi venantur,

τριχίδια, καὶ σηπίδια, καὶ Φρυκτοὺς τινάς.

Β. Οὗτος πρότερον, κεφαλὴν εἰ λάβοι θύννου, [1] ἐνόμιζεν [2] ἐγχέλεια [3] καὶ θύννους ἔχειν.

Ἐπήνουν δὲ τῶν θύννων καὶ τὰς κλεῖδας καλουμένας, ὡς Ἀριστοφῶν ἐν Πειρίθῳ·

A. Καὶ μὴν διέφθαρταί γε τ' οὖψον παντελῶς.

b B. Κλεῖδες μὲν ὀπταὶ δύο παρεσκευασμέναι. [4]

A. Αἷς τὰς θύρας κλείουσι; B. Θύννου μὲν οὖν. σεμνὸν τὸ βρῶμα. A. Καὶ τρίτη Λακωνική.

LXVI. Varia de thynno.

Ἀντίγονος δ' ὁ Καρύστιος, ἐν τῷ Περὶ Λέξεως, τῷ Ποσειδῶνί φησι θύννον θύεσθαι, καθάπερ προείπαμεν. Ἡρακλέων δ' ὁ Ἐφέσιος τὸν ὄρκυνόν [5] φησι λέγειν τοὺς Ἀττικούς. Σώστρατος δὲ, ἐν δευτέρῳ Περὶ Ζώων, τὴν πηλαμύδα [6] θυννίδα καλεῖσθαι λέγει· μείζω δὲ γινομένην, θύννον· ἔτι δὲ μείζονα, ὄρ-

1 Disiecta membra poëtae. 2 ἐνόμιζον edd. 3 ἐγχέλια mssti. 4 Versum istum alii tribuunt priori personae. 5 ὄρκυτον ed. Ven. & Bas. Suspicor vero oportuisse τὸν θύννον, ὄρκυνον (vel ὄρκυννον) φησὶ &c. 6 πηλαμίδα edd.

pusillas trichidas, & sepiolas, & frixos nonnullos pisciculos.

B. *At hic homo haud ita pridem, si caput acciperet thynni, putabat anguillas & ipsos thynnos se habere.*

Laudabant vero etiam *claves* quas vocant *thynnorum*, ut Aristophon in Pirithoo:

A. *Atqui corruptum est prorsus obsonium.*

B. *Claves quidem assae paratae sunt duae.*

A. *An, quibus clauduntur fores?* B. *Immo thynni claves: eximius cibus.* A. *Est tertium genus clavis, Laconica.*

66. Antigonus Carystius, libro de Dictione, Neptuno sacrificari scribit thynnum, ut supra dictum est. Porro Heracleon Ephesius ait, thynnum ab Atticis vocari *orcynum*. Sostratus vero, secundo libro de Piscibus, *pelamydem* ait vocari *thynnidem*; eamdem, postquam maior facta est, *thynnum*; postquam adhuc maior, *orcynum*;

κυνον· [1] ὑπερβαλλόντως δὲ αὐξανόμενον, γίνεσθαι κῆτος. μνημονεύει δὲ τοῦ θύννου καὶ Αἰσχύλος, λέγων· c

Σφύρας δέχεσθαι καὶπιχαλκεύειν λέγω [2]
μύδρους, ὃς ἀστενακτὶ θύννος ὡς ηὔχετο [3]
ἄναυδος. [4] —

καὶ ἀλλαχοῦ· [5]

Οὗτος καὶ ὄμμα παραβαλὼν θύννου δίκην.

ὡς τοῦ θύννου τῷ σκαιῷ ὀφθαλμῷ οὐ βλέποντος, ὡς Ἀριστοτέλης εἴρηκεν. [Μένανδρος,] [6] Ἁλιεῦσι·

Καὶ θάλασσα [7] βορβορώδης ἡ τρέφει θύννον μέγαν.

Καὶ παρὰ Σώφρονι ὁ θυννοθήρας ἐστίν. Οὓς ἔνιοι [8] θύννους καλοῦσιν, Ἀθηναῖοι δὲ θυννίδας.

LXVII. THYNNIS.

ΘΥΝΝΙΣ. Τοῦ ἄρρενος ταύτην φησὶ διαφέρειν

1 ὄχυνον ed. Ven. & Baſ. cum ms. *A*. 2 καπιχαλκεύει λέγων Ms. 3 ἠμύχετο corr. Toup. Sed ne ſic quidem vel ſententiae vel metro conſtat ratio. 4 ἂν λυδός. Ms. 5 καὶ ἀλλαχοῦ. οὕτως edd. 6 Nomen ex Dalecampii coniect. adiectum a Caſaub. 7 Καὶ θάλασσα καὶ βαρβορώδης vulgo. 8 Videtur ante iſta verba intercidiſſe nomen alicuius auctoris.

ubi in eximiam excrevit molem, *cetum*. Meminit vero thynni etiam Aeſchylus, dicens:

Malleos ſumi, & cudi iubeo
ignitas maſſas: qui ſine gemitu, veluti thynnus, precabatur [*ſive*, lacerabatur]
nulla voce emiſſa. —

Et alibi ſic:

— *& oculum detorquens, in modum thynni:*

ſignificans ſcilicet, thynnum laevo oculo minus videre, quemadmodum Ariſtoteles dixit. [Menander,] in Piſcatoribus:

Et mare turbulentum, quod alit thynnum magnum.

Et apud Sophronem eſt θυννοθήρας, *thynnorum venator*. Quos alii *thynnos* vocant, eosdem Attici *thynnidas*.

67. THYNNIS. Hanc a thynno mare ait Ariſtoteles eo

d ὁ Ἀριστοτέλης, τῷ ἔχειν ὑπὸ τῇ γαστρὶ πτερύγιον, ὃ καλεῖσθαι ἀθέρα. [1] Ἐν δὲ τῷ Περὶ Ζώων Μορίων, διίστας αὐτὴν τοῦ Θύννου, φησὶν „τοῦ θέρους τίκτειν περὶ τὸν Ἑκατομβαιῶνα θυλακοειδὲς, ἐν ᾧ πολλὰ γίνεσθαι [2] μικρὰ ᾠά.“ καὶ Σπεύσιππος δ', ἐν δευτέρῳ Ὁμοίων, διίστησιν αὐτὰς τῶν Θύννων, καὶ Ἐπίχαρμος ἐν Μούσαις. Κρατῖνος δ' ἐν Πλούτοις φησίν·

Ἐγὼ γάρ εἰμι Θυννὶς, ἢ μελαίνας, [3] ἢ
καὶ Θύννος, ὀρφὼς, γλαῦκος, ἔγχελυς, κύων.

Ἀριστοτέλης δ', ἐν τῷ Περὶ Ἰχθύων, ἀγελαῖον καὶ e ἐκτοπιστικὸν εἶναι τὴν Θυννίδα. Ἀρχέστρατος δ', ὁ κίμβιξ, [4] φησίν·

Καὶ θύννης οὐραῖον ἔχειν, ἣν Θυννίδα φωνῶ
τὴν μεγάλην, ἧς μητρόπολις Βυζάντιον ἐστίν.

THYNNA, eadem quae *Thynnis*.

1 ἀφαρέα ed. Baſ. ex Ariſtot. 2 γίνεται ed. Baſ. & Caſaub.
3 Forſ. μέλανδρυς. 4 κίμμιξ edd.

differre, quod ſub ventre pinnulam habeat, quae *ariſta* (ἀθὴρ) vocatur. In libro vero De Partibus Animalium, poſtquam thynnidem a thynno diſtinxit, ſcribit »aeſtate parere eam, circa menſem Hecatombaeona, aliquid ſacco ſimile, in quo plura inſint parva ova.« Etiam Speuſippus, ſecundo libro Similium, thynnidas & thynnos diſtinguit: item Epicharmus in Muſis. Cratinus vero, in Plutis, ait:

Ego enim ſum thynnis, aut melaena, [ſive, *melandrys*,]
aut
etiam thynnus, orphus, glaucus, anguilla, canis.

Ariſtoteles vero, in libro De Piſcibus, gregalem piſcem eſſe thynnidem ſcribit, & locum mutare. Archeſtratus autem, ſubtilis rerum enucleator, ait:

Et thynnae habendum pulpamentum caudae proximum: ſic thynnida voco
magnam, cuius eſt patria Byzantium.

Εἶτα τεμὼν αὐτὴν, ὀρθῶς ὄπτησον ἅπασαν,
ἁλσὶ μόνον λεπτοῖσι πάσας, καὶ ἐλαίῳ ἀλείψας.
θερμά τ' ἔχειν τεμάχη, βάπτων δριμείαν ἐς ἅλμην.
Κἂν ξηρὰν ἐθέλῃς ἔσθειν, γενναῖαι πέλονται, [1]
ἀθανάτοισι θεοῖσι φυὴν καὶ εἶδος ὁμοῖαι.
Ἂν δ' ὄξει ῥάνας παραβῇς, ἀπόλωλεν ἐκείνη. f

Καὶ Ἀντιφάνης δ' ἐν Παιδεραστῇ·

Τῆς τε βελτίστης μεσαίων
θυννάδος [2] Βυζαντίας
τέμαχος ἐν τεύτλου λακιστοῖς
κρύπτεται στεγάσμασι.

Τῆς θυννίδος τὸ οὐραῖον ἐπαινεῖ καὶ Ἀντιφάνης, ἐν Κουρίδι, οὕτως·

— Α. Ὁ μὲν [3] ἀγρῷ τρεφόμενος
[ὄψον] [4] θαλάττιον οὗτος οὐδὲν ἐσθίει, [5]

1 γενναῖα πέλονται edd. qui tamen tenent verſ. ſeq. ὅμοιαι. Καὶ ξηρ' ἂν legit Villebr. & dein γενναῖα & ὅμοια. 2 θυννίδος ms. *Ep.* in contextu. 3 Forſ. Ὁ μὲν ἐν ἀγρῷ. 4 Vocab. ex coniect. adiectum. 5 Forſ. ἐσθίων.

Hoc deinde omne in fruſta ſectum, aſſa recte,
tenui ſolummodo ſale conſperſum, & oleo unctum:
calidaque comedenda fruſta, in muriam acrem intincta.
Etiamque ſi ſiccam volueris edere, generoſa fuerit,
immortalibus Diis habitu & ſpecie ſimilis.
Sin aceto rigatam adpoſueris, periit illa.

Et Antiphanes, in Paederaſta:

Et optimae medium thynnadis Byzantiae
fruſtum in betae laceris abditur operimentis.

Thynnidis caudam (*ſive*, pulpamentum caudae proximum) laudat etiam Antiphanes, in Curide, (*ſeu*, Novacula, *an* Puella?) his verbis:

— A. *Rure educatus,*
obſonium marinum non aliud hic comedit; [ſive, *ego comedo;*]

a πλὴν [1] τῶν παρὰ γῆν· γόγγρον τιν', ἢ νάρκην
τιν', ἢ
θύννης τὰ πρὸς τῇ — Β. Ποῖα; [2] Α. Τὰ κάτω-
θεν λέγω,
Β. Τούτους φάγοις ἄν. Α. Τοὺς γὰρ ἄλλους νε-
νόμικα
ἀνθρωποφάγους ἰχθῦς. Β. Τὸ δ' ἵνα ἐσθίεις [3]
τουτὶ κακὸν ὦτα πλοῖα Κωπαΐδας λέγεις, [4]
ἀγρίως γε. παρὰ λίμνην γὰρ γεωργῶν τυγχάνω.
τὰ δ' ἐγχέλεια [5] γράφομαι λειποταξίου·
κομιδῇ γὰρ οὐκ ἦν οὐδαμοῦ. —

Τούτων τῶν ἰαμβείων ἔνιά ἐστιν εὑρεῖν καὶ ἐν Ἀκε-
b στρίᾳ, καὶ ἐν Ἀγροίκῳ ἢ Βουταλίωνι. Ἱππώναξ δὲ,
ὡς Λυσανίας ἐν τοῖς Περὶ Ἰαμβοποιῶν παρατίθεται,
φησίν·

1 πλὴν edd. cum ms. *A.* 2 πρὸς τῇ ποίᾳ τὰ edd. 3 δ' ἐσθίῃς ms. *A.* Forſ. Τὸ δεῖνα δ' ἐσθίεις. 4 Forſ. ταυτὶ κακόνωτα; A. Ποῖα; Κωπαΐδας; B. λέγεις. (Aut B. Κωπαΐδας λέγω.) Deinde, A. Ἀγρίως γε. 5 ἐγχέλια vulgo.

niſi quod prope terram: congrum aliquem, aut torpedinem quampiam, aut
thynnidis quae ad - B. *Quaenam?* A. *Inferiora dico.*
B. *Hos comedas licet.* A. *Alios enim ſtatui*
homicidas eſſe piſces. B. *At iſtud- ne comedis?*
iſta foedis dorſis? A. *Qualia?* B. *Copaidas dico.*
A. *Ruſtice admodum.* [Has utique comedo, ſi ita contingit:] *nam prope paludem agrum colo:*
ſed anguillas accuſo quod ſtationem deſeruerint;
oppido enim nusquam (iampridem) *repertae ſunt.*

Horum iamborum nonnulli etiam reperiuntur & in Aceſtria, [*i. e.* Medicatrice,] & in Ruſtico ſive Butalione. Hipponax vero, cuius verſiculos Lyſanias citavit in his quae de Poëtis Iambicis ſcripſit, ait:

Ὁ μὲν γὰρ αὐτῶν ἡσυχῇ τε καὶ ῥύδην,
θύνναν τε καὶ μυττωτὸν ἡμέρας πάσας
δαινύμενος, ὥσπερ Λαμψακηνὸς εὐνοῦχος,
κατέφαγε δὴ τὸν κλῆρον· [1] ὥστε χρὴ σκάπτειν
πέτρας τ' ὀρείας, [2] σῦκα μέτρια τρώγων,
καὶ κρίθινον κόλλικα, δούλιον χόρτον.

Μνημονεύει δὲ τῶν θυννίδων καὶ Στράττις ἐν Καλλιπίδῃ.

LXVIII. HIPPURUS. Ἵππουροι. Ἀριστοτέλης ἐν πέμπτῳ [3] Ζώων c Μορίων· [4] „τοὺς ἱππούρους, φησὶν, ὠὰ τίκτειν, καὶ ταῦτα ἐξ ἐλαχίστων μέγιστα γίνεσθαι, ὡς καὶ τὰ τῆς σμυραίνης· [5] τίκτειν δ' ἔαρος.“ Δωρίων δ' ἐν τῷ Περὶ Ἰχθύων, κορύφαιναν καλεῖσθαι, φησὶ, τὸν ἵππουρον. Ἱκέσιος δ' ἱππουρεῖς αὐτοὺς προσαγορεύει. μνημονεύει δὲ αὐτῶν Ἐπίχαρμος ἐν Ἥβας γάμῳ·

Κὠξύρυγχοι ῥαφίδες ἵππουροί τε καὶ χρυσόφρυες.

1 Vulgo τὸν σκληρόν. 2 An πέτρας ὀρεινάς? 3 δευτέρῳ ed. Ven. cum msstis. 4 Deest Μορίων edd. 5 μυραίνης edd.

Alter enim illorum & ſenſim & effuſe,
thynnam & myttoton quotidie
epulans, ſicut Lampſacenus eunuchus,
abligurivit patrimonium: ut nunc coactus ſit fodere
ſaxa in montibus, modicum rodens ficorum demenſum,
& hordaceum panicellum, ſervile pabulum.

Meminit thynnidum etiam Strattis, in Callippide.

68. HIPPURI. Ariſtoteles, quinto libro DE Partibus Animalium, ſcribit » ova parere hippuros, quae ex parvis maxima fiant, ſicut & muraenae ova: parere autem vere.« Dorion vero, in libro DE Piſcibus, hippurum ſcribit vocari etiam *coryphaenam*. Hiceſius autem *hippureas* vocat. Meminit eorum Epicharmus in Hebes Nuptiis:

Et acutis roſtris acus, & hippuri, & chryſophryes.

Νουμήνιος δ', ἐν Ἁλιευτικῷ, τὴν Φύσιν τοῦ ἰχθύος
d διηγούμενος, συνεχές Φησιν αὐτον ἐξάλλεσθαι, διὸ
καὶ ἀρνευτὴν ὀνομάζεσθαι.[1] λέγει δὲ οὕτως περὶ αὐτοῦ·

Ἢ μέγαν συνόδοντα, ἢ ἀρνευτὴν ἵππουρον.

Ἀρχέστρατος δὲ Φησίν·

Ἵππουρος δὲ Καρύστιος ἐστὶν ἄριστος·

ἄλλως τ' εὔοψον σφόδρα χωρίον ἐστὶ Κάρυστος.

Ἐπαίνετος δ',[2] ἐν Ὀψαρτυτικοῖς, κορύφαιναν αὐτόν
Φησιν ὀνομάζεσθαι.

e Ἵππος. Μήποτε τούτους ἱππίδια καλεῖ Ἐπίχαρμος, ὅταν λέγῃ· LXIX. Equus, piscis.

— — Κοράκινοι δὲ κορακοειδεές[3]

πίονες, ἱππίδια[4] λεῖα ψύχει,[5] ἀπαλοκουρίδες.

Νουμήνιος δ' ἐν Ἁλιευτικῷ·

1 ὀνομάζεσθαι malim cum Caſ. καλεῖ ms. *Ep.* 2 Καὶ Ἐπαίνετος δὲ malim. 3 Vulgo h. l. Κοράκινον δὲ κορακοειδεῖς. 4 λιππίδια Ms. 5 ἱππίδια λεῖα, ψῆτται, ἀπαλ. Dalec. An ἱππίδια, λειοτριχίαι (vel λειοτριχίδες) ἀπαλ.? An ἱππίδια λεῖα, φῦκαι, ἀπαλοκουρίδες?

Numenius vero, in Halieutico, naturam declarans hippuri, ait, continue eum exſilire, eoque *ſaltatorem* (ἀρνευτὴν) vocari. Eius de hoc piſce haec verba ſunt:

Aut magnum ſynodontem, aut ſaltatorem hippurum.

Archeſtratus vero ait:

Hippurus vero optimus Caryſtius eſt:
& alioquin exquiſito obſonio abundat Caryſtus.

Epaenetus etiam, in Opſartyticis (*id eſt*, in Arte Coquinaria,) *coryphaenam* dictum fuiſſe hunc piſcem tradit.

69. Hippus, (id eſt, Equus.) Hi ſunt fortaſſe quos *equuleos* (*hippidia*) Epicharmus vocat, cum ait:

Coracini vero, corvorum [ſive, *pupillarum*] *colore,*
pingues, equulei laevibus pilis, molles ſquillulae.

Numenius vero, in Halieutico:

Ἢ σκάρον, ἢ κῶθον τροφίην καὶ [1] ἀναιδέα λίην, [2]
χάννους τ', ἐγχελιάς τε, [3] καὶ ἐννυχίην πίτυνον, [4]
ἢ μύας, ἢ ἵππους, ἢ γλαύκην κορύδυλιν. [5]

Μνημονεύει αὐτοῦ καὶ [6] Ἀντίμαχος [7] ὁ Κολοφώνιος ἐν τῇ Θηβαΐδι, λέγων οὕτως·

Ἢ ὕκκην, ἢ ἵππον, ἢ ὃν κίχλην καλέουσιν. f

LXX. Iulides.

Ἰουλίδες. Περὶ τούτων Δωρίων ἐν τῷ Περὶ Ἰχθύων φησίν· „Ἰουλίδας ἕψειν μὲν ἐν ἅλμῃ, ὀπτᾶν δὲ ἐπὶ τηγάνου.“ Νουμήνιος δέ·

Κεῖνο δὲ δὴ σκέπτοιο, τό κεν καὶ ἰουλίδα μάργον
πολλὸν ἀποτρωπῷτο, καὶ ἰσβόρον [8] σκολόπενδρον. [9]

Ἰούλους δ' αὐτὸς [10] ὀνομάζει τὰ ἔντερα τῆς γῆς, διὰ τούτων·

1 ἢ vulgo h. l. pro καὶ. 2 λείην vulgo. 3 χαύνους τιτάνας ἐγχελιάς τε edd. h. l. χάννους τ' τιτᾶνας ἐγχελιάς τε Ms. h. l. Sed alibi χάννους τε πελιάς τε edd. & Ms. 4 πίτινον alibi apud Noſtrum. πιτύϊνον ſaltem malis cum Gesn. ἐρίτιμον coni. Caſaub. 5 κορύδυλιν edd. 6 Deeſt καὶ edd. 7 Ἀντιφάνης vulgo. 8 ἰοβόλον ms. *Ep.* inter lineas. 9 σκολόπενδραν ms. *Ep.* 10 Forſ. δ' ὁ αὐτὸς ἐνεμ.

Aut ſcarum, aut cothum altilem & inſolentem admodum; & channos, & anguillas, & noctiurnum pitynum; [ſive, *eritimum;*]

aut mures piſces, aut equos, aut glaucam corydylin.

Meminit eiusdem Antimachus Colophonius, in Thebaide, his verbis:

Aut hyccam, aut equum, aut quem turdum appellant

70. Iulides. De his Dorion, libro de Piſcibus, ſcribit: »Iulides elixare oportet in muria, & frigere in ſartagine.« Numenius vero:

Iſtud igitur circumſpice (pharmacum,) *quod & iulidem avertat voracem admodum, & veneno-nutritam* [ſive, *venenum iaculantem*] *ſcolopendram.*

Iulos vero idem nominat inteſtina terrae, [*id eſt*, lumbricos,] cum ait:

a Καὶ δὲ σύ γε μνήσαιο δελείατος, ὅττι παρ᾽ ἄκρα [1]
δῆεις αἰγιαλοῖο γεώλοφα· [2] τοὶ μὲν ἴουλοι
κέκληνται, μέλανες, γαιηφάγοι, ἔντερα γαίης.
ἦε καὶ ἕρπηλας [3] δολιχήποδας, ὁππότε πέτραι
ἀμμώδεις κλύζονται ἐπ᾽ ἄκρῃ κύματος ἀγῇ·
ἔνθεν ὀρύξασθαι, θέμεναί τ᾽ εἰς ἄγγος ἀολλεῖς.

LXXI. TURDUS & MERULA pisces.

Κίχλαι, καὶ Κόσσυφοι. διὰ τοῦ η Ἀτ-
b τικοὶ κίχλην λέγουσι. καὶ ὁ λόγος οὕτως ἔχει. τὰ γὰρ εἰς λᾱ λήγοντα θηλυκὰ, πρὸ τοῦ λ̄ ἕτερον λ̄ ἔχει· Σκύλλα, σκίλλα, κόλλα, βδέλλα, ἄμιλλα, ἄμαλλα. τὰ δὲ εἰς λῆ, οὐκ ἔτι. ὁμίχλη, φύτλη, γενέθλη, αἴγλη, τρώγλη. ὁμοίως οὖν καὶ τρίγλη. Κρατῖνος·

Τρίγλη [4] δ᾽ εἰ μὲν ἐδηδόκοι ἢ τένθου τινὸς ἀνδρός.

1 ἄκρας vulgo. 2 γεωλόφους ms. *Ep.* 3 ἕρπινας ms. *Ep.* Forſ. ἑρπύλλας. 4 Τρίγλην legebam, & ἦ (vel ἢ) interrogative. Sed Κίχλην δ᾽ εἰ malebam.

Porro tu memento eſcae, quam in ſummis
reperies litoris collibus: qui iuli
vocantur, nigri, terrá veſcentes, inteſtina terrae.
Aut ſerpulae [ſive, *cicadae*] *longipedes, quum rupes*
arenoſae proluuntur ſumma fluctuum adliſione,
inde effodiendae ſunt, confertimque in vaſe reponendae.

71. TURDI, Κίχλαι: & MERULAE, Κόσσυφοι. *Turdum* κίχλην dicunt Attici, per η vocalem in fine. Et ſic poſtulat analogia. Nam quae in λα deſinunt foeminina, ea ante literam λ aliam λ habent: ut Σκύλλα, (*Scylla*) σκίλλα, (*ſquilla*) κόλλα, (*gluten*) βδέλλα, (*hirudo*) ἄμιλλα, (*certamen*) ἄμαλλα. (*manipulus.*) Quae vero in λη deſinunt, eae non item. Sic dicunt ὁμίχλη, (*nebula*) φύτλη, (*generatio, ortus*) γενέθλη, (*progenies*) αἴγλη, (*ſplendor*) τρώγλη. (*caverna.*) Similiter igitur etiam τρίγλη: (*mullus:*) [& κίχλη.] Cratinus:

Mullum vero [ſive, *Turdum vero*] *ſi comediſſet, an catillonis cuiusdam* (hoc foret indicium?)

Διοκλῆς δ' ἐν πρώτῳ Ὑγιεινῶν· „Οἱ δὲ πετραῖοι, φησὶ, καλούμενοι, μαλακόσαρκοι· κόσσυφοι, κίχλαι, πέρκαι, κωβιοὶ, φυκίδες, ἀλφηστικός.“ Νουμήνιος δ' ἐν Ἁλιευτικῷ·

Γλαύκου ἢ ὀρφῶ [1] ἔναλον γένος, ἢε μελάγχρων c
κόσσυφον, ἢ κίχλας ἁλιειδέας. [2] —

Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ·

Βαμβραδόνες τε, [3] κίχλαι τε, καὶ λαγοὶ, δράκοντές τ' ἄλκιμοι.

Ἀριστοτέλης δ', ἐν τῷ Περὶ Ζῴων· „Καὶ τὰ μὲν μελανόστικτα, ὥσπερ κόσσυφος· τὰ δὲ ποικιλόστικτα, ὥσπερ κίχλη.“ Παγκράτης δὲ ὁ Ἀρκὰς, ἐν Ἔργοις Θαλαττίοις, τὴν κίχλην πολλοῖς ὀνόμασί φησι καλεῖσθαι·

Οἷς ἤδη κίχλην οἰνώδεα, τὴν καλαμῆες
σαυρὸν κικλήσκουσι καὶ αἰολίην· ὀρφίσκον, d

1 Alibi apud Noſtrum, Γλαύκους, ἢ ὀρφᾶν ἔναλον γεν. 2 ἁλιδινέας legendum putavi. 3 βαμβαδόνες ed. Ven. & Baſ. βαβραδόνες ed. Caſ. τε poſt iſtam vocem rectius eiicietur.

Diocles, primo Salubrium: »Qui ſaxatiles, inquit, vocantur, tenera ſunt carne: merulae, turdi, percae, gobii, phycides, alphesticus.« Numenius vero, in Halieutico:

Glauci aut orphi marinum genus, aut nigricantem merulam, aut turdos in mari verſantes.

Epicharmus, in Hebes Nuptiis:

Bambradones, turdique, & lepores, draconesque fortes.

Ariſtoteles in libro de Animantibus: »Et alia quidem nigris maculis notata ſunt, ut merula: alia variis maculis, ut turdus.« Pancrates vero Arcas, in Operibus Marinis, turdum pluribus ait adpellari nominibus:

His adde turdum vinoſum, [rubentem?] *quem piſcatores ſaurum* (lacertum) *vocant, & variegatum: orphiſcum,*

πιότατον κεφαλῇ. —

Νίκανδρος δ' ἐν τετάρτῳ Ἑτεροιουμένων, φησὶν,

Ἢ σκάρον ἢ κίχλην πολυώνυμον.

LXXII. APER piscis: & CREMYS.

ΚΑΠΡΟΣ, καὶ ΚΡΕΜΥΣ. Ἀριστοτέλης, ἐν τῷ Περὶ Ζώων, φησί· „Τὰ δὲ, ἀνόδοντα [1] καὶ λεῖα, ὡς ῥαφίς. καὶ τὰ μὲν, λιθοκέφαλα, [2] ὡς κρέμυς· τὰ δὲ, σκληρότατα, τραχύδερμα, ὡς κάπρος. καὶ τὰ μὲν, δίραβδα, ὥσπερ σεσερῖνος· τὰ δὲ, πολύῤῥαβδα καὶ ἐρυθρόγραμμα, ὡς σάλπη." Τοῦ δὲ κάπρου μνημονεύει καὶ Δωρίων καὶ Ἐπαίνετος. Ἀρχέστρατος δὲ φησίν·

Αὐτὰρ ἐς Ἀμβρακίαν ἐλθὼν εὐδαίμονα χώραν,
τὸν κάπρον γ' ἂν ἐσίδῃς, ὠνοῦ, καὶ μὴ κατάλειπε,
κἂν ἰσόχρυσος ἔῃ· μή σοι νέμεσις καταπνεύσῃ
δεινὴ ἀπ' ἀθανάτων. τὸ γάρ ἐστιν νέκταρος ἄνθος.

1 Vulgo sic edebatur: φησὶ τάδε. ἀνόδοντα &c. 2 λειοκέφαλα ms. *Ep.*

pinguissimum in capite.

Nicander vero, quarto libro Transformatorum, ait:

Aut scarum aut turdum multis nominibus adpellatum.

[sive, *nobilem.*]

72. APER, & CREMYS. Aristoteles, in libro de Animalibus, scribit: »Alii vero (pisces) carent dentibus & laeves sunt, ut acus: alii lapidem in capite habent, ut cremys: alii durissimi sunt & aspera cute, ut aper. Rursus alii duabus lineis distincti, ut seserinus; alii multis lineis eisque rubris distincti, ut salpa.« Apri mentionem etiam faciunt Dorion & Epaenetus. Archestratus autem ait:

Sed Ambraciae cum veneris beatam in regionem,
aprum si conspexeris, eme, nec relinque,
etiamsi auro contra veneat: ne in te vindicta ingruat
dira ab immortalibus. Est enim nectaris hic flos.

Τούτου δ' οὐ θέμις ἐστὶ φαγεῖν θνητοῖσιν ἅπασιν,
οὐδ' ἐσιδεῖν ὄσσοισιν, ὅσοι μὴ πλεκτὸν ὕφασμα f
σχοίνου ἐλειοτρόφου κοῖλον [1] χείρεσσιν ἔχοντες,
εἰώθασι δονεῖν ψήφους αἰθωνι λογισμῷ.
Ἄρθρων μηλείων ἐπὶ γῆν δωρήματα βάλλειν. [2]

LXXIII. CITHARUS.

ΚΙΘΑΡΟΣ. Ἀριστοτέλης ἐν τῷ Περὶ Ζώων ἢ Περὶ Ἰχθύων· „Ὁ κίθαρος, φησὶ, καρχαρόδους, μονήρης, φυκοφάγος, τὴν γλῶτταν ἀπολελυμένος, καρδίαν λευκὴν ἔχων καὶ πλατεῖαν." Φερεκράτης, Δουλοδιδασκάλῳ·

Κίθαρος γεγενῆσθαι κ' ἀγοράζειν κίθαρος ὤν. [3] a
ὡς ἀγαθόν γε ὁ κίθαρος· καὶ πρὸς Ἀπόλλωνος
πάνυ ἐκεῖνο θράττει μ', ὅτι λέγουσιν, ὦ ἀγαθή· [4]
Ἔνεστιν ἐν κιθάρῳ τι κακόν.

1 κοίλου vulgo omnes. 2 βάλλων edd. cum ms. *A*. 3 Corrupta Graeca verba in versus utcumque distribui, caeterum in tota ecloga nil mutavi. Interpretatus sum vero ex Dalecampii maxime coniectura. 4 ἀγαθὴ ms. *A*.

Sed de hoc comedere non omnibus licet mortalibus,
& ne oculis quidem adspicere: nisi qui textam telam
ex sparto paludum alumno capacem manibus tenentes,
consueverunt movere calculos agili supputatione.
Artuum ovinorum dona [cum isto cibo collata] *in terram proiicienda sunt.*

73. CITHARUS. Aristoteles, libro de Animantibus vel Piscibus, ait; »Citharus serratis dentibus est, solitarius, algâ vescitur, linguam habet solutam, cor album & latum.« Pherecrates in Dulodidascalo: [*id est*, Servopraeceptore:]

Bonus piscis est citharus: hunc eme!
Bonus utique citharus: sed, per Apollinem,
illud admodum me conturbat, quod aiunt, o bona:
Inest etiam in citharo mali quidpiam.

Ἐπίχαρμος, Ἥβας γάμῳ·

Ἦς [1] δ' ὑαινίδες τε βούγλωσσοί τε καὶ κίθαρος ἐνῆς.

Ὅτι δὲ διὰ τὸ ὄνομα ἱερὸς εἶναι νενόμισται τοῦ Ἀπόλλωνος, εἴρηκεν Ἀπολλόδωρος. Καλλίας δὲ, ἢ Διοκλῆς, Κύκλωψι· [2]

Κίθαρος ὀπτὸς, καὶ βάτις, θύννου τὸ [3] κεφάλαιον τοδί.

Ὁ δὲ Ἀρχέστρατος ἐν τῇ Ὑδυπαθείᾳ·

b — Κίθαρον δὲ κελεύω,

[εὐθὺς] [4] ἐὰν μὲν λευκὸς ἔῃ, στερεός τε πεφύκῃ, ἕψειν, εἰς ἅλμην καθαρὰν βαιὰ φύλλα καθέντα· ἂν δ' ᾖ πυῤῥὸς ἰδεῖν, καὶ μὴ λίαν μέγας, ὀπτᾶν ὀρθῇ κεντήσαντα δέμας νεοθήγι μαχαίρᾳ. καὶ πολλῷ τυρῷ καὶ ἐλαίῳ τοῦτον ἄλειφε· χαίρει γὰρ δαπανῶντας ὁρῶν, ἔστιν δ' ἀκόλαστος.

1 Vulgo ἥ, & deeſt vulgo h. l. τε poſt ὑαινίδες. 2 καὶ κύκλωψ ἢ κίθαρος edd. 3 Alibi θύννου τε. 4 Vox ex coniect. adiecta.

Epicharmus, in Hebes Nuptiis:

Erant & hyaenides & buglossi, & citharus aderat.

Esse autem hunc piscem, propter nomen suum, sacrum habitum Apollini, scripsit Apollodorus. Callias vero, aut Diocles, in Cyclopibus:

Citharus assus, & raia, & thynni caput hocce.

Archestratus vero, in Hedypathia, [*quasi dicas*, in Mollitie, *vel*, in Vita voluptaria:]

— *Citharum vero iubeo,*
statim, si albus fuerit & firmiore carne,
coqui in muria pura, cui folia nonnulla iniecta:
sin adspectu rufus, nec admodum magnus; assari iubeo,
postquam corpus compunxeris recto cultro recens exacuto.
Et multo hunc butyro & oleo inunge:
gaudet enim profusa impensa, & prodigus est.

LXXIV. CORDYLUS.

Κόρδυλος. Τοῦτον Ἀριστοτέλης φησὶν ἀμφίβιον εἶναι, καὶ τελευτᾶν ὑπὸ τοῦ ἡλίου αὐανθέντα. [1] c Νουμήνιος δὲ ἐν Ἁλιευτικῷ κούρυλον αὐτὸν καλεῖ·

Τοῖσί κεν ἁρμενα πάντα, παροπλίσσαιο δὲ μῦρα, [2]
κούρυλον ἢ πειρῆνα [3] ἢ εἰναλίην ἔρπιλλαν. [4]

Μέμνηται δὲ καὶ κορδυλίδος ἐν τούτοις·

Ἢ μύας ἢ ἵππους ἢε γλαύκην κορύδυλιν. [5]

LXXV. CAMMARI vel CAMMORI.

Καμμόροι. [6] Ἐπίχαρμος ἐν Ἥβας γάμῳ·

Ἔτι δ' ἐπὶ τούτοις [7] βῶκες, σμαρίδες, ἀφύαι,
κάμμοροι.

καὶ Σώφρων δ' ἐν Γυναικείοις μίμοις αὐτῶν μέμνηται. Ἔστι δὲ καρίδων γένος, καὶ ὑπὸ Ῥωμαίων οὕτως καλοῦνται. d

LXXVI. CARCHARIAS.

Καρχαρίαι. Νουμήνιος ὁ Ἡρακλεώτης, ἐν τῷ Ἁλιευτικῷ, φησίν·

1 ἀναθέντα edd. 2 μηρὰ interpretatus fum ex conieft. 3 ἢ σφύραιναν coni. Dalec. ἢ πηρῖνα coni. Geſn. 4 Forſ. ἔρπυλλαν. 5 κορύδαλιν edd. 6 Κάμμαροι alibi: & ſic edd. h. l. & mox iterum. 7 Rectius alibi, ἔτι δὲ ποττούτοισι.

74. CORDYLUS. Hunc Ariſtoteles ait amphibium eſſe, & mori exſiccatum a ſole. Numenius vero, in Halieutico, *curylum* eumdem adpellat:

His omnia apta: ſed armis nudaveris femora
curyli aut pirenis aut marinae ſerpulae. [ſive, *cicadae.*]

Meminit etiam cordylidis, ubi ait:

Aut mures (piſces,) aut equos, aut glaucam corydylin.

75. CAMMORI. [vel CAMMARI.] Epicharmus, in Hebes Nuptiis:

Ad haec inſuper boces, ſmarides, apuae, cammori.

Meminit eorumdem & Sophron in Mimis Muliebribus. Eſt autem ſquillarum genus, & a Romanis ſic nominatur.

76. CARCHARIAE. Numenius Heracleota, in Halieutico, ait:

Ἄλλοτε [1] καρχαρίην, ὁτὲ δὲ ῥόθιον ψαμαθῖδα.
Σώφρων, Θυννοθήρᾳ· „Ἃ δὲ γαστὴρ [2] ὑμέων καρχαρίας ὄκα τινὸς δῆσθε.“ [3] Νίκανδρος ὁ Κολοφώνιος ἐν ταῖς γλώσσαις τὸν καρχαρίαν καλεῖσθαί φησι καὶ λαμίαν καὶ σκύλλαν.

LXXVII. MUGIL.

Κεστρεύς. Ἱκέσιος φησί· „Τῶν δὲ καλου-
e μένων λευκίσκων πλέονά ἐστιν εἴδη. λέγονται γὰρ οἱ μὲν κέφαλοι, οἱ δὲ κεστρεῖς, ἄλλοι δὲ χελλῶνες, [4] οἱ δὲ μυξῖνοι. [5] ἄριστοι δ' εἰσὶν οἱ κέφαλοι, καὶ πρὸς τὴν γεῦσιν, καὶ πρὸς τὴν εὐχυλίαν. δεύτεροι δ' εἰσὶ τούτων οἱ λεγόμενοι κεστρεῖς· ἥσσονες δ' οἱ μυξῖνοι· καταδεέστεροι δὲ πάντων οἱ χελλῶνες, οἱ λεγόμενοι βάκχοι. εὔχυλοι δ' εἰσὶ σφόδρα, καὶ οὐ πολύτροφοι, καὶ εὐέκκριτοι.“ Δωρίων δ', ἐν τῷ Περὶ Ἰχθύων, τῶν κεστρέων τὸν μὲν θαλάττιον ἐκτίθεται, τὸν δὲ

1 Ἀλλ' ὅτε vulgo h. l. & dein ὅτε δὲ. 2 Θυννοθήρᾳ δὲ γαστὴρ edd. 3 δῆσθε legebam cum Casaub. 4 χελλῶνες edd. & sic deinde. χειλῶνες passim apud Aristot. 5 μύξινοι edd. & sic deinde.

Sed aliás carchariam, aliás versantem in fluctibus psamathidem. [forſ. *porcum.*]

Sophron, in Thynnorum-venatore: »Venter vero vestrûm carcharias si quem voravit.« Nicander Colophonius, in Glossis, *carchariam*, ait, etiam *lamiam*, nominari, & *scyllam*.

77. MUGIL. Hicesius scribit: »Eorum qui leuciſci vocantur, plura sunt genera. Dicuntur enim alii *cephali*, alii *mugiles*, (κεστρεῖς,) alii *chellones*, alii *myxini*. Optimi vero sunt cephali, cum sapore, tum quod bonum prae caeteris succum gignunt: his proximi sunt qui mugiles dicuntur: post hos myxini: postremi omnium chellones, qui & *bacchi* vocantur. Sunt autem (omnes) boni succi, non nimis nutrientes, excretu faciles.« Dorion vero, libro DE PISCIBUS, marinum exponit mugi-

ποτάμιον οὐ δοκιμάζει. εἶδη δὲ τοῦ θαλαττίου, κέφαλον καὶ νῆστιν. τὸν δὲ κατὰ τῆς κεφαλῆς τοῦ νεστρέως f ἔχῖον, σφόνδυλον ὀνομάζει. „διαφέρειν τε, φησὶ, κεφάλου κεφαλῖνον, ὃν καὶ βλεψίαν καλεῖσθαι.“ Ἀριστοτέλης δὲ ἐν πέμπτῳ Μορίων· [1] „Ἄρχονται δὲ, φησὶ, κύειν τῶν νεστρέων οἱ μὲν χελλῶνες Ποσειδεῶνος μηνὸς, καὶ ὁ σάργος, καὶ ὁ μύξος καλούμενος, καὶ ὁ κέφαλος. κύουσι δὲ τριάκοντα ἡμέρας. [2] Ἔνιοι δὲ τῶν νεστρέων οὐ γίνονται ἐκ συνδυασμοῦ, ἀλλὰ φύονται ἐκ τῆς ἰλύος, καὶ τῆς ἄμμου.“ Ἐν δὲ ἄλλοις a φησὶν ὁ [3] Ἀριστοτέλης· „Ὁ νεστρεὺς, καρχαρόδους ὢν, οὐκ ἀλληλοφαγεῖ, ὥστε δὴ οὐδ' ὅλως σαρκοφαγῶν. ἔστι δὲ ὁ μέν τις κέφαλος, ὁ δὲ χελλὼν, ὁ δὲ φεραῖος. [4] καὶ ὁ μὲν χελλὼν πρὸς τῇ γῇ νέμεται, ὁ δὲ φεραῖος οὔ. καὶ τροφῇ χρῆται, ὁ μὲν φεραῖος τῇ

1 ἐν πέμπτῳ περὶ Ζώων Μορίων edd. 2 ἡμερῶν ed. Ven. cum msstis. 3 Deest artic. edd. 4 πιραίας apud Aristot.

lem, fluviatilem autem non probat. Species autem marini duas nominat, cephalum & *neſtin*. Echinum vero, qui eſt in capite mugilis, verticillum nominat. »Et differre, ait, a cephalo *cephalinum*, quem & *blepſiam* ait nominari.« Ariſtoteles vero, quinto De Partibus, ſcribit: »Incipiunt autem in utero geſtare ii ex mugilibus qui chellones vocantur, menſe Poſideone, (Decembre;) tum ſargus, & qui myxus vocatur, & cephalus. Gerunt autem triginta dies. Nonnulli vero ex mugilibus non oriuntur ex coitu, ſed naſcuntur ex limo & arena.« Alibi vero ſcribit idem Ariſtoteles: »Mugil, licet dentes habeat ſerratos, alios non vorat piſces; quippe ne carne quidem omnino veſcitur. Eſt autem alius cephalus, alius chellon, [*ſive*, cheilon,] alius pheraeus. [*ſive*, peraeus.] Et chellon quidem prope terram paſcitur, pheraeus vero non item. Et alimento utitur pheraeus

ἀΦ' αὑτοῦ γενομένη μύξη, [1] ὁ δὲ χελλὼν ἄμμῳ καὶ ἰλύϊ. Λέγεται δὲ καὶ ὅτι τὸν γόνον τῶν κεστρέων οὐδὲν τῶν θηρίων κατεσθίει, ἐπεὶ οἱ κεστρεῖς οὐδένα τῶν ἰχθύων." Εὐθύδημος δὲ ὁ Ἀθηναῖος, ἐν τῷ Περὶ Ταb ρίχων· „Εἴδη κεστρέων εἶναι σΦηνέα καὶ δακτυλέα. καὶ κεΦάλους μὲν λέγεσθαι, διὰ τὸ βαρυτέραν τὴν κεΦαλὴν ἔχειν· σΦηνέας [2] δὲ, ὅτι λαγαροὶ καὶ τετράγωνοι. τὰ δὲ τῶν δακτυλέων [3] τὸ πλάτος ἔχει ἔλασσον τῶν δυεῖν δακτύλων." Θαυμαστοὶ δ' εἰσὶ τῶν κεστρέων οἱ περὶ Ἄβδηρα ἁλισκόμενοι, ὡς καὶ Ἀρχέστρατος εἴρηκε. δεύτεροι δὲ οἱ ἐκ Σινώπης.

LXXVIII. Varia de Mugile.

Καλοῦνται δὲ οἱ κεστρεῖς ὑπό τινων πλῶτες, ὥς Φησι Πολέμων ἐν τῷ Περὶ τῶν ἐν Σικελίᾳ Ποταμῶν. καὶ Ἐπίχαρμος δ' ἐν Μούσαις οὕτως αὐτοὺς ὀνομάζει·

Αἰολίαι, πλῶτές τε, [4] κυνόγλωσσοί τ'· ἐνῆν δὲ σκιαθίδες.

c

1 τῇ ἀπ' αὐτοῦ γινομένη μύξα edd. 2 σφῆνας edd. 3 διδακτυλέων edd. Sed ne nunc quidem perſanatus locus. 4 Abeſt τε edd. h. l.

quidem, muco qui ex ipſo exit: chellon vero arenâ & coeno. Dicunt etiam, foetum mugilum a nullo alio piſcium genere vorari, quia nec ipſi aliis piſcibus veſcuntur.« Euthydemus vero Athenienſis, libro de Salſamentis, ſcribit: » *Mugilum* ſpecies eſſe *ſpheneum*, (quaſi *cuneiformem*,) & *dactyleum*. (digitalem.) Dici autem eos *cephalos*, quod gravius habeant caput: *ſpheneos* vero, quia quadrati ſunt in tenue exeuntes: *Dactyleis* vero latitudo minor eſt duobus digitis.« Laudantur autem mugiles prae caeteris hi qui circa Abderam capiuntur, quemadmodum & Archeſtratus dixit: his proximi, Sinopenſes.

78. Nominantur autem mugiles a nonnullis *plotes*, ut ſcribit Polemon in libro de Fluminibus Siciliae. Sic vero etiam nominat eos Epicharmus in Muſis:

Aeoliae, plotesque, & cynogloſſi: aderant porro ſciathides.

Ἀριστοτέλης δὲ ἐν τῷ Περὶ Ζώων Ἠθῶν καὶ Βίων, φησὶν, ὅτι „ζῶσιν οἱ κεστρεῖς, κἂν ἀφαιρεθῶσι τὰς κέρκους. ἀπεσθίεται δὲ ὁ μὲν κεστρεὺς ὑπὸ λάβρακος· ὁ δὲ γόγγρος ὑπὸ μυραίνης.“ Ἡ δὲ λεγομένη παροιμία, Κεστρεὺς νηστεύει, ἐπὶ τῶν δικαιοπραγούντων ἀκούεται· ἐπειδὴ οὐ σαρκοφαγεῖ ὁ κεστρεύς. Ἀναξίλας [1] ἐν Μονοτρόπῳ, Μάτωνα [2] τὸν σοφιστὴν ἐπὶ γαστριμαργίᾳ διαβάλλων, φησί·

Τοῦ κεστρέως κατεδήδοκεν τὸ κρανίον
ἀναρπάσας Μάτων· ἐγὼ δ' ἀπόλλυμαι.

Ὁ δὲ καλὸς Ἀρχέστρατος φησίν· d

Κεστρέα δ' Αἰγίνης ἐξ ἀμφιρύτης ἀγόραζε,
ἀνδράσι τ' ἀστείοισιν ὁμιλήσεις. —

Διοκλῆς, Θαλάττῃ·

Ἅλλεται δ' ὑφ' ἡδονῆς κεστρεύς.

1 Ἀναξίλας δ' ἐν malebam. 2 Μάτρωνα & dein Μάτρων corrigit Casaub.

Aristoteles vero, in libro de Animantium Moribus & Vitae ratione, scribit: »Vivere mugiles, etiamsi sint caudâ mutilati. Adroditur autem mugil a lupo; conger vero a muraena.« Quod in proverbio dicitur, *Mugil ieiunat*, in homines dicitur innocentes & iniuriâ abstinentes: quia carne non vescitur mugil. Anaxilas, in Monotropo, (*seu*, Morosо,) Matonem [*sive*, Matronem] Sophistam gulae insimulans, ait:

Mugilis caput raptum devoravit
Mato: ego vero pereo.

Elegans vero Archestratus scribit:

Mugilem ex Aegina circumflua eme,
& versaberis cum festivis politisque hominibus.

Diocles, in Mari fabulâ:

Exsultat prae voluptate mugil.

Ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις, Ἄρχιππος Ἡρακλεῖ γαμοῦντι φησί· LXXIX. Ceſtreus neſtis.

Νήστεις κεστρέας, κεφάλους.

Ἀντιφάνης, Λάμπωνι·

Κεστρεῖς ἔχων ἄλλους στρατιώτας τυγχάνεις
νήστεις. —

Ἀλεξις, Φρυγί·

Ἐγὼ δὲ κεστρεὺς νῆστις οἰκαδ' ἀποτρέχω.

Ἀμειψίας, Ἀποκοτταβίζουσιν·

e Α. Ἐγὼ δὲ ἰδὼν [1] πειράσομαι
εἰς τὴν ἀγορὰν ἔργον λαβεῖν. Β. Ἥττόν γ' ἂν οὖν,
νῆστις καθάπερ κεστρεὺς, ἀκολουθήσεις ἐμοί.

Εὔφρων, Αἰσχρᾷ· [2]

Μίδας δὲ κεστρεύς ἐστι· νῆστις περιπατεῖ.

Φιλήμων, Συναποθνήσκουσιν·

Ἠγόρασα νῆστιν κεστρὲ ὀπτὸν οὐ μέγαν.

1 Forſ. Ἐγὼ δ' ἰὼν πειρ. 2 Vulgo, Εὔφρων αἰσχραμίδας δέ.

79. Eſſe vero *Neſtias* ſpeciem mugilum, Archippus in Hercule uxorem ducente dicit:

Neſtias mugiles, cephalos.

Antiphanes, in Lampone:

Caeteri quos habes milites, mugiles ſunt
neſties. [ieiuni, famelici.]

Alexis, in Phryge:

Ego mugil neſtis [ieiunus] *domum propero.*

Ameipſias, in Cottabo-ludentibus:

A. *Ego vero pergens in forum, quaeram*
qui meam conducat operam. B. *Sic ſane deſines*
me velut mugil neſtis [famelicus] *ſectari.*

Euphron, in Aeſchra: [*i. e.* in Muliere-deformi:]

Midas mugil eſt: neſtis (ieiunus) *obambulat.*

Philemon, in Commorientibus:

Emi neſtin mugilem aſſum, non magnum.

Ἀριστοφάνης, Γηρυτάδῃ,

Ἆρ' ἔνδον ἀνδρῶν κεστρέων ἀποικία;
ὡς μὲν γάρ εἰσι νηστίδες [1] γιγνώσκετε. [2]

Ἀναξανδρίδης, Ὀδυσσεῖ·

— — τὰ πολλ' ἄδειπνος περιπατεῖ,
κεστρῖνός ἐστι νῆστις. —

Εὔβουλος, Ναυσικάᾳ·

Ὃς νῦν τετάρτην ἡμέραν βαπτίζεται,
νῆστιν [3] πονήρου [4] κεστρέως τρίβων βίον.

LXXX. Νηστεία, festus dies.

Τούτων ποτὲ λεχθέντων ἐπὶ τῷ καλῷ τούτῳ ὄψῳ, τῶν Κυνικῶν τις, ἐσπέριος ἐλθών, ἔφη· Ἄνδρες φίλοι, μὴ καὶ ἡμεῖς Νηστείαν ἄγομεν, Θεσμοφορίων [5] τὴν μέσην, ὅτι δίκην κεστρέων νηστεύομεν; ὡς γὰρ ὁ Δίφιλός φησιν ἐν Λημνίαις,

Οὗτοι δεδειπνήκασιν· ὁ δὲ τάλας ἐγὼ

1 νήστιδες ms. *Ep.* Quidni νήστιες? 2 γιγνώσκεται edd. 3 νῆστις ms. *Ep.* in contextu. 4 πονηροῦ vulgo. 5 Θεσμοφορείων edd. cum ms. *A.*

Ariſtophanes, in Gerytade:

Eſtne intus hominum mugilum colonia?
Nam neſtias (famelicos) *quidem eſſe videtis.*

Anaxandrides, in Ulyſſe:

— *Plerumque incoenatus obambulat;*
ceſtrinus eſt neſtis.

Eubulus, Nauſicaâ:

Qui nunc quartum in diem undis mergitur,
ieiunam miſeri mugilis terens vitam.

80. His tandem ita ſuper praeclaro hoc obſonio diſputatis, Cynicorum aliquis, qui veſperi advenerat, dixit: An & nos, viri amici, Ieiunium agimus, medium Theſmophoriorum diem? quandoquidem veluti mugiles ieiunamus. Nam, quod ait Diphilus in Lemniis:

Hi quidem coenarunt, at ego miſer

a κεστρεὺς ἂν εἴην, ἕνεκα νηστείας ἄκρας.
Ὑπολαβὼν δὲ Μυρτίλος·
Καὶ στῆτ' ἐφεξῆς, —
ἔφη, κατὰ τὸν Θεοπόμπου Ἡδυχάρην, [1]
— κεστρέων νῆστις χορὸς,
λαχάνοισιν, ὥσπερ χῆνες, ἐξενισμένοι.
Οὐ πρότερον γάρ τινος μεταλήψεσθε, ἕως ἂν ἢ ὑμεῖς ἢ ὁ συμμαθητὴς ὑμῶν Οὐλπιανὸς εἴπητε, διὰ τί νῆστις μόνος τῶν ἰχθύων ὁ κεστρεὺς καλεῖται. Καὶ ὁ Οὐλπιανὸς ἔφη, ὅτι οὐδὲν δέλεαρ ἐσθίει ἔμψυχον, καὶ ἀνελκυσθεὶς δὲ οὐ δελεάζεται οὔτε σαρκὶ, οὔτ' ἄλλῳ τινὶ ἐμψύχῳ, ὡς Ἀριστοτέλης ἱστορεῖ, Φάb σκων, ὅτι καὶ „μὴ [2] νῆστις ὢν φαῦλος ἐστίν." καὶ ὅτι „ἐὰν φοβηθῇ, κρύπτει τὴν κεφαλὴν, ὡς τὸ πᾶν κρύπτων σῶμα." Πλάτων τε ἐν Ἑορταῖς φησίν·

1 Forſan Ἡδύχαριν. 2 ὅτι καὶ νῆστις ἂν ed. Ven. & Baſ. cum mſstis. ὅτι μὴ νῆστις ἂν ed. Caſ. ex Ariſtot.

mugil fuero, extremum ob iciunium.
Cui reſpondens Myrtilus, ait:
At conſiſtite ordine, —
iuxta Theopompi Hedycharen, [*ſive*, Hedycharin; *i. e.* Suavem ac gratioſum:]
— o mugilum neſtium chore!
oleribus, ſicut anſeres, excipi ſoliti.
Nec enim prius accipietis horum quidquam, quam aut vos aut condiſcipulus veſter Ulpianus nobis dixerit, cur ſolus piſcium mugil *neſtis* (i. e. *iciunus*) dicatur. Reſponditque Ulpianus: Quoniam nullâ eſcâ veſcitur animatâ, capiturque nec carne allectus nec ulla eſca animata; ut docet Ariſtoteles; qui etiam ait »niſi ieiunus ſit, ignavum [*ſive, ut alii vertunt*, vilem in cibo] eſſe mugilem: & cum metuit, occultare caput, quaſi ſic totum corpus abdat.« Plato, in Feriis, ait:

— Ἐξιόντι μοι
ἁλιεὺς ἀπήντησεν, φέρων μοι κεστρέας·
ἰχθῦς ἀσίτους τοὺς [1] πονήρους ἦγε μοί.

Σὺ δέ μοι εἰπὲ, ὦ Θετταλὸν πάλαισμα Μυρτίλε, διότι [2] οἱ ἰχθύες ὑπὸ τῶν ποιητῶν ἔλλοπες καλοῦνται; Καὶ ὅς· Ἤτοι διὰ τὸ ἄφωνοι εἶναι. βούλονται γὰρ κατὰ τὴν ἀναλογίαν ἴλλοπές τινες εἶναι, διὰ τὸ εἴργεσθαι φωνῆς. ἔστι γὰρ τὸ μὲν ἴλλεσθαι, εἴργεσθαι· ἡ δὲ ὄψ, φωνή. [3] Καὶ γὰρ τοῦτ' ἀγνοεῖς, ἔλλοψ τὶς ὤν. ἐγὼ δὲ, κατὰ τὸν σοφὸν Ἐπίχαρμον, μηδὲν ἀποκριναμένου τοῦ κυνός·

τὰ πρὸ τοῦ δύ' ἄνδρες ἔλεγον, εἷς ἐγὼν ἀποχρέω·

καὶ φημί· ἔλλοπες, [4] διὰ τὸ εἶναι λεπιδωτοί. Λέξω δὲ, καὶ μὴ προβληθέντος, διὰ τί οἱ Πυθαγορικοὶ τῶν

1 καὶ τοὺς πονηροὺς vulgo. κ' οὐ πονηροὺς coni. Caſ. 2 διὰ τί edd. 3 Videri poſſit aliquid deeſſe, & ſic fere legendum: Καὶ ὁ Οὐλπιανός· Σὺ γὰρ τοῦτ' ἀγνοεῖς. 4 ἄλοπες ed. Ven. & Baſ. cum ms. *A.* λέοπες ms. *Ep.*

— *Exeunti mihi*
piſcator occurrit, ferens mihi ceſtreos:
impaſtos piſces attulit mihi miſeros illos.

At tu mihi dic, callide luctator Theſſalice, Myrtile, quid ſit quod piſces a poëtis *ellopes* adpellentur? Et ille: Nempe, quia voce carent. Significare enim videtur illud vocabulum id quod ex analogia ἴλλοπες dicendum erat, quia voce prohibentur. Valet enim ἴλλεσθαι, *prohiberi;* ὄψ vero, *vox.* At haec tu ignoras, *ellops* cum ipſe ſis. Ego vero, iuxta ſapientem Epicharmum, quum nihil reſponderit Canis hic,

ad id quod ante me duo viri dixere, unus ſufficio:

affirmoque, *ellopes* dici piſces, quia *ſquamis* tegantur. [*quae graece* λεπίδες & λοπίδες *dicuntur.*] Dicam vero etiam, quamvis non ſit propoſitum, cur *Pythagorei*, cum

μὲν ἄλλων ἐμψύχων μετρίως ἅπτονται, τινὰ δὲ καὶ θύοντες, ἰχθύων μόνων οὐ γεύονται τὸ παράπαν· ἢ διὰ τὴν ἐχεμυθίαν; Θεῖον γὰρ ἡγοῦνται τὴν σιωπήν. d Ἐπεὶ οὖν καὶ [1] ὑμεῖς, ὦ Μολοττικοὶ κύνες, πάντα μὲν σιωπᾶτε, πυθαγορίζετε δὲ οὐ, ἡμεῖς μὲν [2] ἄλλους [3] ἰχθυολογήσομεν. Pythagorei piſcibus non veſcuntur.

LXXXI. CORACINUS.

ΚΟΡΑΚΙΝΟΣ. „Οἱ μὲν θαλάττιοι, φησὶν Ἱκέσιος, ὀλιγότροφοι καὶ εὐέκκριτοι, εὐχυλίᾳ γε μέσοι.“ Ἀριστοτέλης δ' ἐν πέμπτῳ Ζώων Μορίων· „συμβαίνειν, φησὶ, σχεδὸν πᾶσι τοῖς ἰχθύσι ταχεῖαν γίνεσθαι τὴν αὔξησιν, οὐχ ἥκιστα δὲ κορακίνῳ. τίκτει δὲ πρὸς τῇ γῇ, καὶ τοῖς βρυώδεσι καὶ δασέσι.“ Σπεύσιππος δ', ἐν δευτέρῳ Ὁμοίων, ἐμφερεῖς φησιν εἶναι e μελάνουρον καὶ κορακῖνον. Νουμήνιος δ', ἐν Ἁλιευτικῷ, φησί·

Ῥηϊδίως ἕλκοιτο καὶ αἰολίην κορακῖνον.

1 Deeſt καὶ edd. 2 Deeſt μὲν ed. Caſ. 3 ἄλλως ms. *Ep.*

aliis animatis parce veſcantur, & quaedam etiam immolent, ſolos *piſces ne deguſtent quidem* omnino. Nempe nullam aliam ob cauſſam, niſi propter ſilentium: quia divinum quidpiam arbitrantur eſſe ſilentium. Quoniam igitur etiam vos, Moloſſici canes, omnino quidem ſiletis, caeterum autem Pythagorice non vivitis, nos ad reliquam de piſcibus disputationem transeamus.

81. CORACINUS. » Marini coracini, ait Hiceſius, parum nutriunt, & facile excernuntur; ſuccum vero gignunt mediocriter bonum.« Ariſtoteles, quinto DE Partibus Animalium, ſcribit: »omnes fere piſces hoc habere ut celeriter creſcant, maxime vero coracinum. Parit ille iuxta terram, in locis alga & muſco denſis.« Speuſippus, ſecundo libro Similium, ſimiles eſſe ait melanurum & coracinum. Numenius, in Halieutico, ſcribit:

Facile is traxerit etiam variegatum (αἰολίαν) *coracinum.*

Μή ποτε οὖν καὶ οἱ παρ' Ἐπιχάρμῳ αἰολίαι λεγόμενοι ἐν Μούσαις, κορακῖνοι εἰσίν; φησὶ γάρ·

Αἰολίαι πλῶτές τε κυνόγλωσσοί τε. —

Ἐν δὲ Ἥβας γάμῳ καὶ τῶν αἰολιῶν μνημονεύει ὡς διαφόρων·

[Ἧς] μύες,[1] ἀλφησταί τε, κορακῖνοί τε κοριοειδέες,[2] αἰολίαι, πλῶτές τε, κυνόγλωσσοί τε. —

Εὐθύδημος δ' ἐν τῷ Περὶ Ταρίχων, τὸν κορακῖνόν φησιν ὑπὸ πολλῶν σαπέρδην προσαγορεύεσθαι. ὁμοίως δ' εἴρηκε καὶ Ἡρακλέων ὁ Ἐφέσιος· ἔτι δὲ Φιλότιμος,[3] ἐν τῷ Ὀψαρτυτικῷ. ὅτι δὲ καὶ πλατίσταικος καλεῖται ὁ σαπέρδης, καθάπερ καὶ ὁ κορακῖνος, Παρμένων φησὶν ὁ Ῥόδιος ἐν πρώτῳ Μαγειρικῆς διδασκαλίας. Ἀριστοφάνης δ' ἐν Τελμισσεῦσι „μελανοπτερύγων, ἔφη, κορακίνων." ὑποκοριστικῶς δὲ ὠνόμασεν αὐτοὺς Φερεκράτης ἐν Ἐπιλήσμονι·

Saperda. f

1 Μῦς vulgo h. l. 2 κηριοειδέες editt. Baſ. & Caſ. κοροειδέες h. l. mſſti & ed. Ven. 3 Φυλότιμος ms. *A*.

An igitur & qui apud Epicharmum nominantur *aeoliae* (*ſive*, variegati) in Muſis, coracini ſunt? Dicit enim,

Aeoliae, plotesque, & cynogloſſi.

At in Hebes Nuptiis aeolias etiam ut diverſas (a coracinis) commemorat:

Mures, alpheſtaeque, & coracini pupillarum colore, aeoliae, plotesque & cynogloſſi. —

Euthydemus vero, in libro de Salſamentis, ſcribit, coracinum a multis *ſaperdam* nominari. Similiter tradidit & Heracleo Epheſius; itemque Philotimus in Opſartytico. Sed & *platiſtacum* vocari cum ſaperdam tum coracinum, ſcribit Parmeno Rhodius, primo Inſtitutionis Coquinariae. Ariſtophanes, in Telmiſſenſibus, *nigris pinnis coracinos* dixit. Diminutivo nomine eosdem adpellavit Pherecrates in Oblivioſo:

a Τοῖς σεῖσι συνὼν κορακινιδίοις καὶ μαινιδίοις. —
Ἄμφις δ', ἐν Ἰαλέμῳ·

Ὅστις κορακῖνον ἐσθίει θαλάττιον,
γλαύκου παρόντος, οὗτος οὐκ ἔχει φρένας.

Οἱ δὲ Νειλῶται κορακῖνοι, ὅτι γλυκεῖς καὶ εὔσαρκοι, ἔτι δὲ ἡδεῖς, οἱ πεπειραμένοι ἴσασιν. Ὠνομάσθησαν δὲ διὰ τὸ διηνεκῶς τὰς κόρας κινεῖν, καὶ οὐδέ ποτε παύεσθαι. καλοῦσι δ' αὐτοὺς οἱ Ἀλεξανδρεῖς πλάτακας, ἀπὸ τοῦ περιέχοντος.

LXXXII. CYPRINUS.

ΚΥΠΡΙΝΟΣ. [1] Τῶν σαρκοφάγων καὶ οὗτος, b ὡς Ἀριστοτέλης ἱστορεῖ, καὶ συναγελαστικῶν. τὴν δὲ γλῶτταν οὐχ ὑπὸ τῷ στόματι, [2] ἀλλ' ὑπὸ τὸ στόμα κέκτηται. Δωρίων δ' αὐτὸν ἐν τοῖς λιμναίοις καὶ ποταμίοις καταλέγων, γράφει οὕτως· „λεπιδωτόν, ὃν καλοῦσί τινες κυπρῖνον."

1 Κυπριανὸς edd. & ms. *A.* & sic dein iidem κυπριανίσ.
2 Forſ. οὐκ ἐπὶ τῷ στομ. aut οὐκ ἐπάνω ἐν τῷ στόματι.

Tuis rem habens cum coracinidiis maenidiisque.
Amphis vero, in Ialemo, ait:

Quisquis coracino veſcitur marino,
cum adſit glaucus, mente is captus eſt.

Niloticos coracinos dulces eſſe, & bona carne, ſuavesque, norunt qui guſtarunt. Nomen autem ſortiti ſunt *coracini* ex eo, quod pupillas (τὰς κόρας) continenter movent, nec umquam ceſſant. Alexandrini vero eosdem *platacas* vocant, nomine a toto genere petito.

82. CYPRINUS. Eſt hic quoque ex carnivoris, ut tradit Ariſtoteles, & ex gregalibus. Habet autem linguam non in ore, ſed poſt os. [*forſan*, non in ſuperiore parte oris habet, ſed in inferiore & poſteriore.] Dorion eum in paluſtribus & in fluviatilibus recenſens, ita ſcribit: »ſquamoſum, quem vocant nonnulli *cyprinum*.« (ſive, *cyprianum?*)

LXXXIII. Gobii. Κωβιοί. „Πολύχυλοι, ὡς φησιν Ἱκέσιος, εὐστομίᾳ διαφέροντες, εὐέκκριτοι, ὀλιγότροφοι, καὶ κακόχυμοι. διαφέρουσι δὲ εὐστομίᾳ οἱ λευκότεροι τῶν μελάνων. ἡ δὲ τῶν χλωρῶν κωβιῶν σὰρξ, χαυνοτέρα ἐστὶ καὶ ἀλιπεστέρα· καὶ χυλὸν ἐλάττονα καὶ λεπτότερον ἐναφιᾶσι· τροφιμώτεροι δὲ [1] εἰσὶ διὰ τὸ μέγεθος.“ c Διοκλῆς φησι, τοὺς πετραίους αὐτῶν μαλακοσάρκους εἶναι. Νουμήνιος δ', ἐν Ἁλιευτικῷ, κώθους αὐτοὺς καλεῖ·

Ἢ σκάρον ἢ κῶθον τροφίην καὶ ἀναιδέα λίην. [2]

Καὶ Σώφρων ἐν τῷ Ἀγροιώτῃ [3] „κωθωλυνοπλύται“ φησί· καὶ τὸν τοῦ θυννοθήρα δὲ υἱὸν ἴσως ἀπὸ τούτου Κωθωνίαν προσηγόρευσε. Σικελιῶται δ' εἰσὶν οἱ τὸν κωβιὸν, κώθωνα καλοῦντες, ὡς Νίκανδρός φησιν ὁ Κολοφώνιος ἐν ταῖς Γλώτταις, καὶ Ἀπολ-

1 τροφιμώτεροί πε edd. 2 δοίην h. l. edd. δείην Ms. 3 Ἀγροιωτικῷ vulgo: & dein θωλυνοπλύται ed. Ven. & Baſ. cum Msto. κωθολυτοπλύται ed. Caſ. Suſpicatus ſum κάθωνες θολοπλύται.

83. Gobiones. »Succi multum praebent, ut ait Hiceſius, guſtu eximie placent, excernuntur facile, parum nutriunt, malum ſuccum gignunt. Suavitate guſtus nigris praeſtant candidiores. Flaveſcentium gobiorum laxior & minus pinguis caro eſt: & ſuccum paucíorem tenuioremque hi gignunt; plus autem nutriunt, ob magnitudinem.« Diocles ſcribit, ſaxatiles gobios molli eſſe carne. Numenius vero, in Halieutico, *cothos* eosdem adpellat:

Aut ſcarum aut cothum altilem & inſolentem admodum.

Et Sophron, in Ruſtico, *cothones*, ait, *in limo lavantes:* ac fortaſſe indidem etiam (in Thynnothera ſuo) filium venatoris thynnorum *Cothoniam* adpellavit. Sunt autem Siculi qui gobium *cothonem* nominant, teſte Nicandro Colophonio in Gloſſis, & Apollodoro in his quae ne

d λόδωρος ἐν τοῖς Περὶ Σώφρονος. Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ κωβιοὺς ὀνομάζει·

Τρυγόνες τ' ὀπισθόκεντροι, καὶ χάλκαδροι κωβιοί.

Ἀντιφάνης δ', ἐν Τίμωνι, ἐπαινῶν τοὺς κωβιοὺς, καὶ ὁπόθεν εἰσὶ κάλλιστοι δηλοῖ διὰ τούτων·

Ἦκω πολυτελῶς ἀγοράσας εἰς τοὺς γάμους·
λιβανωτὸν ὀβολοῦ τοῖς θεοῖς, καὶ ταῖς θεαῖς
πάσαισι, τοῖς δ' ἥρωσι τὰ ψαῖστ' ἀπονέμων.
ἡμῖν δὲ τοῖς θνητοῖς ἐπριάμην κωβιούς.
Ὡς προσβαλεῖν δ' ἐκέλευσα τὸν τοιχωρύχον,
e τὸν ἰχθυοπώλην· „Προστίθημι, φησί μοι, [1]
τὸν δῆμον αὐτῶν· εἰσὶ γὰρ Φαληρικοί.“
Ἄλλοι δ' ἐπώλουν, ὡς ἔοικ', Ὀτρυνικούς.

Μένανδρος, Ἐφεσίοις· [2]

A. Τῶν ἰχθυοπωλῶν ἀρτίως τις τεττάρων

1 φημί σοι edd. cum ms. *A.* φησὶ, σοὶ corrigit Casaub. 2 Alibi apud Nostrum, Ἐφεσίῳ: rectius, & videtur.

Sophrone scripsit. Epicharmus vero, in Hebes Nuptiis, *gobios* nominat:

Et pastinacae postlice-aculeatae, mollesque gobii.

Antiphanes vero, in Timone, gobios laudans, etiam unde sint optimi declarat his verbis:

Venio mercatus magnifice quae sunt opus ad nuptias:
thus, oboli pretio, Diis Deabusque
omnibus; heroibus autem liba tribuens.
Nobis vero mortalibus emi gobios.
Iam quum, auctarium adiicere iuberem murorum-perfossorem
piscarium: » Adiicio, inquit, tibi
populum illorum; sunt enim Phalerici.«
Reliqui, puto, Otrynicos vendebant.

Menander in Ephesiis:

A. *Piscariorum modo aliquis quatuor*

δραχμῶν ἐτίμα κωβιούς. Β. Σφόδρα. [1]

Ποταμίων δὲ κωβιῶν μνημονεύει Δωρίων ἐν τῷ Περὶ Ἰχθύων.

LXXXIV. Cuculus piscis.

Κόκκυγες. Ἐπίχαρμος·

— — καὶγλαοὶ κόκκυγες· οὓς παρσχίζομες
πάντες, [2] ὀπτᾶντες δὲ χ' ἁδύναντες αὐτοὺς χραύομες.

Καὶ Δωρίων δέ φησι, δεῖν αὐτοὺς ὀπτᾶν παρασχίσαντας κατὰ ῥάχιν, καὶ παρηδύνειν χλόῃ, τυρῷ, ῥοΐ, σιλφίῳ, ἁλί, ἐλαίῳ· στρέφοντα δὲ ἀλείφειν, καὶ ὑποπάσσειν ἁλὶ ὀλίγῳ, ἀφελόντα δὲ ὄξει ῥᾶναι. Ἐρυθρὸν δὲ αὐτὸν καλεῖ ἀπὸ τοῦ συμβεβηκότος Νουμήνιος, οὕτως·

— Ἄλλοτ' ἐρυθρὸν
κόκκυγ', ἢ ὀλίγας πεμφηρίδας, ἄλλοτε σαυρόν. [3]

1 Forſ. Πολλοῦ σφόδρα. Iungunt vulgo κωβιοὺς σφόδρα, absque diſtinctione perſonarum. 2 πάντας malebam cum Caſaub. 3 σαῦρον edd.

drachmis aeſtimavit gobios. B. *Caro admodum.*

Fluviatilium vero gobiorum meminit Dorion, in libro de Piſcibus.

84. Cuculus piſcis. Epicharmus:

— — *Et cuculi nitidi; quos ſecundum ſpinam ſectos, tum aſſatos conditosque, laute devoravimus.*

Atque etiam Dorion docet, oportere eos ſecundum ſpinam ſectos aſſare, & condire herbulis, caſeo, rhoë, ſilphio, ſale, oleo; tum inverſos inungere, & pauco ſale conſpergere; denique ab igne remotos aceto irrorare. *Rubrum* adpellat Numenius e re ipſa, cum ait:

— *Aliás rubrum*
cuculum, aut paucas pempherides, aliás lacertum.

a ΚΎΩΝ ΚΑΡΧΑΡΊΑΣ. Περὶ τούτων φησὶν Ἀρχέστρατος, ὁ τῶν ὀψοφάγων Ἡσίοδος ἢ Θέογνις. ἦν δὲ καὶ ὁ Θέογνις περὶ ἡδυπάθειαν, ὡς αὐτὸς περὶ αὐτοῦ φησι διὰ τούτων· LXXXV. CANIS CARCHARIAS.

Τῆμος [1] δ' ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους
ἄρτι παραγγέλλοι μέσσατον ἦμαρ ἔχων·
δείπνου δὴ λήγοιμεν, [2] ὅσου τινὰ θυμὸς ἀνώγοι,
παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι.
χέρνιβα δ' αἶψα θύραζε φέροι, στεφανώματα δ'
b εἴσω,
εὐειδὴς ῥαδινῇς χερσὶ Λάκαινα κόρη.

Οὐδὲ τὸ παιδεραστεῖν ἀπαναίνεται ὁ σοφὸς οὗτος. λέγει γοῦν·

Εἴ τ' εἴη [3] σ', Ἀκάδημε, ἐφίμερον ὕμνον ἀείδειν,
ἆθλον δ' ἐν μέσσῳ παῖς καλὸς ἄνθος ἔχων
σοί τ' εἴη καὶ ἐμοὶ σοφίης πέρι δηριόωσι.

1 Rectius Ἦμος apud Theogn. 2 Forſ. λήχοιμεν aut λάχοιμεν: aut potius, θίγοιμεν. μνησαίμεθ' corrigit Brunck. 3 Rectius εἴθ' εἴη.

85. CANIS CARCHARIAS. De his loquitur Archeſtratus, catillonum ille Heſiodus aut Theognis. Erat vero & Theognis a voluptatis ſtudio non alienus, quemadmodum ipſe de ſe profitetur his verſibus:

Quando autem ſol in coelo ſolidungulos equos
regens, iam medium edicit diem,
coenam tunc capiamus quantam quemque animus iubet,
omnigenis bonis gratificantes ventri:
aquamque lavandis manibus foras ferat, coronasque intro,
formoſa mollibus manibus Lacaena puella.

Quin & puerorum ſe amore teneri non negat idem vir ſapiens. Dicit quippe:

Utinam tu velles amabilem canere hymnum,
praemiumque propoſitus formoſus puer flore aetatis
tibi eſſet mihique de arte certantibus:

γνοίης χ' ὅσσον ὄνων κρέσσονες ἡμίονοι.

Ὁ δ' οὖν Ἀρχέστρατος ἐν ταῖς καλαῖς ταύταις ὑποθήκαις παραινεῖ· c

Ἐν δὲ Τορωναίων ἄστει τοῦ καρχαρία χρὴ
τοῦ κυνὸς ὀψωνεῖν ὑπογάστρια κοῖλα κάτωθεν.
εἶτα κυμίνῳ αὐτὰ πάσας ἁλὶ μὴ συχνῷ ὄπτα·
ἄλλο δ' ἐκεῖσε, φίλη κεφαλή, μηδὲν προσενέγκῃς,
εἰ μὴ γλαυκὸν ἔλαιον. ἐπειδὰν δ' ὀπτὰ γένηται 5
ἤδη, τριμμάτιον δὲ φέρειν καὶ ἐκεῖνα μετ' αὐτοῦ. d
Ὅσσα δ' ἂν ἐν λοπάδος κοίλης [1] πληρώμασι εἰῇς,
μήθ' ὕδατος πηγὴν [αὐτοῖς,] [2] μήτ' οἴνινον ὄξος
συμμίξῃς· ἀλλ' αὐτὸ μόνον κατάχευον ἔλαιον,
αὐχμηρόν τε κύμινον, ὁμοῦ δ' εὐώδεα φύλλα. 10
ἔψε δ' ἐπ' ἀνθρακιῆς, φλόγα τούτοις μὴ προσενεγκών·
καὶ κίνει πυκνῶς, μὴ πρησκαυθέντα λάθῃ σε.

1 κοίλοις edd. 2 Vox e coniect. adiecta.

intelligeres sane, asinis quanto praestent muli.

Archestratus igitur, in praeclaris istis Praeceptis, hortatur suos:

In Toronaeorum urbe oportet carchariae
canis obsonari cava inferne abdomina;
deinde assare cumino conspersa cum pauco sale:
nec aliud quidquam, o carum caput, adiicias,
praeter glaucum oleum. Postquam iam autem assata
fuerint, tum vero intinctio simul cum illis mensae est inferenda.
Si qua vero cavae in patinae alveo elixaris,
his neque aquae fontem, nec e vino confectum acetum
misce; sed solum per se adsunde oleum,
arido cum cumino & suaveolentibus herbis.
Sed super pruna elixa, neque admove flammam:
agita autem crebro, ne te imprudente adurantur.

Ἀλλ' οὐ πολλοὶ ἴσασι βροτῶν τόδε θεῖον ἔδεσμα·
e οὐδ' ἔσθειν ἐθέλουσιν ὅσοι κεπφαττελεβώδη [1]
ψυχὴν κέκτηνται θνητῶν, εἰσίν τ' [2] ἀπόπληκτοι,
ὡς ἀνθρωποφάγου τοῦ θηρίου ὄντος. ἅπας δὲ 16
ἰχθῦς σάρκα φιλεῖ βροτέην, [3] ἄν που περικύρσῃ.
Τούτου τοῦ ἰχθύος μέρος ἐστὶ καὶ ὁ ὑπὸ Ῥωμαίων καλούμενος θυρσίων, ἥδιστος ὢν καὶ τρυφερώτατος.

LXXXVI. LABRAX, sive LUPUS piscis.

Λάβρακες. Οὗτοι, ὡς Ἀριστοτέλης ἱστορεῖ, μονήρεις εἰσὶ, καὶ σαρκοφάγοι. γλῶσσαν δ' ἔχουσιν ὀστώδη καὶ προσπεφυκυῖαν, καρδίαν τρίγωνον. Ἐν δὲ
f πέμπτῳ Ζώων Μορίων, τίκτειν αὐτοὺς, καθάπερ τοὺς κεστρεῖς καὶ χρυσόφρυας, μάλιστα οὗ ἂν ποταμοὶ ῥέωσιν. τίκτουσι δὲ χειμῶνος, καὶ τίκτουσι δίς. Ἱκέσιος δέ φησιν, ὅτι οἱ λάβρακες εὔχυλοί εἰσι, καὶ οὐ πολύτροφοι· πρὸς δὲ τὴν ἔκκρισιν ἧσσονες, εὐστομίᾳ

1 κούφαν γε λεβάδη h. l. edd. cum ms. *A.* κούφαν καὶ λεμβάδη ms. *Ep.* Alibi vulgo κούφην τελεβάδη. κούφην κ' ἀνεμάδη coni. Coray. 2 θνητῶν δ' εἰσὶν edd. θνητῶν τ' εἰσὶν mssti h. l. 3 βροτέαν vulgo h. l.

At pauci norunt hominum divinum hoc edulium;
neque eo vesci volunt qui stupidam insectorum
animam habent e mortalibus; paventque,
quod animans sit humanâ carne vescens. At omnis
piscis humanam amat carnem, sicubi fuerit nactus.

Huius piscis pars est etiam qui *thursio* vocatur a Romanis, qui suavissimus est & delicatissimus.

86. LABRACES. (*seu*, LUPI *pisces.*) Hi, ut tradit Aristoteles, solitarii sunt, & carnivori. Linguam habent ossea & adhaerentem; cor triangulare. Quinto vero libro DE Partibus Animalium scribit, parere eos, quemadmodum & mugiles & chrysophryas, eis maxime locis ubi flumina mare subeunt. Pariunt autem hieme, & quidem bis. Hicesius vero ait, bonum succum gignere lupos, nec multum alere; sed minus facile egeri: gu-

δὲ πρῶτοι κρίνονται. Ὠνομάσθη δ' ὁ ἰχθὺς παρὰ τὴν λαβρότητα. Λέγεται δὲ, ὅτι καὶ συνέσει τῶν ἄλλων ἰχθύων διαφέρει, ἐπινοητικὸς ὢν τοῦ διασώζειν ἑαυτόν. διὸ καὶ ὁ κωμῳδιοποιὸς Ἀριστοφάνης φησίν·

Λάβραξ ὁ πάντων ἰχθύων σοφώτατος. a

Ἀλκαῖος δ' ὁ μελοποιὸς, μετέωρον, φησὶν, αὐτὸν νήχεσθαι. Ὁ δὲ σοφὸς Ἀρχέστρατος·

Λάμβανε δ' ἐκ Γαίσωνος, ὅταν Μίλητον ἵκηαι,
κεστρέα τὸν κέφαλον, καὶ τὸν θεόπαιδα λάβρακα.
εἰσὶ γὰρ ἐνθάδ' ἄριστοι· ὁ γὰρ τόπος ἐστὶ τοιοῦτος.
πιότεροι δ' ἕτεροι πολλοὶ, Καλυδῶνί τε [1] κλεινῇ,
Ἀμβρακίᾳ τ' ἐνὶ πλουτοφόρῳ, Βολβῇ τ' ἐνὶ λίμνῃ·
ἀλλ' οὐκ εὐώδη γαστρὸς κέκτηνται ἁλοιφὴν, 6 b
οὐδ' οὕτω δριμεῖαν. ἐκεῖνοι δ' εἰσὶν, ἑταῖρε,
τὴν ἀρετὴν θαυμαστοί. Ὅλους δ' αὐτοὺς ἀλεπίστους

1 Abeſt τε edd.

ſtus autem ſuavitate primas obtinere. Nomen autem habet a voracitate. Dicunt vero etiam, intelligentia hunc praeſtare caeteris piſcibus; ingenioſum certe ad ſe ſervandum. Quare comicus Ariſtophanes ait:

Lupus, piſcium omnium prudentiſſimus.

Alcaeus vero, Lyricorum carminum auctor, ait, *in ſummis aquis ſuſpenſum eum natare.* Sapiens autem Archeſtratus:

Sume ex Gaeſone, quum Miletum veneris,
mugilem cephalum, & Deorum progeniem lupum.
Sunt enim ibi optimi: talis eſt loci natura.
Sunt pinguiores quidem alii multi, cum ad celebrem Calydonem,
tum in opulenta Ambracia, & in Bolbe lacu:
at ſuaviter olens ventris pinguedo illis deeſt,
& grata acrimonia. Iſtorum vero, amice,
admiranda virtus. Eos integros cum ipſis ſquamis

ὀπτήσας, μαλακοὺς χρηστῶς [1] προσένεγκε δι' ἅλ-
μης. 9
Μὴ δὲ προσέλθῃ σοι πρὸς [2] τοὔψον τοῦτο ποιοῦντι,
μήτε Συρακόσιος μηθεὶς, μήτ' Ἰταλιώτης.
οὐ γὰρ ἐπίστανται χρηστοὺς σκευάζεμεν ἰχθῦς·
c ἀλλὰ διαφθείρουσι κακῶς τυροῦντες ἅπαντα,
ὄξει τε ῥαίνοντες ὑγρῷ καὶ σιλφίου ἅλμῃ. 14
τῶν δὲ πετραίων ἰχθυδίων τῶν τρισκαταράτων,
πάντων εἰσὶν ἄριστοι ἐπισταμένως [3] διαθεῖναι,
καὶ πολλὰς ἰδέας κομψῶς παρὰ δαικὶ δύνανται
ὀψαρίων τεύχειν γλίσχρων ἡδυσματολήρων.

LXXXVII. Lupus piscis.

Καὶ Ἀριστοφάνης δ', [4] ἐν Ἱππεῦσι, μνημονεύει
ὡς διαφόρων γινομένων τῶν περὶ τὴν Μίλητον λαβρά-
d κων, ὅταν οὕτως λέγῃ· [5]

Ἀλλ' οὐ λάβρακας καταφαγὼν Μιλησίους κλο-
νήσεις.

1 ὀπτήσας μαλακᾶς ὡς χρὴ coni. Coray. 2 ποτὶ malim cum eodem.
3 ἐπιστήμονες ms. *Ep.* 4 Abest δ' edd. 5 λίγει vulgo.

assatos bene molles adpone cum muria.
Ne tibi vero hoc obsonium paranti interveniat
vel Siculus ullus, vel Italus:
illi enim bonos nesciunt parare pisces;
sed corrumpunt omnia, prave condientes caseo,
& liquidum adfundentes acetum, & silphii muriam.
Saxatiles quidem quod adtinet pisciculos, ter exsecrandos,
hos tractare omnium optime intelligunt;
& plures species scite epulis parare norunt
obsoniolorum, multis scitamentorum nugis perunctorum.

87. Sed & Aristophanes, in Equitibus, luporum qui circa Miletum nascuntur mentionem facit ut bonitate praestantium, cum ait:

Sed non lupos devorans Milesios turbabis.

ἐν δὲ Λημνίαις·

οὐ κρανίον λάβρακος, οὐχὶ κάραβον
πρίασθαι. — —

ὡς διαφόρου ὄντος τοῦ τῶν λαβράκων ἐγκεφάλου, καθάπερ καὶ τοῦ τῶν γλαύκων. καὶ Εὔβουλος δ', ἐν Τιτθαῖς,[1] φησί·

Μὴ πολυτελῶς, ἀλλὰ καθαρείως, ὅ τι ἂν ᾖ·[2]
ὀσίας ἕνεκα, σηπίδια, ἢ τευθίδια,
πλεκτάνια τὰ μικρὰ πολύποδος, νῆστίν τινα,
μήτραν, χόρια, πυὸν,[3] λάβρακος κρανίον
εὐμέγεθες. —

Gaeſon, lacus & fluvius. Ὁ δὲ Γαίσων, οὗ Ἀρχέστρατος μνημονεύει, ἡ Γαισωνὶς λίμνη ἐστὶ, μεταξὺ Πριήνης καὶ Μιλήτου, e ἠνωμένη τῇ θαλάττῃ, ὡς Νεάνθης ὁ Κυζικηνὸς ἱστορεῖ ἐν τῇ ἕκτῃ τῶν Ἑλληνικῶν. Ἔφορος δ' ἐν τῇ πέμπτῃ, ποταμὸν εἶναι, φησὶ, τὸν Γαίσωνα περὶ Πριή-

1 Τίτθαις edd. 2 Verba prorſus corruptâ in edd. 3 χωριάπυον vulgo.

In Lemniis vero dicit:

Non caput lupi, non locuſtam
emere. —

tamquam in pretio ſit lupi cerebrum, veluti glauci. Atque etiam Eubulus, in Nutricibus, ait:

Non pretioſe, ſed munde, quidquid fuerit,
dicis cauſſa: ſepiolas, aut parvas loligines,
minutos polypi cirrulos, neſtin quemdam,
vulvam, choria, coloſtrum, lupi caput
ingens.

Gaeſon vero, cuius meminit Archeſtratus, Gaeſonis palus eſt, inter Prienem & Miletum, mari coniuncta, ut tradit Neanthes Cyzicenus, ſexto Hellenicorum. Ephorus autem libro quinto ait, fluvium eſſe Gaeſonem

νην, ὃν εἰσρεῖν εἰς λίμνην. Ἄρχιππος, ἐν Ἰχθύσι, μνημονεύων τῶν λαβράκων, φησίν·

Αἰγύπτιος μιαρώτατος τῶν ἰχθύων
κάπηλος Ἑρμαιος, ὃς βίᾳ δέρων ῥίνας [1]
γαλεούς τε πωλεῖ καὶ τοὺς λάβρακας ἐντερεύων. [2]

LXXXVIII. Λάτος. Τοῦτον κατὰ τὴν Ἰταλίαν κράτιστον f εἶναί φησιν Ἀρχέστρατος, λέγων οὕτως·

Latus piſcis.

Τὸν δὲ λάτον τὸν κλεινὸν ἐν Ἰταλίῃ πολυδένδρῳ
ὁ Σκυλλαῖος ἔχει πορθμὸς, θαυμαστὸν ἔδεσμα.

Οἱ δ' ἐν τῷ Νείλῳ ποταμῷ γινόμενοι λάτοι, τὸ μέγεθος εὑρίσκονται καὶ ὑπὲρ διακοσίας λίτρας ἔχοντες. [3] Ὁ δὲ ἰχθὺς οὗτος, λευκότατος ὢν, καὶ ἥδιστός ἐστι πάντα τρόπον σκευαζόμενος· παραπλήσιος ὢν τῷ κατὰ τὸν Ἴστρον γινομένῳ γλάνιδι. Φέρει δὲ a ὁ Νεῖλος καὶ ἄλλα γένη πολλὰ ἰχθύων, καὶ πάν-

Nilus piſcium ferax.

1 ῥίνου ms. *Ep.* Forſ. ῥινοῦ δέρων. 2 Rectius ad metrum alibi καὶ λάβρακας ἐντέρων. 3 ἕλκοντες malis cum Corayo.

circa Prienem, qui in paludem influat. Archippus, in fabula Piſcibus, mentionem luporum faciens, ait:

Aegyptius ſceleſtiſſimus piſcium inſtitor
Hermaeus; qui vi detracta pelle ſquatinas
galeosque vendit, & lupos exenterat.

88. Latus. Hunc circa Italiam praeſtantiſſimum eſſe ait Archeſtratus, his verbis:

Latum vero nobilem in Italia ſylvoſa
Scyllaeum fretum habet, mirificum edulium.

Qui vero in Nilo flumine gignuntur lati, eâ reperiuntur magnitudine ut ſupra ducentas libras interdum pendant. Candidiſſimus hic piſcis eſt, &, quocumque modo paratus fuerit, ſuaviſſimus: ſimilis glanidi qui in Iſtro flumine naſcitur. Eſt autem Nilus & multorum aliorum generum piſcium ferax, quorum nullum non

τα ἥδιστα· μάλιστα δὲ τὰ τῶν κορακίνων. πολλὰ γὰρ καὶ τούτων γένη. Φέρει δὲ καὶ τοὺς ΜΑΙΩΤΑΣ καλουμένους, ὧν μνημονεύει Ἄρχιππος ἐν Ἰχθύσι, διὰ τούτων·

Maeotas piſcis.

τοὺς μαιώτας καὶ σαπέρδας, καὶ γλάνιδας.

εἰσὶ δὲ πολλοὶ περὶ τὸν Πόντον, Φέροντες τὴν ὀνομασίαν ἀπὸ τῆς λίμνης τῆς Μαιώτιδος. Νειλαῖοι [1] δὲ εἰσιν ἰχθύες, εἴ γε τι μνημονεύειν δύναμαι, πολυετῆ τὴν ἀποδημίαν ἔχων· νάρκη μὲν ἡ ἡδίστη, [2] χοῖρος, σιμὸς, Φάγρος, ὀξύρυγχος, ἀλλάβης, σίλουρος, συνο- b δοντὶς, ἐλεώτρις, ἔγχελυς, θρίσσα, ἄβραμις, τύφλη, λεπιδωτὸς, φύσα, κεστρεύς. εἰσὶ δὲ καὶ ἄλλοι οὐκ ὀλίγοι.

LXXXIX. ΛΕΙΟΒΑΤΟΣ. Οὗτος καλεῖται καὶ ῥίνη. ἔστι δὲ λευκόσαρκος, ὡς Ἐπαίνετος ἐν Ὀψαρτυτικῷ. Πλάτων, Σοφισταῖς·

Leiobatos.

1 Νειλῶοι ms. *Ep.* 2 ἥδιστη absque ἡ edd.

delicatiſſimum: maxime vero coracinorum, quorum & ipſorum plura ſunt genera. Gignit etiam quos MAEOTAS vocant; quorum meminit Archippus in fabula Piſcibus, ubi ait:

Maeotas, & ſaperdas, & glanides.

Eorum magna copia in Ponto eſt, nomenque habent a Maeotide palude. *Nilotici* vero *piſces*, quoad meminiſſe valeo per complures iam annos peregre degens, hi ſunt fere: Torpedo, omnium ſuaviſſima; porcus, ſimus, phagrus, oxyrynchus, allabes, ſilurus, ſynodontis, eleotris, anguilla, thriſſa, abramis, typhla, (*quaſi diceres*, *cocca*,) lepidotus, phyſa, mugil: aliique haud pauci.

89. LEIOBATOS. Hic vocatur etiam *rhine:* (id eſt, *ſquatina.*) Candida eſt carne, ut ait Epaenetus in Opſartytico. Plato, in Sophiſtis:

Κἂν ᾖ γαλεὸς, κἂν λειόβατος, κἂν ἔγχελυς.

ΜΥΡΑΙΝΑΙ. Θεόφραστος, ἐν τῷ πέμπτῳ Περὶ τῶν ἐν τῷ Ξηρῷ διαιτωμένων, ἔγχελύν φησι καὶ μύραιναν πολὺν χρόνον δύνασθαι ἔξω τοῦ ὑγροῦ ζῆν, διὰ τὸ μικρὰ ἔχειν βραγχία, καὶ ὀλίγον δέχεσθαι τὸ ὑγρόν. Τροφίμους δ' αὐτὰς εἶναι, φησὶν ὁ Ἱκέσιος, οὐχ ἧττον τῶν ἐγχέλεων, ἀλλὰ καὶ τῶν γόγγρων. Ἀριστοτέλης δὲ, ἐν πέμπτῳ [1] Ζώων Μορίων, ἐκ μικροῦ φησιν αὐτὴν ταχεῖαν τὴν αὔξησιν λαμβάνειν, καὶ εἶναι καρχαρόδουν· τίκτειν τε πᾶσαν ὥραν μικρὰ ὠά. Ἐπίχαρμος δ', ἐν Μούσαις, χωρὶς τοῦ σ μυραίνας αὐτὰς καλεῖ, οὕτωσὶ λέγων·

XC. MURAENA.

Οὔτε γόγγρων τις παχήων, [2] οὔτε μυραινᾶν ἀπῆς. [3]

Ὁμοίως δὲ καὶ Σώφρων. Πλάτων δὲ, ἢ Κάνθαρος, ἐν τῇ Συμμαχίᾳ, σὺν τῷ σ.

1 ἐν δευτέρῳ Ζώων Μορίων ed. Ven. cum msstis. 2 γόγγρων τι παχέων vulgo. 3 μύραινα νάπης vulgo.

Sive galeus fuerit, aut leiobatos, sive anguilla.

90. MURAENA. Theophraſtus, libro quinto DE Animantibus in Sicco viventibus, ait, anguillam & muraenam multum temporis poſſe extra aquam vivere, quoniam parvas habeant branchias, & parum aquae admittant. Nutrire autem, ait Hiceſius, muraenas haud minus quam anguillas, quin & quam congros. Ariſtoteles vero quinto libro DE Partibus Animalium ſcribit, e parvula celeriter eam incrementum capere, & eſſe dentibus ſerratis; parereque quovis anni tempore minuta ova. Epicharmus in Muſis, absque *s* literâ, *myraenas* vocat, ubi ait:

Neque congrorum craſſorum aliquis aberat, nec myraenarum.

Pariter etiam Sophron. Plato vero, ſive Cantharus, in Symmachia, (*id eſt*, Belli Societate:) cum litera *s*.

Βάτις τε καὶ σμύραινα πρόσεστιν. —

Δωρίων δὲ, ἐν τῷ Περὶ Ἰχθύων, τὴν ποταμίαν, φη- d
σὶ, μύραιναν ἔχειν μίαν ἄκανθαν μόνην, ὁμοίαν τῷ ἐνίσκῳ τῷ καλουμένῳ γαλλαρίᾳ. Ἀνδρέας δὲ, ἐν τῷ Περὶ Δακέτων, τῶν μυραινῶν φησι δακούσας ἀναιρεῖν τὰς ἐξ ἔχεως· εἶναι δ' αὐτὰς ἧττον [1] περιφερεῖς καὶ ποικίλας. Νίκανδρος δὲ, ἐν Θηριακῷ· [2]

Μυραίνης δ' ἔκπαγλον, ἐπεὶ [3] μογεροὺς ἁλιῆας
πολλάκις ἐμβρύξασα [4] κατεπρήνιξεν ἐπάκτρων
εἰς ἅλα φυζηθέντας, [5] ἐχετλίου [6] ἐξαναδῦσα·
εἰ ἔτυμον [7] κείνην γε σὺν οὐλοβόροις [8] ἐχίεσσι
θόρνυσθαι, προλιποῦσαν ἁλὸς νόμον, ἠπείροισιν. e

Ἀνδρέας δὲ, ἐν τῷ Περὶ τῶν Ψευδῶς πεπιστευμένων, ψεῦδός φησιν εἶναι τὸ μύραιναν ἔχει [9] μίγνυσθαι,

1 Ἥττονας edd. 2 Rectius alibi Θηριακοῖς. 3 ἐπὶ vulgo. 4 ἐκβρύξασα vulgo. 5 φυσηθέντας ed. Ven. cum Ms. 6 ἐχέταιον ed. Ven. cum Ms. 7 Εἰ δ' ἔτυμον ed. Baf. & Caſaub. 8 ἰοβόλοις ed. Baſ. & Caſ. ex edit. Nicand. 9 ἔχιϊ edd.

Et raia adeſt, & ſmyraena.

Dorion vero, libro De Piſcibus, fluviatilem muraenam, ait, nonniſi unam habere ſpinam, ſimilem aſello, quem gallariam vocant. Andreas, in libro De Animantibus Venenatis, ſcribit, earum muraenarum morſum lethalem eſſe quae ex viperae ſatu ortae ſint; eſſe autem eas minus rotundas, & variegatas. [*ſive*, minores, rotundas, variegatas.] Nicander autem in Theriaco:

Muraenae vero horrendum illud, quod miſeros piſcatores
ſaepe frendendo petens praecipites dat e navigiis
in mare fugientes, cum e piſcium receptaculo emergit:
ſi modo verum eſt, illam cum venenatis viperis
coire in continente, relicto maris pabulo.

Andreas vero, in libro De his quae Falſo creduntur, falſum eſſe, ait, muraenam cum vipera miſceri, in

προερχομένην ἐπὶ τὸ τεναγῶδες· οὐδὲ γὰρ ἐπὶ τεναγους ἔχεις νέμεσθαι, φιληδοῦντας λιμώδεσιν [1] ἐρημίαις. Σώστρατος δὲ ἐν τοῖς Περὶ Ζώων (ἔστι δὲ ταῦτα δύο βιβλία) συγκατατίθεται τῇ μίξει.

XCI. MYRUS.

ΜΥΡΟΣ. Ὁ δὲ μύρος, ὥς φησιν Ἀριστοτέλης ἐν πέμπτῳ Ζώων Μορίων, διαφέρει τῆς σμυραίνης. [2] f ἡ μὲν γὰρ, ποικίλον καὶ ἀσθενέστερον· ὁ δὲ μύρος, λειόχρως [3] καὶ ἰσχυρὸς, καὶ τὸ χρῶμα ὅμοιον ἔχει ἴυγγι, [4] ὀδόντας τε [5] ἔσωθεν καὶ ἔξωθεν. Δωρίων δὲ, τὸν μύρον, φησὶ, τὰς διὰ σαρκὸς ἀκάνθας οὐκ ἔχειν, ἀλλ' ὅλον εἶναι χρήσιμον καὶ ἁπαλὸν ὑπερβολῇ. εἶναι δὲ αὐτῶν γένη δύο· εἰσὶ γὰρ οἱ μὲν μέλανες, οἱ δ' ὑποπυῤῥίζοντες. κρείσσονες δὲ εἰσὶν οἱ μελανίζοντες. Ἀρχέστρατος δὲ, ὁ Ἡδονικὸς φιλόσοφος, φησίν·

1 ἀμμώδεσιν utique videtur legendum. 2 μυραίνης edd. cum ms. *Ep.* 3 ὁμόχρους apud Aristot. 4 πίτυϊ apud Aristot. 5 ὅλον τά τε ed. Ven. & Bas. cum mss.

coenosa exeuntem: nec enim in coenosis versari viperas, sed arenosa amare deserta. Sostratus autem, in opere de Animantibus, (sunt ii duo libri) iis adsentitur, qui coire muraenam cum vipera aiunt.

91. MYRUS. Myrus vero, ut ait Aristoteles quinto de Partibus Animalium, differt a myraena (*vel*, muraena.) Haec enim, variegata est, & infirmior: myrus vero laevi cute, [*sive*, unicolor,] & robustus; coloremque habet torquillae, [*sive*, piceae,] & dentes intus atque foris. Dorion vero, myrum non habere, ait, per carnem spinas, sed totum comedi posse, & perquam esse tenerum. Esse autem eorum duo genera: unum nigrorum, alterum subruforum: meliores autem esse nigricantes. Archestratus vero, Voluptarius philosophus, ait:

Ἰταλίας δὲ μεταξὺ, κατὰ στενοκύμονα πορθμὸν, a
ἡ πλωτὴ μύραινα καλουμένη ἂν ποτε ληφθῇ,
ὠνοῦ. τοῦτο γάρ ἐστιν ἐκεῖ θαυμαστὸν ἔδεσμα.

XCII. MAENIDES.

ΜΑΙΝΙΔΕΣ. Ταύτας δέ φησιν [1] Ἰκέσιος εὐχυλοτέρας εἶναι τῶν κωβιῶν· λείπεσθαι δ' εὐστομίᾳ, καὶ τῷ πρὸς τὴν ἔκκρισιν τῆς κοιλίας συνεργεῖν. Σπεύσιππος δὲ, ἐν δευτέρῳ Ὁμοίων, ὁμοιά φησιν εἶναι τῇ μαινίδι βοάκα καὶ σμαρίδας, ὧν μνημονεύειν καὶ Ἐπίχαρμον [2] ἐν Γᾷ καὶ Θαλάσσᾳ οὕτως· b

ὄκχ' ὁρῇ [3] βῶκας πολλοὺς καὶ μαρίδας. [4]

Ἐπαίνετος δ' ἐν Ὀψαρτυτικῷ φησί· „σμαρίδα, [5] ἣν ἔνιοι καλοῦσιν [6] κυνὸς εὐνά.“ [7] Ἀντιφάνης δ', ἐν Ἀγροίκῳ ἢ Βουταλίωνι, Ἑκάτης βρώματα καλεῖ τὰς μαινίδας, διὰ τὴν βραχύτητα, λέγων οὕτως·

1 μὲν φησὶν malis. 2 μνημονεύει καὶ Ἐπίχαρμος edd. 3 ὀκχάρῃ vulgo. 4 σμαρίδας edd. 5 Ruriſus σμαρίδας edd. 6 καλέουσιν edd. 7 κυνὸς εὖναν ms. *Ep.* Alibi κυνὸς εὐναι ms. *A.*

Italiam inter, qua fretum anguſtum fluctibusque agitatum interfluit,
capta ubi fuerit fluta quae vocatur muraena,
eme. Eſt enim hoc ibi admirabile edulium.

92. MAENIDES. Has Hiceſius ait melioris eſſe ſucci, quam gobii; minus tamen gratos eſſe palato, alvique excretionem minus adiuvare. Speuſippus vero, ſecundo Similium, ſimiles eſſe maenidibus ſcribit boaces & ſmaridas, quorum meminiſſe Epicharmum ait in Terra & Mari, ubi ait:

Quum viderit boaces multos & maridas.

Epaenetus vero in Opſartytico ait: »Smaridem, quam nonnulli vocant *Canis cuna.*« Antiphanes vero in Ruſtico, ſive Butalione, *Hecates cibum* vocat maenidas, ob parvitatem. Cuius verba haec ſunt:

Α. Τοὺς γὰρ μεγάλους τούτους ἅπαντας νενόμικα ἀνθρωποφάγους ἰχθῦς. Β. Τί φῄς; ὦ φίλτατε.
Α. Ἀνθρωποφάγους. πῶς οὖν ἂν [1] ἄνθρωπος φάγοι;
c Β. Δηλονότι. ταῦτα δ' ἐστὶν [2] Ἑκάτης βρώματα, ἃ φησὶν οὗτος, μαινίδας καὶ τριγλίδας.
Καλοῦνται δέ τινες καὶ λευκομαινίδες· ἃς [3] ἔνιοι βόακας ὀνομάζουσι. Πολίοχος, [4] Κορινθιαστῇ·

Ὅπως σε πείσῃ μηδὲ εἷς, πρὸς τῶν θεῶν,
τοὺς βόακας, ἂν ποτ' ἔλθῃ, λευκομαινίδας
καλεῖν. —

XCIII. MELANURUS.

ΜΕΛΑΝΟΥΡΟΣ. Περὶ τούτου φησὶ Νουμήνιος ἐν Ἁλιευτικῷ·
d Σκορπίον ἢ πέρκαισι καθηγητὴν μελάνουρον.
Ἱκέσιος δὲ αὐτὸν σάργῳ φησὶ παραπλήσιον εἶναι, καταδεέστερον δὲ τῇ εὐχυλίᾳ καὶ τῇ εὐστομίᾳ· μικρῶς

1 Deeſt vulgo ἂν particula. 2 ταῦτα ἐστὶν ed. Baſ. & Caſaub. 3 Deeſt ἃς edd. 4 Πολύοχος edd.

Α. *Magnos enim hos cunctos ſtatui*
anthropophagos piſces. Β. *Quid ais? o cariſſime!*
Α. *Anthropophagos. Quo pacto igitur homo eos comederet?*
Β. *Recte ais. — Sed hae ſunt Hecates cibi,*
quas dicit hic, maenides & triglides!

Vocantur vero quaedam etiam *leucomaenides;* quas nonnulli *boacas* nominant. Poliochos, Corinthiaſte:

Ne tibi perſuadeat quisquam, per Deos,
veniens forte, ut boacas adpelles
leucomaenides.

93. MELANURUS. De hoc ait Numenius in Halieutico:

Scorpium aut percarum ducem melanurum.

Hiceſius vero, ſargo ſimilem eſſe ait; at minore tamen bonitate ſucci, minoreque gratia ſaporis: nonnihil

δὲ παραστύφειν, καὶ εἶναι τρόφιμον. Μνημονεύει δ' αὐτοῦ Ἐπίχαρμος ἐν Ἥβας γάμῳ·

— — — Ἦν δὲ
σαργίνοι μελάνουροί τε.

Ἀριστοτέλης δὲ, ἐν τῷ Περὶ Ζωϊκῶν, γράφει οὕτως· „Ὀρρόπυγόστικτοι δὲ τῶν ἰχθύων μελάνουρος καὶ σάργος· πολύγραμμοί τε, καὶ μελανόγραμμοι.“ Ὅμοιον δ' εἶναι τῷ μελανούρῳ φησὶ Σπεύσιππος, [1] ἐν δευτέρῳ Ὁμοίων, τὸν καλούμενον ψύρον· [2] ὃν δὲ Νουμήνιος καλεῖ ψόρον, οὕτως·

Ἢ ψόρον, ἢ σάλπας, ἢ αἰγιαλῆα δράκοντα.

XCIV. MORMYRUS.

ΜΟΡΜΎΡΟΣ. Τροφιμώτατος, ὥς φησιν Ἱκέσιος. Ἐπίχαρμος δ', ἐν Ἥβας γάμῳ, μύρμας [3] αὐτοὺς ὀνομάζει, εἰ μὴ διάφοροι τὴν φύσιν εἰσί. γράφει δ' οὕτως·

1 Post μελανόγραμμοι vulgo sic edebatur: ΜΕΛΑΝΔΈΡΙΝΟΣ. Ὅμοιον εἶναι τῷ μελανούρῳ φησί. Σπεύσιππος δ' ἐν δευτ. Ὁμοίων. 2 ψύγρον edd. 3 μυρμίας ms. *Ep.*

vero adstringere, & satis nutrire. Eiusdem sic meminit Epicharmus in Nuptiis:

Aderant vero sargini & melanuri.

Aristoteles autem in libro de Animantibus, in hunc modum scribit: »In cauda punctis variegati e piscibus melanurus & sargus: iidem multis eisque nigris notati lineis.« Similem vero melanuro ait Speusippus, secundo libro Similium, eum qui *pyrus* vocatur; quem Numenius *porum* nominat, ubi ait:

Aut porum, aut salpas, aut litoralem draconem.

94. Mormyrus. Plurimum nutrit, ut scribit Hicesius. Epicharmus vero, in Hebes Nuptiis, *myrmas* eos nominat, nisi hi naturâ diversi sunt. Scribit autem sic:

Καὶ [1] χελιδόνες, μύρμαι τε, [2]
τοί τε κολιᾶν [3] μέζονες
ἐντί. —

Δωρίων δ', ἐν τῷ Περὶ Ἰχθύων, μορμύλους αὐτοὺς
f καλεῖ. Λυγκεὺς δ' ὁ Σάμιος, ἐν τῇ Ὀψωνητικῇ Τέχνῃ, ἣν προσεφώνησέ τινι τῶν ἑταίρων δυσώνῃ, [4] φησίν· „Οὐκ ἄχρηστον δὲ πρὸς τοὺς ἀτενίζοντας καὶ μὴ συγκαθιέντας τῇ τιμῇ, καὶ τὸ κακῶς λέγειν παρεστηκότα [5] τοὺς ἰχθύας, ἐπαγόμενον Ἀρχέστρατον τὸν γράψαντα τὴν Ἡδυπάθειαν, ἢ [6] τῶν ἄλλων τινὰ ποιητῶν, καὶ λέγοντα τὸ μέτρον·

Μόρμυρος [7] αἰγιαλεὺς κακὸς ἰχθῦς, οὐδέ ποτ' ἐσθλός.

καί·

a Τὴν ἀμίαν ὠνοῦ Φθινοπώρου. —

„νῦν δ' ἔστιν ἔαρ." [8]

Κεστρέα τὸν θαυμαστὸν, ὅταν χειμὼν ἀφίκηται.

1 Deeſt vulgo Καὶ h. l. 2 χελιδόνες τε μυρμίαι vulgo h. l. 3 κοιλίαν vulgo. 4 Δύσανι ἢ Ζάνωνι edd. cum Ms. 5 παρεστηκότας vulgo. 6 Deeſt ἢ edd. & ms. *A*. 7 Μόρμυλος edd. 8 ἔαρ ἔστιν. ed. Caſ.

Et hirundines, & myrmae, qui coliis maiores ſunt.

Dorion vero, libro de Piſcibus, *mormylos* vocat. Lynceus autem Samius, in Arte Obſonatoria, quam inſcripſit ſuorum familiarium cuidam, homini in emendo difficili, ait: »Nec vero inutile fuerit adverſus homines inflexibiles & qui minuere pretium nolunt, ſi adſtans vituperaveris piſces, Archeſtratum citans eum qui Vitam Voluptariam ſcripſit, aut alium quempiam poëtam, verſiculumque illum pronunciáns:

Mormyrus litoralis, pravus piſcis, numquam bonus.

Aut:

Amiam eme autumno. — — » Nunc autem ver eſt.«
Mugilem admirabilem (emes,) *cum advenerit hyems.*

„ Νῦν δ' ἔστι θέρος." καὶ πολλὰ τῶν τοιούτων. Ἀποσοβήσεις γὰρ πολλοὺς τῶν ὠνουμένων καὶ προσεστηκότων. τοῦτο δὲ ποιῶν, ἀναγκάσεις τὸ σὸι δοκεῖν λαβεῖν αὐτόν.

XCV. TORPEDO.

ΝΑΡΚΗ. Πλάτων ἢ Κάνθαρος ἐν Συμμαχίᾳ·

Νάρκη γὰρ ἐφθὴ βρῶμα χαρίεν γίνεται.

Ὁ δὲ Φιλόσοφος Πλάτων ἐν Μένωνι φησί· „τῇ θαλαττίᾳ νάρκῃ. καὶ γὰρ αὕτη τὸν πλησιάζοντα νάρκας ποιεῖ." Ἡ δὲ κλῆσις αὐτῆς καὶ παρ' Ὁμήρῳ· b

— Νάρκησε δὲ χεῖρ ἐπὶ καρπῷ.

Μένανδρος δὲ, ἐν Φανῷ, [2] διὰ τοῦ α ἔφη·

— Ὑπελήλυθέν τε μου [3]

νάρκα τις ὅλον τὸ δέρμα. —

μηδενὸς τῶν παλαιῶν οὕτω κεχρημένου. Ἱκέσιος δέ φησιν, ἀτροφωτέραν καὶ ἀχυλοτέραν αὐτὴν εἶναι,

1 ἔφη vulgo. 2 Φανίῳ alibi apud Noſtrum, rectius. 3 ὑπελήλυθε δέ μου edd.

» *At nunc aeſtas eſt.* « — Et talia multa. Multos enim eorum qui emunt aut adſtant deterrebis: quo facto coges hominem, ut accipiat id quod tibi ſatis fuerit viſum.

95. TORPEDO. Plato ſive Cantharus, in Symmachia:

Torpedo enim elixa lepidus cibus eſt.

Philoſophus autem Plato in Menone dixit: » *Marinae torpedini*: [ſimillimus eſſe videris:] nam & illa torpere facit adpropinquantem. « Denominatio vero inde ducta reperitur apud Homerum:

— *Obtorpuit manus ad iuncturam.*

Menander vero, in Phano, [*ſive*, in Phanio] per α literam in fine (ἡ νάρκα)· dixit, ubi ait:

Subiit aliquis torpor totam meam cutim,

quâ vocabuli formâ nemo veterum uſus eſt. Hiceſius vero tradit, minus alere torpedinem, ſuccique minus gignere, habereque aliquid cartilagineum ſive grumo-

ἔχειν τε χονδρώδές τι διακεχυμένον, εὐστόμαχον πάνυ. Θεόφραστος δ', ἐν τῷ Περὶ τῶν Φωλευόντων, διὰ τὸ ψύχος, φησὶ, τὴν νάρκην κατὰ χῆς δύεσθαι. ἐν δὲ τῷ Περὶ τῶν Δακέτων καὶ Βλητικῶν, διαπέμπεσθαί φησι τὴν νάρκην τὴν ἀπ' αὐτῆς δύναμιν καὶ διὰ τῶν ξύλων καὶ διὰ τῶν τριοδόντων, ποιοῦσαν ναρκᾶν τοὺς ἐν χερσὶν ἔχοντας. εἴρηκε δὲ τὴν αἰτίαν Κλέαρχος ὁ Σολεὺς ἐν τῷ Περὶ Νάρκης. ἅπερ μακρότερα ὄντα ἐπιλέλησμαι, ὑμᾶς δὲ ἐπὶ τὸ σύγγραμμα ἀναπέμπω. Ἔστι δ' ἡ νάρκη, ὥς φησιν Ἀριστοτέλης, τῶν σελαχωδῶν καὶ τῶν σκυμνοτοκούντων. θηρεύει δ' εἰς τροφὴν ἑαυτῆς τὰ ἰχθύδια, προσαπτομένη, καὶ ναρκῶν καὶ ἀκινητίζειν ποιοῦσα. Δίφιλος δ' ὁ Λαοδικεὺς, ἐν τῷ [1] Περὶ τῶν Νικάνδρου Θηριακῶν, μὴ πᾶν τὸ ζῶον φησὶ τὴν [2] νάρκαν ἐμποιεῖν, μέρος δέ τι αὐτῆς· διὰ

1 Forſ. ἐν τοῖς. 2 Deeſt τὴν edd.

ſum (per corpus) diffuſum, quod valde commodum ſit ſtomacho. Theophraſtus vero, in libro de Latitantibus, torpedinem ait hyeme ob frigus terram ſubire. In Libro vero de Animantibus quae Morſu & Ictu laedunt, vim ſuam emittere ait torpedinem etiam per fuſtes & furcas, torpere facientem hos qui in manibus tale quid tenent. Cuius rei cauſſam explicavit Clearchus Solenſis in libro de Torpedine: ſed verba eius cum prolixiora ſint, memoriâ non teneo, quare ad ipſum librum vos remitto. Eſt autem torpedo, ut docet Ariſtoteles, e genere piſcium cartilagineorum, eorumque qui vivos pariunt catulos. Venatur autem ſibi pro pabulo piſciculos, quos dum attingit, ita torpere facit ut immobiles maneant. Diphilus vero Laodicenſis, in Commentario in Nicandri Theriaca, tradit, non totum animal adferre illum torporem, ſed partem eius quamdam; frequenti expe-

πείρας πολλῆς Φάσκων ἐληλυθέναι. Ὁ δ' Ἀρχέστρατος φησί·

Καὶ νάρκην ἑφθὴν ἐν ἐλαίῳ ἠδὲ καὶ οἴνῳ,
καὶ χλόῃ εὐώδει, καὶ βαιῷ ξύσματι τυροῦ.

Ἄλεξις, ἐν Γαλατείᾳ·

Νάρκην μὲν οὖν, ὥς φασιν, ὠνβυλευμένην
ὀπτᾶν ὅλην. —

ἐν δὲ Δημητρίῳ·

Ἔπειτα νάρκην ἔλαβον, ἐνθυμούμενος,
ὅτι δὴ [1] γυναικὸς ἐπιφερούσης δακτύλους
ἁπαλοὺς, ὑπ' ἀκάνθης μηδὲν ἐν τούτους παθεῖν.

XCVI. Xiphias.

ΞΙΦΙΑΣ. Τοῦτον Ἀριστοτέλης φησὶν ἔχειν τοῦ ῥύγχους τὸ μὲν ὑποκάτω μικρὸν, τὸ δὲ καθύπερθεν ὀστῶδες, μέγα, ἴσον τῷ ὅλῳ αὐτοῦ μεγέθει· τοῦτο δὲ καλεῖσθαι ξίφος· ὀδόντας δὲ οὐκ ἔχειν τὸν ἰχθῦν. Ἀρχέστρατος δὲ φησίν·

1 δεῖ ms. *Ep.*

rientiâ id ſe didiciſſe affirmans. Porro Archeſtratus ait:

Et torpedinem elixam in oleo atque etiam vino,
cum herbulis odoriferis, & exiguo caſei ramento.

Alexis, in Galatea:

Torpedo igitur, ut aiunt, condimentis ſcite perunctа,
aſſanda tota eſt.

In Demetrio vero ait:

Deinde torpedinem ſumſi, cogitans mecum,
uxor mea ſi intulerit digitos molliusculos,
nihil eos a ſpina paſſuros mali.

96. Xiphias. (ſive, Gladius *piſcis.*) Hunc Ariſtoteles ſcribit inferiorem roſtri partem habere brevem; ſuperiorem vero, oſſeam, longam, toti corpori longitudine parem: hanc vero partem, *gladium* vocari: dentibus autem carere hunc piſcem. De eo Archeſtratus ait:

Ἀλλὰ λάβε ξιφίου τέμαχος, Βυζάντιον ἐλθὼν,
οὐραίου τ' αὐτὸν τον σφόνδυλον. ἔστι δὲ κεδνὸς
f καὶν πορθμῷ, πρὸς ἄκραισι[1] Πελωριάδος προχοῇσι.
Τίς οὕτως τακτικὸς ἀκριβὴς, ἢ τίς οὕτως κριτὴς ὄψων,
ὡς ὁ ἐκ Γέλας, μᾶλλον δὲ Καταγέλας,[2] οὗτος ποιητής; ὃς ἀκριβῶς οὕτως διὰ λιχνείαν, καὶ τὸν πορθμὸν διέπλευσε, καὶ τῶν μερῶν ἑκάστου τῶν ἰχθύων τὰς ποιότητας καὶ τοὺς χυμοὺς[3] διὰ τὴν λιχνείαν ἐξήτασεν, ὥς τινα πραγματείαν βιωφελῆ καταβαλλόμενος.

XCVII. ORPHUS.

a Ὀρφώς. Καλεῖται δὲ καὶ ὀρφὸς, ὡς Πάμφιλος. Ἀριστοτέλης δὲ, ἐν πέμπτῳ Ζώων Μορίων,[4] ταχεῖαν λέγων γίνεσθαι τοῖς ἰχθύσι τὴν αὔξησιν, καὶ ὀρφὼς, φησὶν, ἐκ μικροῦ γίνεται μέγας ταχέως. ἔστι δὲ καὶ σαρκοφάγος καὶ καρχαρόδους, ἔτι δὲ καὶ μονήρης. ἴδιον δ' ἐν αὐτῷ ἐστι τὸ τοὺς θορικοὺς πόρους

1 ἄκραις mssti. 2 μᾶλλον δὲ καταγέλαστος ed. Caſ. 3 χυλοὺς edd. 4 Deeſt Μορίων edd.

Byzantium ubi veneris, ſalſum xiphiae cape pulpamentum,
ipſam caudae vertebram. Eſt vero nobilis
etiam in freto, ad extremum prope Peloriadem exitum.

Quis ita peritus ordinandarum (non acierum, ſed epularum) artifex, quam iſte ex Gela, quin potius ex *Catagela* (deridendus) poëta? qui gulae cauſſa adeo diligenter & fretum pernavigavit, & cuiusque partis piſcium qualitates & ſapores gulae cauſſa ſcrutatus eſt, quaſi operis vitae hominum perutilis fundamenta iaciens.

97. ORPHUS. Non modo ὀρφὼς per ω longum dicitur, ſed & ὀρφὸς per ο breve, ut monuit Pamphilus. Ariſtoteles libro quinto de Partibus Animalium, ubi dicit celeriter incrementum capere piſces, ait, orphum etiam celeriter ex parvo magnum fieri. Eſt autem & carnivorus, & ſerratis dentibus inſtructus. Porro vivit ſolitarius. Habet autem hoc proprium, quod nulla in eo

μὴ εὑρίσκεσθαι, καὶ τὸ δύνασθαι πολὺν χρόνον ζῆν μετὰ τὴν ἀνατομήν. ἔστι δὲ καὶ τῶν Φωλευόντων ἐν ταῖς χειμεριωτάταις ἡμέραις· χαίρει τε πρόσγειος μᾶλλον ὢν ἢ πελαγιος. ζῇ δ' οὐ πλέον δύο ἐτῶν. Μνημονεύων δ' αὐτοῦ Νουμήνιος φησί· b

Τοῖσί κεν εὐμαρέως θαλάμης ἀπὸ μακρὸν ἀείροις
σκορπίον, ἢ ὀρφὸν περιτηχέα· τῶν γὰρ ἐναγροῖς. [1]

καὶ πάλιν·

Γλαύκους, ἢ ὀρφῶν [2] ἔναλον γένος, ἢὲ μελάγχρουν
κόσσυφον. —

Δωρίων δὲ τὸν νέον φησὶν ὀρφὼν ὑπ' ἐνίων καλεῖσθαι ὀρφακίνην. Ἄρχιππος δ', ἐν Ἰχθύσιν·

Ἱερεὺς γὰρ ἦλθ' αὐτοῖσιν ὀρφὼς τοῦ θεοῦ. [3]

Κρατῖνος δ' ἐν Ὀδυσσεῦσιν· „τέμαχος ὀρφῶ χλιαρόν.“ Πλάτων, Κλεοφῶντι·

1 ἐπ' ἄχρης vulgo. 2 ὀρφὰν ms. *A*. 3 του θεῶν ms. *A*.

geniturae via reperiatur, & quod diu etiam vivat poſtquam diſſectus eſt. Eſt vero etiam ex eis qui latitant diebus maxime hiemalibus: amatque magis loca litori vicina, quam altum mare. Non vivit autem ultra biennium. Meminit huius Numenius his verbis:

Hisce (eſcis) *facile e cubili grandem excitaveris*
ſcorpium, aut aſperum orphum; horum quippe copioſam
feceris capturam.

Et rurſus:

Glaucos, aut orphorum marinum genus, nigramve
merulam.

Dorion vero ait, iuvenem orphum a nonnullis *orphacinen* vocari. Archippus vero, in fabula Piſcibus:

Sacerdos enim Dei venit ad illos orphus.

Cratinus, in Ulyſſibus: » Calidum orphi pulpamentum.« Plato, Cleophonte:

c — Σὲ γὰρ, γραῦ, συγκατῴκισεν σάπρὰν
ὀρφοῖσι σελαχίοις τε καὶ φάγροις βοράν.

Ἀριστοφάνης, Σφηξίν·

Ἤν μὲν ὠνῆταί τις ὀρφῶς,[1] μεμβράδας δὲ μὴ θέλῃ.

Τὴν μέντοι ἐνικὴν εὐθεῖαν ὀξυτόνως προφέρονται Ἀττικοί. Ἄρχιππος Ἰχθύσιν, ὡς πρόκειται. τὴν δὲ γενικὴν Κρατῖνος Ὀδυσσεῦσιν „τέμαχος ὀρφὼ χλιαράν.“

XCVIII. ORCYNUS.

Ὄρκυνος.[2] Δωρίων, ἐν τῷ Περὶ Ἰχθύων, τοὺς ὀρκύνους ἐκ τῆς περὶ Ἡρακλέους στήλας θα-
d λάσσης περαιουμένους ἐς τὴν καθ' ἡμᾶς ἔρχεσθαι θάλασσαν· διὸ καὶ πλείστους ἁλίσκεσθαι ἐν τῷ Ἰβηρικῷ καὶ Τυρρηνικῷ πελάγει· κἀντεῦθεν κατὰ τὴν ἄλλην θάλασσαν διασκίδνασθαι. Ἱκέσιος δὲ, τοὺς μὲν ἐν Γαδείροις ἁλισκομένους πιμελεστέρους εἶναι· μετὰ δὲ τούτους, τοὺς ἐν Σικελίᾳ. τοὺς δὲ πόρρω Ἡρακλείων στηλῶν ἁλιπεῖς, διὰ τὸ πλείονα τόπον ἐκ-

1 ὀρφῶς edd. 2 Ὄρκυνος h. l. edd. sed iidem mox ὀρκ.

Te enim, anus, hîc habitatum deduxit, putrem orphis & cartilagineis & phagris cibum.

Ariſtophanes, Veſpis:

Si quis orphos quidem emat, membradas autem nolit.

Quidquid ſit, rectum caſum ſingularis numeri acutum in ultima efferunt Attici. Sic Archippus in Piſcibus, verbis ſupra ſcriptis. Sic & genitivum; ut Cratinus in Ulyſſibus, verbis modo citatis.

98. ORCYNUS. Dorion, libro DE PISCIBUS, ſcribit, orcynos e mari quod eſt ad Columnas Herculeas transeuntes, noſtrum ingredi mare: ideoque maxima copia capi in Iberico & Etruſco mari: inde vero in reliquum mare diſpergi. Hiceſius vero, pinguiores eſſe ait qui Gadibus capiuntur; poſt hos, eos qui ad Siciliam: qui vero longius ab Herculeis columnis, minime pingues

νενῆχθαι. Ἐν Γαδείροις μὲν οὖν τὰ κλειδία καθ' αὑτὰ ταριχεύεται, ὡς καὶ τῶν ἀνταικαίων αἱ γνάθοι καὶ οὐρανίσκοι, καὶ οἱ λεγόμενοι μελανδρύαι [1] ἐξ αὐτῶν ταριχεύονται. Ἡικέσιος δέ φησι τὰ ὑπογάστρια c αὐτῶν λιπαρὰ ὑπάρχοντα τῇ εὐστομίᾳ πολὺ διαλλάσσειν τῶν ἄλλων μερῶν, τὰ δὲ κλειδία [μέρη] [2] εὐστομώτερα εἶναι τούτων.

XCIX. Asinus piscis, & Asellus.

99. Ὄνος καὶ Ὀνίσκος. Ὄνος, φησὶν Ἀριστοτέλης ἐν τῷ Περὶ Ζῴων, ἔχει στόμα ἀνερρωγὸς ὁμοίως τοῖς γαλεοῖς, καὶ οὐ συναγελαστικός. καὶ μόνος οὗτος ἰχθύων τὴν καρδίαν ἐν τῇ κοιλίᾳ ἔχει, καὶ ἐν τῷ ἐγκεφάλῳ λίθους ἐμφερεῖς μύλαις. Φωλεύει τε μόνος ἐν ταῖς ὑπὸ κύνα θερμοτάταις ἡμέραις, τῶν ἄλλων ταῖς χειμεριωτάταις φωλευόντων. Μνημονεύει d ὁ αὐτῶν Ἐπίχαρμος ἐν Ἥβας γάμῳ·

1 μελανδρίαι ed. Ven. Baſ. & Caſ. 1. μελανυδρίαι mssti. 2 Abeſt vox μέρη ms. *Ep.*

eſſe; quoniam plura maria pernataverint. Gadibus igitur ſale condiuntur ſolae claviculae, (*id eſt*, iugula) quemadmodum & antacaeorum maxillae & palatum, & quae *melandrya* dicuntur, ex his ſaliuntur. Hiceſius vero ſcribit, abdomina eorum pinguia eſſe, & ſuavitate ſaporis multum praeſtare caeteris partibus; claviculas autem (*ſive*, iugula) iſtis etiam ſuavitate praeſtare.

99. Asinus *piſcis*; & Asellus. Aſinus, ait Ariſtoteles in libro de Animantibus, habet os late patens, ſicut galei: non eſt gregalis: & unus hic e piſcibus cor in ventre habet; in capite vero lapides, molaribus ſimiles. Eſtque etiam unus qui ſe abſcondat calidiſſimis caniculae diebus, quum alii latitent diebus maxime hiemalibus. Meminit horum Epicharmus in Hebes Nuptiis:

Μεγαλοχάσμονάς τε χάννας,
κηκτραπελογάστορας [1] ὄνους.

Διαφέρει δὲ ὄνος ὀνίσκου, ὡς φησι Δωρίων ἐν τῷ Περὶ Ἰχθύων, γράφων οὕτως· „Ὄνος, ὃν καλέουσί τινες γάδον. Γαλλερίδας, ὃν καλέουσί τινες ὀνίσκον τε καὶ μάξεινον.“ [2] Εὐθύδημος δὲ, ἐν τῷ Περὶ Ταρίχων· „Οἱ μὲν βάκχον, φησὶ, καλοῦσιν· οἱ δὲ, γελαρίην· [3] οἱ δὲ, ὀνίσκον.“ Ἀρχέστρατος δὲ φησί·

a Τὸν δ' ὄνον Ἀνθηδὼν, [4] τὸν καλλαρίαν καλέουσιν,
ἐκτρέφει εὐμεγέθη, σομφὴν δὲ τρέφει τινὰ σάρκα,
κἄλλως [5] οὐχ ἡδεῖαν ἔμοιγε [μὲν, ἀλλά μιν ἄλλοι] [6]
αἰνοῦσιν· χαίρει γὰρ ὁ μὲν τούτοις, ὁ δ' ἐκείνοις.

Πολύποτς, Πολύποδος. [7] Οὕτως φαί- c.

1 ἐκτραπελογαστ. ed. Caſ. σκῆπτρα πελογ. ms. *A.* πελογαστ. ms. *Ep.* & κοιλογάστορας idem inter lineas. ποικιλογάστερας ed. Ven. & Baſ. 2 μυξῖνον ms. *Ep.* 3 γαλλερίην ms. *Ep.* 4 ἀνοήδων ed. Ven. & Baſ. cum Ms. 5 καλῶς vulgo. 6 ἔμοί με † ἄλλα edd. & verſ. ſq. δαίνουσαν iidem. ἔμοί γε ἀλλ' ὁ δαίνουσαν ms. *A.* ἔμοί γε ἀλλ' εἰδαίνουσαν ms. *Ep.* Corrigunt alii: ἔμοί γ', ἄλλοι δέ τε πολλοὶ αἰνοῦσιν &c. 7 Deeſt πολύποδος edd. & ms. *A.*

Et valde hiantes channas, & monſtroſis ventribus aſinos.

Differt autem aſinus (piſcis) ab aſello, ut docet Dorion libro de Piſcibus, ubi ita ſcribit: » *Aſinus*, (ὄνος,) quem adpellant nonnulli *gadum*. *Galleridas*, quem vocant nonnulli *aſellum*, (ὀνίσκον) & *maxînum*. Euthydemus vero, libro de Salſamentis: » Alii, inquit, *bacchum* vocant, alii *gelariam*, (ſive, galleriam,) alii *oniſcum*. Archeſtratus vero ait:

Aſinum piſcem, quem callariam vocant, Anthedon
alit magnitudine inſignem: habet is autem ſpongioſam
quamdam carnem,
caeterum haud ſane gratam mihi quidem; ſed alii multi
laudant. Gaudet enim alius his, alius illis.

100. Polypus. Πολύπους, πολύποδος, (*Polypus, poly-*

Polypus. Grammaticalia.

σὶν οἱ Ἀττικοί· ὡς καὶ Ὅμηρος,

Ὡς δ' ὅτε πουλύποδος θαλάμης ἐξελκομένοιο.

ἀνὰ λόγον· παρὰ τὸ ποὺς [1] γὰρ γέγονεν. Τὴν δὲ αἰτιατικὴν πολύπουν φασὶν, ὡς [2] Ἀλκίνουν, καὶ Οἰδίπουν. καὶ τρίπουν δὲ λέβητα Αἰσχύλος εἴρηκεν [3] b ἐν Ἀθάμαντι, ἀπὸ ἁπλοῦ τοῦ πούς, ὡς ὁ νοῦς. τὸ δὲ πώλυπον [4] λέγειν, Αἰολικόν· Ἀττικοὶ γὰρ πολύπουν [5] λέγουσιν. Ἀριστοφάνης Δαιδάλῳ·

[καὶ] ταῦτ' ἔχοντα, [6] πουλύπουν, [7] καὶ σηπίας.

καὶ πάλιν·

τὸν πουλύπουν [8] μοι ἔθηκε.

πάλιν·

Πληγαὶ [9] λέγονται πουλύπου [10] πιλουμένου.

Ἀλκαῖος, Ἀδελφαῖς μοιχευομέναις·

1 ποῦς edd. & sic mox iterum. 2 ὡς καὶ Ἀλκίνουν edd. 3 Αἰσχύλον εἰρηκέναι edd. 4 πόλυπον edd. 5 πουλύπουν malles. 6 ταῦθ' ἑκόντα, absque καὶ, vulgo h. l. 7 πολύπους vulgo. 8 πολύπουν vulgo. 9 Πηγαὶ ed. Ven. Baſ. & Caſ. 1. cum msstis. 10 πολύπου vulgo.

podis) dicunt Attici. Qua ratione etiam Homerus:

Veluti polypode e cubili extracto:

ſervatâ analogiâ: nam a nomine πούς formatum eſt. Accuſativum vero caſum πολύπουν dicunt, quemadmodum Ἀλκίνουν & Οἰδίπουν: atque etiam τρίπουν *lebetem* Aeſchylus dixit in Athamante; a ſimplici nomine πούς, ſicut a νεῦς eſt νοῦν. At πώλυπον (vel πόλυπον) dicere, Aeolicum eſt: nam Attici πολύπουν (aut πουλύπουν) dicunt. Ariſtophanes, Daedalo:

Et haec cum haberem, polypum & ſepias.

Et rurſus:

Polypum mihi adpoſuit.

Iterum:

Ictus dicuntur polypi tuſi.

Alcaeus, in Sororibus vitiatis:

ἠλίθιον εἶναι, νοῦν τε πουλύποδος [1] ἔχειν.

Ἀμειψίας, Κατεσθίοντι·

Δεῖ [μοι] [2] μὲν, ὡς ἔοικε, πολλῶν πουλύπων.

Πλάτων Παιδίῳ· [3]

c ὥσπερ τοὺς πολύποδας, πρώτιστα σέ.

Ἀλκαῖος·

— ἔδω δ' ἐμαυτὸν, ὥσπερ πουλύπους. [4]

Οἱ δὲ πουλύποδα [5] προφέρονται, ἀνάλογον τῷ πούς, ποδός, ποδί, πόδα. Εὔπολις, Δήμοις·

Ἀνὴρ πολίτης, πουλύπους ἐς τοὺς τρόπους.

CI. Varia de *Polyporum* natura.

Διοκλῆς δ' ἐν πρώτῳ Ὑγιεινῶν· „Τὰ δὲ μαλάκια, φησὶ, πρὸς ἡδονὴν καὶ πρὸς τὰ ἀφροδίσια μάλιστα δὲ οἱ πουλύποδες." [6] Ἱστορεῖ δ' Ἀριστοτέλης, τὸν πολύποδα ἔχειν πόδας ὀκτὼ, ὧν τοὺς μὲν ἄνω

1 πολύποδος edd. 2 Abeſt vulgo μοι. 3 Παιδὶ vulgo h. l. 4 Vulgo ὡς πολύπους. 5 πολύποδα edd. cum ms. *Ep.* 6 πολύποδες edd. cum ms. *Ep.*

Stolidum eſſe, mentemque habere polypodis.

Ameipſias, in Lurcone:

Opus erit (mihi,) *ut videtur, multis polypis.*

Plato, in Puerulo:

Veluti polypos, & primum omnium te.

Alcaeus:

Arrodo ipſe me, veluti polypus.

Alii vero accuſativum *polypoda* efferunt, ad analogiam vocabuli πούς, ποδός, ποδί, πόδα. Porro Eupolis, in Demis: (*ſeu*, Populis Atticae:)

Vir civis, polypus quoad mores.

101. Diocles, primo libro Salubrium: »Molluſca, inquit, ad voluptatem & ad venerem (ſtimulant:) maxime vero polypodes.« Docet autem Ariſtoteles, polypodem octo habere pedes: quorum duo ſupremi duo-

δύο καὶ κάτω ἐλαχίστους, τοὺς δ' ἐν μέσῳ μεγίστους· ἔχειν δὲ καὶ κοτυληδόνας δύο, αἷς τὴν τροφὴν προσά- d γεσθαι· τοὺς δ' ὀφθαλμοὺς, ἐπάνω τῶν δύο ποδῶν· τὸ δὲ στόμα καὶ τοὺς ὀδόντας, ἐν μέσοις τοῖς ποσίν. Ἀναπτυχθεὶς δὲ, ἐγκέφαλον ἔχει διμερῆ. Ἔχει δὲ καὶ τὸν λεγόμενον Θόλον, οὐ μέλανα, καθάπερ σηπία, ἀλλ' ὑπέρυθρον, ἐν τῷ λεγομένῳ μήκωνι. ὁ δὲ μήκων κεῖται ἐπάνω τῆς κοιλίας, οἱονεὶ κύστις. σπλάγχνον δὲ οὐκ ἔχει [1] ἀναλογοῦν. Τροφῇ δὲ χρῆται ἔστιν ὅτε καὶ τοῖς τῶν κογχυλίων σαρκιδίοις, τὰ ὄστρακα ἐκτὸς τῶν θαλάμων ῥίπτων· ὅθεν διαγινώσκουσιν οἱ e θηρεύοντες. Ὀχεύει δὲ συμπλεκόμενος, καὶ πολὺν χρόνον πλησιάζει, διὰ τὸ ἄναιμος εἶναι. Τίκτει δὲ διὰ τοῦ λεγομένου Φυσητῆρος, ὃς ἐστι πόρος τῷ σώματι. καὶ τίκτει ὠὰ βοτρυδόν.

1 ἔχειν edd.

que infimi, minimi; medii autem maximi. Habere autem etiam duo acetabula, quibus cibum ori admoveat: oculos vero supra duobus (superioribus) pedibus: os autem & dentes, in pedum medio. Dissectus & explicatus, cerebrum habere deprehenditur bipartitum. Habet vero etiam *atramentum* quod dicitur, sicuti sepia; nec vero illud nigrum, sed rubescens; inestque in ea parte, quae *mecon* sive *papaver* dicitur. Situm est autem papaver supra ventrem, veluti vesica. Intestinum vero, aliis piscibus simile, non habet. Cibo utitur, cum alio, tum subinde carne conchularum, quarum testas extra cubile suum proiicit; quo signo eos adesse intelligunt qui venantur. Coit complexu, longoque tempore coitum absolvit, quoniam exsanguis est. Parit autem per *fistulam* quae dicitur, qui est corporis meatus. Ova autem parit racematim.

CII. Polypus se ipsum comedit.

Λέγουσι δὲ καὶ, ὡς ἂν ἀπορήσῃ τροφῆς, ὅτι αὐτὸν κατεσθίει. ὧν εἷς ἐστι καὶ ὁ κωμῳδιοποιὸς [1] Φερεκράτης. οὗτος [2] γὰρ ἐν τοῖς ἐπιγραφομένοις φησὶν Ἀγρίοις·

Ἐνθρύσκοισιν [3] καὶ βρακάνοις καὶ
στραβήλοις ζῆν· ὁπόταν δ' ἤδη
πεινῶσι σφόδρα,
ὥσπερ τοὺς πουλύποδας [4] νύκτωρ
f αὐτῶν δακτύλους περιτρώγειν. [5]

Καὶ Δίφιλος ἐν Ἐμπόρῳ·

Πουλύπους [6] ἔχων ἁπάσας
ὁλομελεῖς τὰς πλεκτάνας,
οὐ περιβεβρωκὼς ἑαυτὸν
ἔστι, φίλτατε. — [7]

Τοῦτο δ' ἔστι ψεῦδος. ὑπὸ γὰρ τῶν γόγγρων διωκόμενος, τοὺς πόδας ἀδικεῖται. Λέγεται δὲ, ὡς, ἂν

1 κωμῳδοποιὸς edd. ut aliàs. 2 Forſ. οὕτως γὰρ. 3 Ἀνθρίσκοισιν Grot. 4 ὥσπερεὶ τοὺς πολύποδας vulgo. 5 Vulgo περιτρώγειν αὐτῶν τοὺς δακτύλους. 6 Πολύπους edd. 7 φίλτατον ms. *Ep.* φίλτατα edd. Forſan φιλτάτη.

102. Narrant etiam, polypum, in cibi penuria, ſe ipſum arrodere. In eorum numero, qui id perhibent, eſt comicus poëta Pherecrates, qui in fabula, cui titulus Feri homines, ſic ait:

Sylveſtribus anthriſcis, bracanisque, &
conchis vivere: ſin iam autem
admodum eſuriant,
veluti polypi faciunt, noctu
digitos arrodere ſuos.

Et Diphilus, in Mercatore:

Polypus integra brachia cuncta habens,
qui ſe ipſe non arroſit, eſt (nobis,) *o dulciſſima!*

At falſa ea fama eſt. Nam a congris perſequentibus polypum, pedes eius lacerantur. Narrant etiam, ſi quis

τις ταῖς θαλάμαις αὐτοῦ ἅλας ὑποσπείρῃ, εὐθέως
Mutat colorem. ἐξέρχεται. Ἱστορεῖται δὲ καὶ, ὅτι Φεύγων διὰ τὸν
Φόβον μεταβάλλει τὰς χρόας, καὶ ἐξομοιοῦται τοῖς a
τόποις ἐν οἷς κρύπτεται. ὡς καὶ ὁ Μεγαρεὺς Θέογνις
φησὶν ἐν ταῖς Ἐλεγείαις·

Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ,
τῇ προσομιλήσει, [1] τοῖος ἰδεῖν ἐφάνη.

Ὁμοίως ἱστορεῖ καὶ Κλέαρχος ἐν δευτέρῳ περὶ Παροιμιῶν, παρατιθέμενος τάδε τὰ ἔπη, οὐ δηλῶν ὅτου ἐστί·

Πουλύποδός μοι, τέκνον, ἔχων νόον, [2] Ἀμφίλοχ' ἥρως,
τοῖσιν ἐφαρμόζου, [3] ὧν ἂν καὶ [4] δῆμον ἵκηαι. b

CIII.

Alia, de Polypis.

Περὶ δὲ Τροιζῆνα, τὸ παλαιὸν, φησὶν ὁ αὐτὸς Κλέαρχος, οὔτε τὸν ἱερὸν καλούμενον πουλύπουν, οὔτε τὸν κωπηλάτην πουλίπουν νόμιμον ἦν θηρεύειν· ἀλλ'

1 προσεμιλήσῃ edd. cum ms. *A.* 2 νόου edd. 3 ἐφαρμόζων edd. cum ms. *A.* 4 ὧν καὶ ed. Ven. & Baſ. cum ms. *A.* ὧν κε ms. *Ep.* Forſan ὧν κεν κατὰ δῆμ.

cubili polybi inſperſerit ſalem, protinus hunc egredi. Traditur porro, ubi per metum fugiat, mutare polypum colorem, & ſimilem fieri locis in quibus occultetur: quemadmodum etiam Megarenſis Theognis in Elegiis ait:

Polypi mentem tene verſipellis, qui petrae
cuicumque adhaeſerit, talis viſu adparet.

Similiter & Clearchus tradit ſecundo libro de Proverbiis; ubi hos etiam verſus adpoſuit, cuiusnam ſint auctoris non declarans:

Polypodis mihi, fili, mentem tenens, Amphiloche nobilis,
eis te adcommoda, quorumcumque ad gentem veneris.

103. Idem Clearchus ſcribit, circa Troezenem olim nefas habitum eſſe venari vel eum qui *ſanctus* dicitur *polypum*, vel *polypum remigantem*. Vetitumque erat cum

ἀπεῖπον, τούτων τε καὶ τῆς θαλαττίας χελώνης μὴ ἅπτεσθαι. Ὁ δὲ πολύπους ἐστὶ συντηκτικὸς, καὶ λίαν ἀνόητος. πρὸς γὰρ τὴν χεῖρα τῶν διωκόντων βαδίζει, καὶ διωκόμενος ἔστιν ὅτε οὐχ ὑποχωρεῖ. συντήκονται δ' αὐτῶν αἱ θήλειαι μετὰ τὸν τόκον, καὶ παρίενται· διὸ καὶ ῥᾳδίως ἁλίσκονται. Ἑωράθησαν δέ ποτε καὶ
c ἐπὶ τὸ ξηρὸν ἐξιόντες, μάλιστα δὲ πρὸς τὰ τραχέα τῶν χωρίων· φεύγουσι γὰρ τὰ λεῖα. καὶ χαίρουσι δὲ τῶν φυτῶν καὶ ταῖς ἐλαίαις, καὶ πολλάκις εὑρίσκονται ταῖς πλεκτάναις περιειληφότες τὸ στέλεχος. ἐθεωράθησαν δὲ καὶ συκέαις προσπεφυκυίαις τῇ θαλάττῃ προσπλεκόμενοι, καὶ τῶν σύκων ἐσθίοντες, ὥς φησι Κλέαρχος ἐν τῷ Περὶ τῶν ἐν τῷ Ὑγρῷ. ἔστι δὲ δεῖγμα τοῦ ἥδεσθαι αὐτοὺς τῇ ἐλαίᾳ καὶ τοῦτο· ἐάν τις Oleae ramo capiuntur.
κλάδον τοῦ φυτοῦ τούτου καθῇ [1] εἰς τὴν θάλασσαν,
d καθ' ἣν εἰσι πουλύποδες, [2] καὶ μικρὸν ἐπίσχῃ, ἀπο-

1 καθίει edd. 2 πολύποδες edd. cum ms. *Ep.*

his veſci, tum & marina teſtudine. Eſt autem polypus tabi obnoxius, & alioqui valde brutus. Etenim ad eorum manum qui captant accedit: & a perſequentibus interdum ſe non recipit. Tabeſcunt autem eorum foeminae poſt partum, & elangueſcunt: quare & facile capiuntur. Conſpecti ſunt etiam nonnumquam in ſiccum exeuntes, maxime vero in loca aſperiora: fugiunt enim laevia. Delectantur etiam arbuſculis nonnullis, praeſertim oleis: & deprehenduntur nonnumquam caudicem cirris ſuis circumplexi. Deprehenſi ſunt etiam ficubus ad mare natis adhaerentes, ficosque comedentes, ut ait Clearchus in libro de his quae in Aqua degunt. Delectari autem illos oleâ, hoc etiam documento eſt; quod, ſi quis ramum huius arboris in mare demiſerit in quo degant polypi, & parum manſerit, ſine

νητὶ ἀνέλκει τῷ πλάδῳ περιπλεκομένους ὅσους ἐθέλει. Ἔχουσι δὲ τὰ μὲν ἄλλα μέρη ἰσχυρότατα, τὸν δὲ τράχηλον ἀσθενῆ.

CIV.

Polyporum generatio.

Λέγεται δὲ, αὐτῶν τὸν ἄῤῥενα ἕλκειν [1] αἰδοιῶδές τι ἐν μιᾷ τῶν πλεκτανῶν, ἐν ᾗ αἱ δύο μεγάλαι κοτυληδόνες εἰσίν. εἶναι δὲ τοῦτο νευρῶδες, μέχρι [2] εἰς μέσην τὴν πλεκτάνην ἅπαν προσπεφυκός. [3] Ἐν δὲ πέμπτῳ Μορίων φησὶν Ἀριστοτέλης· „Πολύπους ὀχεύει τοῦ χειμῶνος, καὶ τίκτει τῷ ἔαρι. Φωλεύει δὲ περὶ δύο μῆνας. ἔστι δὲ πολύγονον τὸ ζῷον. διαφέρει δὲ ὁ ἄῤῥην τῆς θηλείας, τῷ τε τὴν κεφαλὴν ἔχειν προμηκεστέραν, καὶ τῷ [4] τὸ καλούμενον ὑπὸ τῶν ἁλιέων αἰδοῖον ἔχειν ἐν τῇ πλεκτάνῃ. ἐπωάζει δὲ ὅταν τέκῃ· διὸ καὶ χείριστοί εἰσι κατὰ τὸν χρόνον τοῦτον. ἀποτίκτει δὲ ὁ μὲν πολύπους, [5] ἢ εἰς θαλάμας, ἢ εἰς κε-

1 ἔχειν ed. Baſ. & Caſ. ex Ariſtot. 2 μέχρις εἰς edd. 3 Reſtius apud Ariſtot. τὴν πλεκτ. προσπεφυκὸς, ὃ πᾶν ἐμπιφράναι εἰς τὸν μυκτῆρα τῆς θηλείας. 4 καὶ τὸ, absque τῷ, mssti. 5 πουλύπους ms. *A.* & ſic mox iterum. Abeſt nomen ms. *Ep.*

labore extrahat adhaerentes ramo quotquot voluerit. Habet autem polypus alias quidem partes robuſtiſſimas, cervicem vero parum validam.

104. Dicunt etiam, *polypum marem* habere aliquod velut pudendum in uno brachiorum, in quo ſunt duo maiora acetabula. Eſſe autem illud valde nervoſum, ad medium usque brachium adhaereſcens, [totumque illud in proboſcidem foeminae inferi.] Quinto vero libro de Partibus dicit Ariſtoteles: »*Polypus* coit hyeme, & parit vere. Latitat circiter duos menſes. Numeroſa prole foecundum animal eſt. Differt *mas* a *foemina* eo, quod caput longius habet, & in brachio habet id quod pudendum vocant piſcatores. Poſtquam peperit polypus, ovis incubat: quare illo tempore deterrimus eſt. Deponit autem ova ſive in cubili, ſive in teſta, ſive

ράμιον, ἤ τι ἄλλο τοιοῦτο [1] κοῖλον. καὶ μεθ' ἡμέρας πεντήκοντα ἐκ τῶν ὠῶν πολυπόδια ἐξέρπει, ὥσπερ τὰ Φαλάγγια πολλὰ τὸ πλῆθος. ὁ δὲ θῆλυς πολύπους, ὁτὲ μὲν ἐπὶ τοῖς ὠοῖς, ὁτὲ δ' ἐπὶ [2] τῷ στόματι προσκάθηται τῆς θαλάμης, τὴν πλεκτάνην ἐπέχων." f Θεόφραστος δὲ, ἐν τῷ Περὶ τῶν Μεταβαλλόντων τὰς Χρόας, τὸν πολύποδα, φησὶ, τοῖς πετρώδεσι μάλιστα μόνοις [3] συνεξομοιοῦσθαι, τοῦτο ποιοῦντα [4] φόβῳ καὶ φυλακῆς χάριν. Ἐν δὲ τῷ Περὶ τῶν ἐν τῷ Ξηρῷ διατριβόντων Ζώων, οὐ δέχεσθαι, φησὶ, τοὺς πολύποδας τὴν θάλατταν. Ἐν δὲ τῷ Περὶ τῶν κατὰ Τόπους ΔιαΦορῶν, ὁ Θεόφραστος, πολύποδας οὐ γίνεσθαι, φησὶ, περὶ Ἑλλήσποντον. ψυχρὰ γὰρ ἡ θάλασσα αὕτη, καὶ ἧττον ἁλμυρά· ταῦτα δ' ἀμΦότερα πολέμια πολύποδι.

CV. NAUTILUS.

„Ὁ δὲ ναυτίλος καλούμενος, Φησὶν Ἀριστοτέ-

1 τοιοῦτον edd. 2 Quinque voculae desunt ed. Ven. & Ms. Perperam vero ὅτε pro ὁτὲ edd. 3 τόποις, pro μόνοις, ed. Casaub. 4 ποιοῦνται edd.

in alio quodam simili cavo: & post dies quinquaginta ex ovis egrediuntur minuti polypi, veluti araneae, ingenti copiâ. Foemina vero polypus modo incubat ovis, modo orificio adsidet cubilis, brachia sua cohibens. « Theophrastus, in libro de his quae Colorem mutant, ait, polypodem nonnisi petrosis maxime (locis) similem se reddere; facere id autem metu, & suae custodiae caussa. In libro vero de his, quae in Sicco degunt, scribit, polypos aquam maris non recipere. In libro autem de Locorum differentiis idem Theophrastus scribit, nullos gigni polypos circa Hellespontum: frigidum enim esse illud mare, & minus salsum: utramque autem rem inimicam esse polypodi.

105. „Qui vero *nautilus* vocatur, inquit Aristoteles,

λης, πολύπους μὲν οὐκ ἔστιν, ἐμφερὴς δὲ κατὰ τὰς [1] πλεκτάνας. ἔχει δὲ τὸ νῶτον ὀστρακόδερμον. ἀναδύνει [2] δὲ ἐκ τοῦ βυθοῦ ἐφ' ἑαυτὸν ἔχων τὸ ὄστρακον, ἵνα μὴ a τὴν θαλατταν ἕλκῃ· ἐπαναστραφεὶς δ' ἐπιπλεῖ, ἄνω ποιήσας δύο τῶν πλεκτανῶν, αἱ μεταξὺ αὐτῶν λεπτὸν ὑμένα ἔχουσι διαπεφυκότα, ὡς καὶ τῶν ὀρνίθων οἱ πόδες ὁρῶνται μεταξὺ τῶν δακτύλων δερμάτινον ὑμένα ἔχοντες· ἄλλας δὲ δύο πλεκτάνας καθίησιν εἰς τὴν θάλασσαν ἀντὶ πηδαλίων. ὅταν δέ τι προσιὸν ἴδῃ, δείσας [3] συστέλλει τοὺς πόδας, καὶ πληρώσας αὑτὸν [4] τῆς θαλάσσης, κατὰ βυθοῦ ὡς τάχος χωρεῖ." Ἐν δὲ τῷ Περὶ Ζῳϊκῶν καὶ Ἰχθύων· „Πολύπους, φησὶ, b τὶς, ὁ μὲν τρεψίχρως· [5] ὁ δὲ, ναυτίλος."

CVI. Εἰς [6] τὸν ναυτίλον τεῦτον φέρεταί τι Καλλιμάχου τοῦ Κυρηναίου ἐπίγραμμα, οὕτως ἔχον·

1 Deeſt artic. edd. 2 ἀναφέρει ms. *Ep.* 3 δήσας edd. cum ms. *A.* 4 πλησάσας τὸ ὀστρακον τῆς θαλ. ed. Baſ. & Caſaub. 5 τριψίχρως ed. Ven. & Baſ. cum msstis. 6 Ἐπὶ edd.

is polypus quidem non eſt, ſed brachiis ei ſimilis. Huius dorſum teſtâ tegitur. Emergit autem e profundo, teſtam ſupra ſe habens, ne aquam illa trahat: deinde converſus, innatat ſupinus aquae, ſublatis duobus e ſuis brachiis, inter quae tenuis internata membrana diſtenditur; qualis eſt illa coriacea membrana, quam in avium nonnullorum pedibus inter digitos extentam videmus: duo autem alia brachia in mare demittit, quae ſunt ei pro gubernaculis. Ubi vero aliquid adverſus ſe videt accedere, metuens contrahit pedes, & aquâ teſtam implens, celeriter in profundum abit. « In libro vero De Animantibus & Piſcibus ait: » *Polypus* alius eſt *trepſichros;* (id eſt, cutem mutans;) alius *nautilus.* «

106. Ad hunc Nautilum ſpectat Callimachi Epigramma quoddam, quod ſic habet:

Κόγχος ἐγὼ, Ζεφυρῖτι, παλαίτερος[1] ἀλλὰ σὺ νῦν με,[2] Callimachi Epigramma in Nautilum.

Κύπρι, Σεληναίης ἄνθεμα πρῶτον ἔχεις,

Ναυτίλον· ὃς πελάγεσσιν ἐπέπλεον, εἰ μὲν ἀῆται,

τείνας οἰκείων λαῖφος ἀπὸ προτόνων·

εἰ δὲ Γαληναίη λιπαρὴ θεὸς,[3] οὖλος[4] ἐρέσσων

c ποσσὶν, ὥστ' ἔργῳ[5] τοὔνομα συμφέρεται.

ἕς τ' ἔπεσον παρὰ θῖνας Ἰουλίδας,[6] ὄφρα γένωμαι

σοὶ τὸ περίσκεπτον παίγνιον Ἀρσινόῃ,[7]

μηδ' ἐμοὶ ἐν θαλάμῃσιν ἔβ', ὡς πάρος, (εἰμὶ γὰρ ἄπνους,)

τίκτηται νοτερῆς[8] ὠὸν ἀλκυόνης.[9]

Κλεινίου ἀλλὰ θυγατρὶ δίδου χάριν· οἶδε γὰρ ἐσθλὰ

1 παλαίτερον corr. Bentl. πάλαι τέρυς Iacobs. 2 νῦν μοι Ms. 3 θέον (pro ἔθεον) corrigunt viri docti, ad sequentia referentes. 4 Corrigunt αὐτὸς ἐρέσσων. 5 ποσσὶν, ἵν' ἅσπερ καὶ edd. ἵν' ἅστ' ἔργῳ Ms. 6 Ἰουλίδος legebam cum aliis. 7 Ἀρσινόης edd. cum Ms. Ἀρσινόη (in vocat.) corrigunt alii. Post istud nomen autem maiorem distinctionem ponunt nonnulli. 8 τίκται τ' αἰνοτέρης vulgo. τίκτοιτ' αἰνοτέρης aut αἰνότεραι corrigunt alii. 9 ἀλκυόνος corrigunt alii: ἀλκυόνες alii.

Concha ego, o Zephyriti, (tenuis) olim; at nunc tu me,
o Cypri, Selenaeae donarium habes primum,
nautilum: qui maribus innatabam, flantibus quidem ventis
tendens velum e propriis meis rudentibus;
sin Galene splendens adesset Dea, totis viribus (sive,
crispus) remigans
pedibus, ut ipsi rei conveniret nomen.
Donec tandem electus sum in littus Iulidos; quo fierem
tibi spectabile ludicrum Arsinoae,
neque porro, sicut olim, meis in cubilibus (spiritu enim
careo)
pareretur aquatilis ovum alcyonis.
Sed Cliniae filiae tribue gratiam; quippe quae novit

ῥέζειν, καὶ Σμύρνης ἐστὶν ἀπ' Αἰολίδος.

Ἔγραψε δὲ καὶ Ποσείδιππος εἰς τὴν ἐν τῷ Ζεφυρίῳ d τιμωμένην ταύτην Ἀφροδίτην τόδε τὸ ἐπίγραμμα·

Posidippi Epigramma.

Τοῦτο, καὶ ἐν ποταμῷ, [1] καὶ ἐπὶ χθονὶ, τῆς Φιλαδέλφου

Κύπριδος ἱλάσκεσθαι ἱερὸν Ἀρσινόης·
ἣν ἀνακοιρανέουσαν ἐπὶ Ζεφυρηίδος ἀκτῆς
πρῶτος ὁ ναύαρχος θήκατο Καλλικράτης.
Ἡ δὲ καὶ εὐπλοίην δώσει, καὶ χείματι μέσσῳ
τὸ πλατὺ λισσομένοις ἐκλιπανεῖ πέλαγος.

Τοῦ πολύποδος μνημονεύει καὶ ὁ τραγικὸς Ἴων ἐν Φοίνιξι, λέγων· e

Καὶ τὸν πετραῖον πλεκτάναις ἀναίμοσι
στυγῶ μεταλλακτῆρα πουλύπουν χροός.

CVII.

Reliqua de Polybo.

Εἴδη δ' ἐστὶ πολυπόδων, ἐλεδώνη, [2] πολυποδίνη, [3] βολβοτίνη, [4] ὄσμυλος, ὡς Ἀριστοτέλης ἱστορεῖ

1 ἐν πόντῳ corr. Iacobs. 2 ἑλεδώνη edd. & sic mox iterum. 3 πολυποδίτη ed. Caſ. 4 βολβοτύνη ms. *A*. Forſan βολβιτίνη.

honeſta facere: eſt autem Smyrna oriunda Aeolide.

Scripſit vero etiam Poſidippus in eamdem Venerem quae in Zephyrio colitur, epigramma huiusmodi:

Hoc, & flumine vecti, & in terra verſantes, colite
Philadelphi Veneris templum Arſinoës:
quam in littore Zephyrio regnantem
primus conſecravit nauarchus Callicrates.
Illa & felicem navigationem dabit, & media in tempeſtate
latum molliet aequor ſupplicibus.

Polypi meminit etiam Ion tragicus in Phoenice, his verbis:

Saxatilemque cum exſanguibus cirris
odi mutantem colorem polypum.

107. Sunt autem ſpecies polypi, eledone, polypodine, bolbotine, osmylus; ut tradit Ariſtoteles & Speu-

καὶ Σπεύσιππος. ἐν δὲ τῷ Περὶ Ζωϊκῶν Ἀριστοτέλης, μαλάκια, φησὶν εἶναι, πολύποδας, [1] ὀσμύλην, ἐλεδώνην, σηπίαν, τευθίδα. Ἐπίχαρμος ἐν Ἥβας γάμῳ·

Πώλυποί τε, σηπίαι τε, καὶ ποταναὶ [2] τευθίδες,
χ' ἁ δυσώδης βολβιτίνη, [3] γραίαι τ' [4] ἐριθακώδεες.

f Ἀρχέστρατος δὲ φησί·

Πούλυποι [5] ἔν τε Θάτῳ καὶ Καρίᾳ εἰσὶν ἄριστοι·
καὶ Κέρκυρα τρέφει μεγάλους, πολλούς τε [6] τὸ πλῆθος.

Δωριεῖς δ' αὐτὸν διὰ τοῦ ω̄ καλοῦσι πωλύπουν, [7] ὡς Ἐπίχαρμος. καὶ Σιμωνίδης δ' ἔφη· „πώλυπον διζήμενος." Ἀττικοὶ δὲ πολύπους. [8] Ἔστι δὲ τῶν σελαχωδῶν· τὰ χονδρώδη δ' οὕτω λέγεται.

πουλύποδες, [9] γαλεοί τε κύνες. [10] —

1 πουλύποδας ms. *A*. 2 ποταιναὶ edd. ποτ' αἰναὶ ms. *A*. 3 Vulgo χαλυσώδεις βολβῖτις. Forſ. χ' αἱ δυσώδεις βολβιτῖναι. 4 γρυμαίαι ſuſpicabatur Caſaub. An γέρραι? 5 Πώλυποι vulgo. 6 Vulgo πολλοὺς μεγάλους τε. 7 πώλυπον malebam. 8 Temere πωλύπουν ed. Caſ. 9 πωλύποδες ed. Caſ. πολύποδες ed. Ven. & Baſ. cum ms. *A*. 10 γαλεοίη τε καὶ κύνες edd.

ſippus. In libro vero De Animantibus Ariſtoteles, mollusca, ait eſſe, polypodes, osmylen, eledonen, ſepiam, loliginem. Epicharmus, in Hebes Nuptiis:

Polypique, & ſepiae, volucresque loliginis,
& graveolentes bolbitinae, & graae glutinoſae. [?]

Archeſtratus vero ait:

Polypi & in Thaſo & in Caria ſunt optimi:
etiam Corcyra magnos alit, numeroque multos.

Dores per ω longum efferunt nomen, πωλύπουν; ut Epicharmus. Atque etiam Simonides ait »πώλυπον inveſtigans.« Attici vero πολύπουν. Eſt autem ex eorum genere qui σελάχη vocantur: quo nomine *cartilagineos* intelligunt.

Polypodes galeique canes. —

μαλάκια δὲ καλεῖται τὰ τευθιδώδη. [1] σελάχια δὲ τὰ τῶν ἐρίων [2] φῦλα. [3]

CVIII. PAGURUS. Πάγουροι. Τούτων μέμνηται Τιμοκλῆς ἢ Ξέναρχος, ἐν Πορφύρᾳ, οὕτως· a

— — — Εἶθ' ἁλιεὺς ὢν ἄκρος
σοφίαν, [4] παγούροις μὲν θεοῖς ἐχθροῖσι καὶ
ἰχθυδίοις εὕρηκα παντοδαπὰς τέχνας·
γέροντα βούγλωττον δὲ μὴ [5] ταχέως πάνυ
συναρπάσομαι; καλόν γ' ἂν εἴη. —

CIX. PELAMYS. Πηλαμύς. Φρύνιχος ἐν Μούσαις μνημονεύει. Ἀριστοτέλης δὲ ἐν πέμπτῳ Ζώων Μορίων· „Αἱ πηλαμύδες, φησὶ, καὶ οἱ θύννοι τίκτουσιν ἐν τῷ Πόντῳ, ἄλλοθι δὲ οὔ.“ Μνημονεύει αὐτῶν καὶ Σοφοκλῆς, ἐν Ποιμέσιν·

Ἔνθ' [6] ἡ πάροικος πηλαμὺς χειμάζεται, b

1 τευθάδη edd. 2 Mendam palam profitetur ms. *Ep.* 3 φύλλα edd. 4 ἐν παγούροις vulgo. 5 τὸ μὴ vulgo: quod tenens Casaub. corrigit dein συναρπάσαι με. 6 Εἶθ' edd.

Mollusca vero vocantur qui sunt de genere loliginum: *Selachia* autem (seu *cartilaginea*) . . . *orum* familiae.

108. PAGURI. Horum meminit Timocles aut Xenarchus in Purpura, ubi ait:

— Ego vero, piscator cum sim consummatus
in arte, paguris quidem, quos Dii male perdant, &
piscículis (capiendis) *omnigenas inveni artes:*
vetulam autem soleam non ocyus omnino
caperem? Lepidum quidem id foret.

109. PELAMYS. Phrynichus huius meminit in Musis. Aristoteles vero, quinto libro de Partibus Animalium: »Pelamydes, inquit, & thynni pariunt in Ponto, & nusquam alibi.« Meminit eorum etiam Sophocles in Pastoribus:

Ibi peregrina pelamys hibernat,

πάροικος Ἑλλησποντίς· ὡραία θέρους
τῷ Βοσπορίτῃ τῷδε γὰρ θαμίζεται.

ΠΕΡΚΑΙ. Τούτων μέμνηται Διοκλῆς, καὶ Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων, παραπλησίας εἶναι λέγων, πέρκην, χάνναν, φυκίδα. Ἐπίχαρμος δέ φησί· CX. PERCAE.

Κομαρίδας τε, καὶ κύνας, κέστρας τε, πέρκας τ' αἰόλας.

Νουμήνιος δ' ἐν Ἁλιευτικῷ·

Ἄλλοτε δ' αὖ πέρκας, ὁτὲ δὲ στροφάδας παρὰ πέτρην [1]
c φυκίδας, ἀλφηστήν τε, καὶ ἐν χροιῇσιν ἐρυθρὸν
σκορπίον. —

ΦΥΚΙΣ. [2] Καὶ ταύτης Ἐπίχαρμος ἐν Ἥβας γάμῳ μέμνηται, καὶ Σπεύσιππος ἐν δευτέρῳ τῶν Ὁμοίων, καὶ Νουμήνιος· ὧν τὰ μαρτύρια πρόκειται. Ἀριστοτέλης, ἐν τῷ Περὶ Ζῳϊκῶν, ἀκανθοστεφῆ φησιν PHYCIS.

133. Phagrus. Speusippus, secundo Similium, similes esse ait phagros, erythrinum, hepatum. Meminit eiusdem Numenius, cuius testimonium paulo ante appositum. Aristoteles vero, carnivorum esse, ait, & solitarium: habereque cor triangulare, & vigere aestate. Epicharmus vero, in Hebes Nuptiis, ait:

Aones, phagrique, & labraces.

Meminit eiusdem & Metagenes in Thurioperſis. Ameipsias vero in Conno:

Orphis, selachüsque, & phagris (eris) cibus.

Hicesius autem ait: »Phagri, & chromis, & anthias, & acarnanes, & orphi, & synodontes, & synagrides, genere quidem finitimi sunt: nam & dulces, & adstringentes, & multum nutrientes: eademque ratione etiam excretu difficiles. Largius autem ex his nutriunt car-

τῶν οἱ σαρκώδεις καὶ γεωδέστεροι, ἐλάττονά τε πιμελὴν ἔχοντες. Ἀρχέστρατος δὲ φησί· „Σειρίου ἀνατέλλοντος δεῖν τὸν φάγρον ἐσθίειν,

Δήλῳ τ', Εἰρετρίᾳ τε, κατ' εὐλιμένους ἁλὸς οἴκους.
Τὴν κεφαλὴν δ' αὐτοῦ μόνον ὠνοῦ, καὶ μετ' ἐκείνης
οὐραῖον· τὰ δὲ λοιπὰ δόμον μήδ' εἴσω ἐνέγκῃς." [1]

Μνημονεύει τοῦ φάγρου καὶ Στράττις, ἐν Λημνομέδᾳ· [2]

Πολλοὺς δὴ μεγάλους τε φάγρους ἐγκάψας. [3]

καὶ ἐν Φιλοκτήτῃ·

Κᾆτ' εἰς ἀγορὰν ἐλθόντες, ἁδροὺς
ὀψωνοῦσιν [4] μεγάλους τε φάγρους
καὶ Κωπαΐδων ἁπαλῶν τεμάχη
στρογγυλοπλεύρων. [5]

ἔστι δὲ καὶ γένος λίθου, φάγρος. ἡ γὰρ ἀκόνη κατὰ Κρῆτας φάγρος, ὥς φησι Σιμμίας.

1 μηδ' ἂν ἐσενέγκῃς ed. Casaub. μηδ' εἰσενέγκῃς mssti. Totus versus cum parte superioris deest ed. Ven. & Bas. 2 Λιμνομέδᾳ edd. 3 ἐγκάψας ed. Ven. & Bas. cum Ms. 4 ὀψωνοῦσι vulgo. 5 στρογγυλοπλεύρων vulgo.

nosi & qui magis terreni sunt, minusque habent pinguedinis. Archestratus vero ait: *Oriente Syrio comedendum phagrum,*

in Delo, & Eretriae, in habitationibus maritimis beneportuosis.
Caput autem eius solum eme, & cum eo
caudam: reliqua vero ne domum quidem introferas.

Meminit phagri Strattis etiam, in Lemnomeda:

Multis scilicet phagris magnisque devoratis.

Et in Philoctete:

Tum in forum progressi, copiosos
emunt magnosque phagros,
& tenerarum Copaidum frusta
teretium.

Est vero & lapidis genus, phagrus. Nam cos apud Cretenses *phagrus* vocatur, ut tradit Simmias.

CXXXIV. CHANNAE, vel CHANNI.

ΧΑΝΝΑΙ. Ἐπίχαρμος ἐν Ἥβας γάμῳ· f

Μεγαλοχάσμονάς τε χάννας,
κηκτραπελογάστορας [1] ὄνους.

Νουμήνιος, ἐν Ἁλιευτικῷ·

Χάννους τ', ἐγχελιάς τε, [2] καὶ ἐννυχίην πίτινον. [3]

Μνημονεύει δ' αὐτοῦ καὶ Δωρίων, ἐν τῷ Περὶ Ἰχθύων. Ἀριστοτέλης δ', ἐν τῷ Περὶ Ζωϊκῶν, [4] ποικιλέρυθρον μέλαιναν αὐτὴν ὀνομάζει, καὶ ποικιλόγραμμον, διὰ τὸ μελαίναις γραμμαῖς πεποικίλθαι.

CXXXV. CHROMIS.

ΧΡΟΜΙΣ. Καὶ τούτου μνημονεύει Ἐπίχαρμος, a λέγων·

Καὶ σκιφίας, χρόμιάς τε [5] ὃς ἐν τῷ
ἦρι κατὰ τὸν [6] Ἀνάνιον
ἰχθύων πάντων ἄριστος.

Νουμήνιος δ' ἐν Ἁλιευτικῷ·

1 ἐκτραπελογαστ. edd. 2 πελίας τε vulgo h. l. 3 Alibi πίτυνον. πιτύϊνον coni. Gesn. ἐρίτιμον Casaub. 4 περὶ Ζώων ed. Cas. cum Epit. 5 Alibi χρόμιός τε vel χρόμιός θ'. 6 Rectius κατὰν alibi.

134. CHANNAE. Epicharmus, in Hebes Nuptiis:

Hiantes admodum channas, & monstroso ventre asellos.

Numenius in Halieutico:

Channos, & anguillas, & nocturnum pitinum.

Meminit eiusdem Dorion, libro DE Piscibus. Aristoteles vero, in libro DE Animantibus, e rubro & nigro variegatam channam nominat, & poecilogrammon, quia nigris lineis est distincta.

135. CHROMIS. Etiam huius mentionem facit Epicharmus, dicens:

Et sciphias, chromiasque, qui verno tempore,
ut ait Ananius,
piscium omnium optimus.

Item Numenius, in Halieutico:

Ὕκκην, [1] ἢ κάλλιχθυν, ἢε χρόμιν, ἄλλοτε δ' ὀρφόν.

Καὶ Ἀρχέστρατος·

Τὸν χρόμιν ἐν Πέλλῃ λήψῃ μέγαν (ἔστι δὲ πίων, ἂν θέρος ᾖ·) [2] καὶ ἐν Ἀμβρακίᾳ. —

CXXXVI. CHRYSOPHRYS.

ΧΡΥΣΟΦΡΥΣ. Ἄρχιππος ἐν Ἰχθύσιν·

Ἱερὸς [3] Ἀφροδίτης χρύσοφρυς Κυθηρίας. [4]

b Τοὺς δ' ἰχθῦς τούτους, φησὶν Ἱκέσιος, καὶ τῇ γλυκύτητι καὶ τῇ ἄλλῃ εὐστομίᾳ πάντων εἶναι ἀρίστους. εἰσὶ δὲ καὶ τροφιμώτατοι. Τίκτουσι δέ, ὥς φησιν Ἀριστοτέλης, ὁμοίως τοῖς κεστρεῦσιν, οὗ ἂν ποταμοὶ ῥέωσιν. Μνημονεύει δ' αὐτῶν καὶ Ἐπίχαρμος ἐν Μούσαις, καὶ Δωρίων ἐν τῷ Περὶ Ἰχθύων. Εὔπολις δ', ἐν Κόλαξι, φησίν·

Δραχμῶν ἑκατὸν ἰχθῦς ἐωνημένος, μόνον [5]
ὀκτὼ λάβρακας, χρυσόφρυς [6] δώδεκα. [7]

1 Aliàs Ὕκκην mssti. 2 Vulgo ἂν θέρος, ἢ καὶ ἐν Ἀμβρ. 3 Ἱεροὺς ed. Ven. & Baſ. cum ms. *A*. 4 Κυβερείας ms. *Ep.* ſed Κυθηρίας idem inter lineas. 5 ὀκτὼ transponendum videtur cum μόνον. 6 χρύσοφρυς edd. 7 δέδωκα ms. *A*.

Hyccam, aut callichthyn, aut chromin, ſubinde & orphum.

Et Archeſtratus:

Chromin Pelle habebis magnum; (eſt autem pinguis aeſtate;) atque etiam Ambraciae.

136. CHRYSOPHRYS. Archippus, in Piſcibus:

Veneri ſacer chryſophrys Cytheriae.

Eſſe autem hos piſces, ait Hiceſius, & dulcedine & reliqua ſaporis gratia omnium praeſtantiſſimos. Nutriunt vero etiam validiſſime. Pariunt autem, ut ſcribit Ariſtoteles, quemadmodum mugiles, ad fluminum oſtia. Meminit eorumdem & Epicharmus in Muſis, & Dorion de Piſcibus. Eupolis vero, in Adulatoribus, ait:

Drachmis centum piſces cum emerim, nonniſi octo labraces, chryſophryas duodecim.

Ὁ δὲ σοφὸς Ἀρχέστρατος, ἐν ταῖς Ὑποθήκαις, λέγει·

Χρύσοφρυν ἐξ Ἐφέσου τὸν πίονα μὴ παράλειπε,
ὃν κεῖνοι καλέουσιν ἰωνίσκον· λαβὲ δ' αὐτὸν, c
θρέμμα Σελινοῦντος σεμνοῦ. πλύνον δέ νιν ὀρθῶς,
εἶθ' ὅλον ὀπτήσας παράθες, κἂν ᾖ δεκάπηχυς.

CXXXVII. CHALCIDES: & harum similes.

ΧΑΛΚΙΔΕΣ· καὶ τὰ ὅμοια, θρίσσαι, τριχίδες, ἐρίτιμοι. Ἱκέσιος φησίν· „Αἱ λεγόμεναι χαλκίδες καὶ οἱ τράγοι, καὶ αἱ ῥαφίδες, καὶ θρίσσαι· ἀχυρώδεις, καὶ ἁλιπεῖς, καὶ ἄχυλοι.“ Ἐπίχαρμος δ' ἐν Ἥβας γάμῳ·

Χαλκίδες θ', ὗές τε, ἱεράκες τε, χ' ὡ πίων κύων.

Δωρίων δὲ χαλκιδικὰς αὐτὰς ὀνομάζει. Νουμήνιος d δὲ φησί·

— Σὺ δ' ἂν καὶ χαλκίδ' ἐκείνην
αὖτως ἀμπείραις [1] καὶ ὀλίγην μαινίδα. —

Διαφέρει δὲ τῆς χαλκίδος ὁ χαλκεὺς, οὗ μνημο-

1 ἂν πείραιο edd. cum ms. *A*.

Sapiens vero Archeſtratus, in ſuis Praeceptis, ſcribit:

Chryſophryn ex Epheſo pinguem non praetermitte,
quem illi ioniſcum vocant: ſume illum autem,
venerandae Selinuntis alumnum. Hunc lava probe;
deinde totum aſſum adpone, ſi vel decem fuerit cubitorum.

137. CHALCIDES; & harum ſimiles, *Thrissae*, *Trichides*, *Eritimi*. Hiceſius ſcribit: » *Chalcides* quae dicuntur, & hirci, & acus, & thriſſae; acroſi piſces, minime pingues, & exſucci. « Epicharmus, in Hebes Nuptiis:

Chalcidesque, ſuesque, & hieraces, & pinguis canis.

Dorion vero *chalcidicas* has adpellat. Numenius vero ait:

— *Tu nempe chalcidem illam*
furcâ perinde tranſfixeris atque parvam maenidem.

Differt vero a chalcide χαλκεὺς, (quaſi *faber*:) cuius

νεύει Ἡρακλείδης ἐν Ὀψαρτυτικῷ, καὶ Εὐθύδημος ἐν τῷ περὶ Ταρίχων· λέγων, αὐτοὺς γίνεσθαι ἐν τῇ Κυζικηνῶν χώρᾳ, περιφερεῖς τε εἶναι καὶ κυκλοειδεῖς. Θρισσῶν δὲ μέμνηται Ἀριστοτέλης ἐν τῷ περὶ Ζώων καὶ Ἰχθύων, ἐν τούτοις· „Μόνιμα· θρίσσα, ε ἐγκρασίχολος, μεμβρὰς, κορακῖνος, ἐρυθρῖνος, τριχίς.“ [1] Τριχίδων [2] δὲ Εὔπολις, ἐν Κόλαξιν· Trichides.

Ἐκεῖνος ἦν φειδωλὸς, ὃς ἐπὶ τοῦ βίου
πρὸ τοῦ πολέμου μὲν τριχίδας ὠψώνησ' ἅπαξ,
ὅτε τὰ 'ν Σάμῳ δ' ἦν, ἡμιωβολίου κρέα.

Ἀριστοφάνης ἐν Ἱππεῦσι·

Αἱ τριχίδες εἰ γένοιντο [3] ἑκατὸν τοῦ βολοῦ.

Δωρίων δ', ἐν τῷ περὶ Ἰχθύων, καὶ τῆς ποταμίας μέμνηται θρίσσης, καὶ τὴν τριχίδα τριχίαν ὀνομάζει. Νικοχάρης, Λημνίαις·

1 Abeſt τριχὶς ms. *Ep.* 2 Τριχιῶν ms. *A.* cum ed. Ven. & Baſ. 3 γενοίαθ' apud Ariſtoph.

Heraclides meminit in Opſartytico, & Euthydemus in libro de Salſamentis, qui ait, gigni hos in Cyzicenorum regione, eſſeque rotundos & orbiculatos. Thrissarum vero Ariſtoteles meminit in libro de Animantibus & Piſcibus, ubi ait: »Locum non mutant, thriſſa, encraſicholus, membras, coracinus, erythrinus, trichis.« Trichidum vero mentionem Eupolis facit, in Adulatoribus:

Ille parcus erat, qui ſemel in vita
ante bellum trichidas obſonatus eſt,
Samico vero bello, carnem ſemiobolo emtam.

Ariſtophanes, in Equitibus:

Trichides ſi centum uno obolo venirent.

Dorion vero, in libro de Piſcibus, *fluviatilis* etiam *thriſſae* meminit; & trichidem *trichiam* nominat. Nicochares, Lemniis:

Τριχίας [1] δὲ καὶ τὰς πρημάδας [2] τὰς θυννίδας
ἐπίδειπνον ἠκούσας ὑπερπληθεῖς. —

(Πρημνάδας δὲ τὰς θυννίδας ἔλεγον. Πλάτων, f
Εὐρώπῃ·

Ἁλιευόμενος [3] ποτ' αὐτὸν εἶδεν ἀνδραχθῆ, [4]
μετὰ πρημνάδων· [5] κἄπειτ' ἀφῆκ', [6] ὅτι ἦν
βόαξ.)

Ὁμοίως δὲ καὶ Ἀριστοτέλης ἐν πέμπτῳ Ζώων Μορίων· ἐν δὲ τῷ ἐπιγραφομένῳ Ζωϊκῷ, τριχίδα. Τῶν δὲ λεγομένων ἐστὶν, ὅτι [7] ἥδεται ὀρχήσει καὶ ᾠδῇ, καὶ
ERITIMI, Sardini, &c. ἀκούσας ἀναπηδᾷ ἐκ τῆς θαλάττης. Τῶν δ' ΕΡΙΤΙΜΩΝ μέμνηται Δωρίων· λέγων κατὰ τὸ αὐτὸ ποιεῖν ταῖς χαλκίσιν, ἡδεῖς δὲ εἶναι τὰς [8] ἐν ὑποτρίμματι. Ἐπαίνετος δ', ἐν τῷ Περὶ Ἰχθύων, φησί· „Γα-

1 Τριχιάδας vulgo. 2 Forſ. πρημνάδας, ut mox. 3 ἁλιεύμενος mssti & ed. Ven. & Baſ. 4 εἶδον ἀνδράχμη edd. cum ms. *A*. 5 πρημάδων ed. Caſ. 6 ἀφῆκεν vulgo. 7 ἐστὶ (pro ἐστὶν, ὅτι) ms. *A*. τριχίδα τὸν λεγόμενον ὅτι edd. 8 εἶναι καὶ ἐν corr. Caſ.

Trichias vero, & premadas thynnidas,
in coenam adpoſitas ingenti copiâ.

(*Premnadas* vero, [aut *premadas*] dicebant thynnidas. Sic Plato, in Europa:

Piſcans vidit eum aliquando tanta mole, cui ferendae vix par eſſet,
inter premnades: mox vero dimiſit, quia boax eſſet.)

Similiter vero etiam Ariſtoteles [*trichiam* vocat,] quinto libro DE Partibus Animalium: in illo vero qui Ζωϊκὸς (id eſt, de Animantibus) inſcribitur, *trichidem* nominat. De hoc piſce fama eſt, gaudere eum ſaltatione & cantu, auditoque cantu proſilire e mari. ERITIMORUM Dorion meminit, dicens, eamdem horum rationem eſſe atque chalcidum; eſſe vero inprimis gratos cum intrito. Epaenetus vero in libro DE Piſcibus ait:

λῆν· σμαρίδα, [1] ἣν ἔνιοι καλοῦσι κυνὸς εὐνάν· [2] χαλκίδας, τὰς καλοῦσι καὶ σαρδίνους· ἐριτίμους· [3] ἱέρακα· χελιδόνα." Ἀριστοτέλης δ', ἐν πέμπτῳ Ζώων Ἱστορίας, [4] σαρδίνους αὐτὰς [5] καλεῖ. Καλλίμαχος δ', ἐν Ἐθνικαῖς Ὀνομασίαις, γράφει οὕτως· „Ἐγκρασίχολος, ἐρίτιμος· Χαλκηδόνιοι. τριχίδια, χαλκὶς, ἴκταρ, [6] ἀθερίνη." ἐν ἄλλῳ δὲ μέρει καταλέγων ἰχθύων ὀνομασίας, φησίν· „Ὄζαινα, ὀσμύλιον· Θούριοι. [7] Ἴωπες, ἐρίτιμοι· Ἀθηναῖοι." Τῶν δὲ ἰώπων μνημονεύει Νίκανδρος, ἐν Βοιωτιακῷ·

Ὡς δ' ὁπότ' ἀμφ' ἀγέλῃσι νεηγενέεσσιν [8] ἰώπων
ἢ φάγροι, ἢ σκῶπες ἀρείονες, ἠὲ καὶ ὀρφός. [9]

Ἀριστοφάνης δ' ἐν Ὁλκάσιν·

Ὦ κακόδαιμον, [10] ὅστις ἐν ἅλμῃ

Iopes.

1 σμυρνίδα vulgo h. l. 2 κυνὸς εὐνὰν corrigunt. κύνος εὐνὰς ms. A. 3 Perperam ἐρίμους ed. Caſ. 4 Μορίων corr. Caſ. 5 αὐτοὺς deſideraſſes. 6 Rectius fuerit ἰκτάρα. 7 Θούριοι vulgo, velut nomen piſcis recenſeretur. 8 ἀγέλησιν εὐγενέεσσιν edd. 9 ὀρφώς edd. 10 κακοδαίμων corr. Br.

»Muſtelam: ſmaridem, quam *canis cubile* nonnulli appellant: chalcidès, quas & *ſardinos* vocant: eritimos: hieracem: hirundinem. « Ariſtoteles vero, quinto Hiſtoriarum Animalium, *ſardinos* eas vocat. Callimachus autem, in Nominibus apud diverſos Populos uſitatis, ſic ſcribit: »Encraſicholus, eritimus: Chalcedonii. Trichidia, chalcis, ictara, atherine. « In alia vero operis parte, nomina recenſens piſcium, ait: »Ozaena, osmylion: Thurii. Iopes, eritimi: Athenienſes. « *Iopum* vero meminit Nicander, in Boeotico:

Ut cum circa greges recens natorum iopum
ſive phagri, ſive ſortiores ſcopes, ſive etiam orphus.

Ariſtophanes vero, in Navibus onerariis:

O infelix, qui in muria

πρῶτον τριχίδων ἀπεβάφθη.

τοὺς γὰρ εἰς τὸ ἀπανθρακίζειν ἐπιτηδείους ἰχθῦς εἰς ἅλμην ἀπέβαπτον· ἣν καὶ Θασίαν ἐκάλουν ἅλμην. ὡς καὶ ἐν Σφηξὶν ὁ αὐτός φησι ποιητής·

Καὶ γὰρ πρότερον δὶς ἀνθρακίδων ἅλμην πιών.

CXXXVIII. THRATTAE.

ΘΡΑΤΤΑΙ. Ἐπεὶ δ' ἐνταῦθα τοῦ λόγου ἐσμὲν, προδιειλέγμεθά τε περὶ θριττῶν· φέρε εἴπωμεν, τίνες εἰσὶν αἱ παρὰ Ἀρχίππῳ ἐν Ἰχθύσι τῷ δράματι θρᾶτται. κατὰ τὰς συγγραφὰς γὰρ τῶν ἰχθύων καὶ Ἀθηναίων ταυτὶ πεποίηκεν·

Ἀποδοῦναι δ' ὅσα ἔχομεν ἀλλήλων·
ἡμᾶς μὲν τὰς θρᾴττας,
καὶ ἀθερίνην τὴν αὐλητρίδα,
καὶ σηπίαν τὴν Θύρσου, καὶ τοὺς τριγλίας,
καὶ Εὐκλείδην τὸν ἄρξαντα,
καὶ Ἀναγυρουντόθεν τοὺς κορακιῶντας, [1]

1 κοραχιῶντας *Epit.*

ante trichides merſus eſt.

Nam piſces idoneos qui ſuper prunis torrerentur, in muriam prius intingebant, quam etiam Thaſiam adpellabant. Sic vero idem poëta etiam in Veſpis ait:

Prius enim bis anthracidum muriam ebibit.

138. THRATTAE. Sed quoniam in hunc ſermonem incidimus, poſtquam de thriſſis verba fecimus, dicamus, age, *thrattae* quaenam ſint, quae apud Archippum in Piſcibus memorantur. Nam in Foedere inter Piſces inito & Athenienſes, haec ſcribit poëta:

Reddamusque quae alteri ab alteris habemus:
nos quidem Thrattas;
& Atherinam tibicinam;
& Sepiam Thyrſi filiam; & Triglias;
& Euclidem, qui ſummum magiſtratum geſſit;
& ex Anagyrunte coraciontes; (vel, *coraciones;*)

καὶ κωβιοῦ τοῦ Σαλαμινίου τόκον,
καὶ βάτραχον τὸν πάρεδρον τὸν ἐξ Ὠρεοῦ.

Ἐν τούτοις ἄν τις ζητήσειε ποίας θράττας παρὰ τοῖς ἰχθύσιν εἶναι συμβέβηκεν, ἃς ἀποδοῦναι τοῖς ἀνθρώποις συντίθενται. Ἐπεὶ οὖν ἰδίᾳ μοὶ συγγέγραπταί τι περὶ τούτου, αὐτὰ τὰ καιριώτατά νῦν λέξω. Ἰχθύδιον οὖν d ἐστιν ἀληθῶς ἡ θράττα θαλάττιον. καὶ μνημονεύει αὐτοῦ Μνησίμαχος ἐν Ἱπποτρόφῳ· ποιητὴς δ' ἐστὶν οὗτος τῆς μέσης κωμῳδίας· λέγει δ' οὕτως·

Μύλλος, λεβιὰς, σπάρος, αἰολίας,
θρᾶττα, χελιδὼν, καρὶς, τευθίς.

Δωρόθεος δ' ὁ Ἀσκαλωνίτης, ἐν τῷ ὀγδόῳ πρὸς τοῖς ἑκατὸν τῆς Λέξεως συναγωγῆς, θέτταν[1] γράφει· ἤτοι ἡμαρτημένῳ περιτυχὼν τῷ δράματι, ἢ διὰ τὸ ἄηθες τοῦ ὀνόματος αὐτὸς διορθώσας ἐξήνεγκεν. ὅλως δ'

1 Fortaſſe θρῆτταν vel θρέτταν hîc oportebat, & paulo poſt τὸ τῆς θρήττης (vel θρέττης) ὄνομα.

& Gobii Salaminii prolem;
& Batrachum, adſeſſorem, ex Oreo.

In his, quaerat aliquis, quaenam tandem ſint inter piſces *thrattae*, quas illi hominibus ſe reddituros paciſcuntur. Quoniam igitur ſingulatim nonnihil ſuper ea quaeſtione a me ſcriptum exſtat, nunc nonniſi quae maxime ad rem pertinent dicam. Scilicet revera piſciculus marinus illa thratta eſt. Meminitque eius Mneſimachus, mediae Comoediae poëta, in Hippotropho, ubi ait:

Myllus, lebias, ſparus, aeolias,
thratta, hirundo, ſquilla, loligo.

Dorotheus vero Aſcalonita, octavo & centeſimo libro Collectionis Vocabulorum, *thettam* [an *threttam?*] ſcribit; ſive quod corrupto fabulae exemplo incidit, ſive quod ipſe, cum inſolens ipſi videretur nomen, ſic corrigens

οὐδ' ἔστιν τὸ τῆς θέττης [1] ὄνομα παρ' οὐδενὶ τῶν Ἀττικῶν. ὅτι δὲ θρᾶτταν ἔλεγον τὸ θαλάττιον ἰχθύδιον, καὶ Ἀναξανδρίδης παρίστησιν, ἐν Λυκούργῳ λέγων οὕτως·

Καὶ συμπαίζειν [2] κορακινιδίοις
μετὰ περκιδίων καὶ θραττιδίων.

Καὶ Ἀντιφάνης, ἐν Τυρρηνικῷ·

Α. Δήμου δ' Ἀλαιεύς ἐστιν. [3] ἓν γὰρ τοῦτό μοι
τὸ λοιπόν ἐστι, καὶ κακῶς ἀκούσομαι.
Β. Τί δῆτα τοῦτο; Α. Θρῆτταν, ἢ ψῆτταί τιν', ἢ
μύραιναν, ἢ κακόν τι μοι δώσει μέγα
θαλάττιον.

CXXXIX. Passer, piscis.

ΨΗΤΤΑΙ. Ταύτας Διοκλῆς ἐν τοῖς ἑπτερότεροις καταριθμεῖται. Σπεύσιππος δ', ἐν [4] δευτέρῳ Ὁμοίων, παραπλήσιά [5] φησιν εἶναι ψῆτταν, βούγλωσσον, ται-

1 Vulgo τὸ τῆς θράττης ὄνομα. 2 συμπαίζειν h. l. ed. Ven. & Baſ. cum Ms. συμπλήσιαζειν ed. Caſ. 3 ἁλιεύς ἐστιν ed. Baſ. & Caſ. 4 ἐν absque δ' edd. 5 παράπλησίαν edd.

edidit. Omnino autem *thettae* [ſive *threttae*] nomen apud nullum Atticorum reperitur. Sed, *thrattam* Atticos dixiſſe marinum piſciculum, Anaxandrides etiam palam facit, in Lycurgo his utens verbis:

Et colludens coracinidiis,
cum percidiis & thrattidiis.

Et Antiphanes, in Tyrrhenico:

A. *Pago Halaeenſis eſt. Hoc enim unum mihi eſt reliquum, ut male audiam.*
B. *Quid hoc tandem?* A. *Thrattam, aut paſſerem aliquem, aut muraenam, aut neſcio quod magnum mihi dabit malum marinum.*

139. Passeres. Hos Diocles in ſiccioribus durioribusque numerat. Speuſippus vero, ſecundo Similium, ſimiles eſſe ait, paſſerem, bugloſſum, taeniam. Ariſto-

νίαν. Ἀριστοτέλης δ', ἐν πέμπτῳ Ζώων Μορίων, [1] γράφει· „Ὁμοίως δὲ καὶ τῶν ἰχθυδίων οἱ πλεῖστοι ἅπαξ τίκτουσιν, οἷον οἱ χυτοὶ, οἱ τῷ δικτύῳ περιεχόμενοι, χρόμις, ψῆττα, θύννος, πηλαμὺς, κεστρεὺς, χαλκίδες, καὶ τὰ τοιαῦτα.“ [2] Ἐν δὲ τῷ Περὶ Ζωϊκῶν· „Σελάχη, φησί· βοῦς, τρυγὼν, νάρκη, βατὶς, βάτραχος, βούγλωττα, ψῆττα, μῦς.“ [3] Δωρίων δὲ, ἐν τῷ Περὶ Ἰχθύων, γράφει· „Τῶν δὲ πλατέων, βούγλωττον, ψῆτταν, ἔσχαρον, ὃν καλοῦσι καὶ κόριν.“ Βουγλώσσους δ' ὀνομάζει καὶ Ἐπίχαρμος, ἐν Ἥβας γάμῳ·

ὑαινίδες τε βούγλωσσοί τε καὶ κίθαρος.

Λυγκεὺς δ' ὁ Σάμιος, ἐν Ἐπιστολαῖς, τὰς καλλίστας γίνεσθαι, φησὶ, ψήττας περὶ Ἐλευσῖνα τῆς Ἀττικῆς. Ἀρχέστρατος δὲ φησίν·

Εἶτα λαβεῖν ψῆτταν μεγάλην, καὶ τὴν ὑπότριχυν
βούγλωσσον, [4] περὶ Χαλκίδα κεδνήν. —

1 ἐν πέμπτῳ Ζώων Ἱστορίας ed. Baſ. ἐν πέμπτῳ Μορίων ed. Caſaub. 2 καὶ τοιαῦτα, absque τὰ edd. 3 σῦς corrigunt viri docti. 4 βούγλωσσα ms. *A*.

teles vero, quinto de Partibus Animalium, ſcribit: »Similiter & piſciculorum plerique ſemel pariunt, veluti qui χυτοὶ (quaſi *profuſi*) dicuntur, qui reti concluduntur, chromis, paſſer, thynnus, pelamis, mugil, chalcides, & id genus alii.« In libro vero de Animantibus: »Cartilaginei, inquit, ſunt: bos, paſtinaca, torpedo, raia, rana, buglotta, (*ſive*, ſolea,) paſſer, mus.« Dorion vero, de Piſcibus, ſcribit: » Ex latis, buglottum, paſſerem, eſcharum, quem & *corin* vocant.« Bugloſſos vero etiam Epicharmus nominat, in Hebes Nuptiis:

Hyaenidesque, bugloſſique, & citharus.

Lynceus Samius, in Epiſtolis, ait, pulcerrimos paſſeres gigni circa Eleuſinem Atticae. Archeſtratus vero ait:

Deinde ſumendus magnus paſſer, & ſubaſpera
bugloſſus, circa venerandam Chalcidem. —

Idem Rhombus.

Ῥωμαῖοι δὲ καλοῦσι τὴν ψῆτταν ῥόμβον, καὶ ἔστι τὸ ὄνομα Ἑλληνικόν. Ναυσικράτης, ἐν Ναυκλήροις, προειπὼν δὲ περὶ γλαύκου τοῦ ἰχθύος, ἐπιφέρει·

A. Αἱ ξανθοχρῶτες, ἃς κλύδων Αἰξωνικὸς
πασῶν ἀρίστας ἐν τόποις παιδεύεται·
αἷς καὶ θεὰν τιμῶσι Φωσφόραν κόρην,
δείπνων ὅταν πέμπωσι δῶρα ναυτίλοι.
B. Τρίγλαν λέγεις, γαλακτοχρῶτα Σικελὸς
ὃν [1] πήγνυσ' ὄχλος ῥόμβος. [2]

CXL. Conclusio.

Πεπληρωκότες τὴν περὶ Ἰχθύων γενομένην τοῖς δειπνοσοφισταῖς ἀθολεσχίαν, ὦ Τιμόκρατες, αὐτοῦ τὸν λόγον καταπαύσαντες, εἰ μή τι καὶ ἄλλων σοι δεῖ βρωμάτων, παραθήσομέν σοι [3] καὶ ἃ Εὔβουλος εἴρηκεν ἐν Λάκωσιν, ἢ Λήδᾳ·

Πρὸς τούτοισιν [4] δὲ παρέσται σοι

1 ὃ legebam, & mox 2 ῥόμβῳ. 3 παραθήσομαί σοι edd. 4 Vulgo Πρὸς τούτοις.

Paſſerem vero Romani *rhombum* vocant, quod graecum eſt vocabulum. Nauſicrates, in Naucleris, poſtquam de glauco piſce dixerat, ſic pergit:

A. *Fulvae illae, quas fluctus Aexonicus*
omnium optimas, quae ubivis locorum ſunt, nutrit:
quibus etiam Deam venerantur Luciferam virginem,
coenarum quum dona mittunt nautici.
B. *Triglam* (mullum) *dicis, colore lactis illius, Siculum*
quod ſpiſſat vulgus rhombo, (i. e. *circumactio cylindro.*)

140. Sic quum abſolverimus Deipnoſophiſtarum de Piſcibus ſermocinationes, mi Timocrates, finem hîc faciamus ſermoni: &, niſi quid aliorum inſuper deſideras ciborum, adponemus tibi adhuc quae Eubulus dixit in Laconibus ſive Leda:

Praeter haec aderit tibi

θύννου τέμαχος, κρέα δελφακίων,
χορδαί τ' ἐρίφων, ἧπαρ τε κάπρου,
κριοῦ τ' ὄρχεις, χόλικές τε βοὸς,
κράνιά τ' ἀρνῶν, νῆστίς τ' ἐρίφου,
γαστήρ τε λαγὼ, φύσκη, χορδὴ,
πνεύμων, ἀλλᾶς τε. [1] — —

Ἐμφορηθεὶς οὖν [2] καὶ τούτων, ἔασον ἡμᾶς καὶ τοῦ σωματίου ἐπιμέλειαν ποιήσασθαι, ἵνα δυνηθῇς τὰ μετὰ ταῦτα εὐλόγως σιτεῖσθαι.

1 Vulgo ἄλλας τε. Suspicari potuisses ἄλλα τε. 2 δὲ edd.

thynni pulpamentum, porcellorum carnes,
lactes hoedorum, heparque apri,
vervecis testes, extaque bovis,
capitaque ovium, intestinum hoedi,
venter leporis, hilla, lactes,
pulmo, lucanica. —

His igitur satiatus, sine & nos curare corpusculum, quo deinde & aliis, quae sequentur, probabiliter vesci possis.

ΑΘΗΝΑΙΟΥ[1] ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ

ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.[2]

I. Lusitaniae fertilitas.

ΤΗΝ κατὰ τὴν Λυσιτανίαν[3] (χώρα δ' ἐστὶν αὕτη τῆς Ἰβηρίας, ἣν νῦν Ῥωμαῖοι Σπανίαν[4] ὀνομάζουσι) διηγούμενος εὐδαιμονίαν Πολύβιος ὁ Μεγαλοπολίτης, ἀνδρῶν ἄριστε Τιμόκρατες, ἐν τῇ τετάρτῃ καὶ τριακοστῇ τῶν Ἱστοριῶν, φησὶν, ὡς αὐτόθι διὰ τὴν τοῦ ἀέρος εὐκρασίαν, καὶ τὰ ζῶα πολύγονα καὶ οἱ ἄνθρωποι,[5] p. 33 E a

1 ΝΑΥΚΡΑΤΙΤΟΥ constanter adiicit ms. *A.* 2 Libri numerus in ms. *A.* sic signatus: Τῶν εἰς λ' ἀρχὴ τοῦ ιε'. Η'. 3 κατὰ Λυσιτ. absque artic. edd. cum ms. *Ep.* 4 Ἱσπανίαν edd. 5 καὶ ἀνθρ. edd.

ATHENAEI DEIPNOSOPHISTARUM

LIBER OCTAVUS.

POLYBIUS Megalopolitanus, optime virorum Timocrates, felicitatem exponens terrae *Lusitaniae* (pars ea est *Iberiae*, quam *Spaniam* hodie Romani vocant) Historiarum libro quarto & trigesimo scribit: esse ibi ob coeli felicem temperiem & reliqua animantia foecunda admodum, & hominum numerosam prolem, &, quae gignun-

καὶ εἰ ἐν τῇ χώρᾳ καρποὶ οὐδέ ποτε φθείρονται. „Ῥόδα μὲν γὰρ αὐτόθι, καὶ λευκόϊα, καὶ ἀσπάραγοι, καὶ τὰ παραπλήσια τούτοις, οὐ πλεῖον διαλείπει μηνῶν τριῶν. τὸ δὲ θαλάττιον ὄψον, καὶ κατὰ τὸ πλῆθος, καὶ κατὰ τὴν χρηστότητα, καὶ κατὰ τὸ κάλλος, μεγάλην ἔχει διαφορὰν πρὸς τὸ γινόμενον ἐν τῇ καθ' ἡμᾶς θαλάττῃ. Καὶ ὁ μὲν τῶν κριθῶν σίκλος (μέδιμνος) ἐστὶ [1] δραχμῆς· ὁ δὲ τῶν πυρῶν, ἐννέα ὀβολῶν Ἀλεξ-
b ανδρινῶν· τοῦ δ' οἴνου δραχμῆς ὁ μετρητής· καὶ ἔριφος ὁ μέτριος ὀβολοῦ, καὶ λαγώς. τῶν δ' ἀρνῶν, τριώβολον καὶ τετρώβολον [2] ἡ τιμή. ὗς δὲ πίων [3] ἑκατὸν μνᾶς [4] ἄγων, πέντε δραχμῶν· καὶ πρόβατον, δυσίν· τάλαντον δὲ σύκων, τριῶν ὀβολῶν· μόσχος, δραχμῶν πέντε· καὶ βοῦς ζύγιμος, δέκα. τὰ δὲ τῶν ἀγρίων ζώων κρέα σχεδὸν οὐδὲ κατηξιοῦτο [5] τιμῆς, ἀλλ' ἐν ἐπιδόσει καὶ χάριτι τὴν ἀλλαγὴν ποιοῦνται τούτων." Ἡμῖν δὲ ὁ κα-

1 Iungunt vulgo μέδιμνός ἐστι. 2 τριόβολον καὶ τετρόβολον ed. Baſ. & Caſ. 3 ὗς δείπνων vulgo. 4 μνᾶς ms. *A*. 5 κατα-ξιοῦται ed. Caſ.

tur terrâ, numquam corrumpi. » Roſae quidem, inquit, in illa regione, & leucoia, & aſparagi, & quae ſunt his ſimilia, non niſi tres menſes intermittunt. Marinum vero obſonium, tam copiâ, quam bonitate & pulcritudine, longe antecellit ei quod noſtrum mare ſuppeditat. Porro hordei *ſiclus* (*medimnus* ea menſura eſt) drachmâ venit; tritici, novem obolis Alexandrinis; vini amphora, drachmâ; & mediocris hoedus obolo, item lepus: agni pretium, tres aut quatuor oboli. Sus vero pinguis, centum librarum pondo, quinque drachmis venit; ovis, duabus; ficorum talentum, tribus obolis; vitulus, quinque drachmis; bos iugo aptus, decem. Ferina vero caro nullo fere pretio aeſtimata eſt; ſed auctarii loco & gratis hanc dant emtoribus. « Nobis ve-

λὸς Λαρήνσιος τὴν Ῥώμην Λυσιτανίαν ἑκάστοτε παρέχων, ἐμπίπλησι παντοίων ἀγαθῶν ὁσημέραι, μετὰ [1] τοῦ ἡδέος καὶ μεγαλοφρόνως [2] φιλοτιμούμενος, οὐδὲν φερομένους [3] οἴκοθεν ἢ λογάρια. c

II. Πολλῶν δὲ λεχθέντων ἐπὶ τοῖς ἰχθύσι λόγων, δῆλος μὲν ἦν ἀχθόμενος ὁ Κύνουλκος. καὶ ὁ καλὸς Δημόκριτος αὐτὸν προφθάσας ἔφη· Ἀλλὰ μὴν, ἄνδρες ἰχθύες, κατὰ τὸν Ἄρχιππον, παρελίπετε [4] (δεῖ γὰρ καὶ ἡμᾶς μικρὰ προσοψωνῆσαι·) τούς τε ὀρυκτοὺς ἰχθύας καλουμένους, οἳ ἐν Ἡρακλείᾳ γίγνονται, καὶ περὶ Τίον τοῦ Πόντου, τὴν Μιλησίων ἀποικίαν, ἱστοροῦντος περὶ αὐτῶν [5] Θεοφράστου. ὁ δ' αὐτὸς οὗτος φιλόσοφος καὶ περὶ τῶν πηγνυμένων διὰ χειμῶνος [6] τῷ κρυστάλλῳ ἱστόρησεν, οἳ οὐ πρότερον αἰσθάνονται, οὐδὲ

Pisces fossiles.

1 Deest μετὰ edd. 2 μεγαλόφρονες edd. 3 φερομένοις edd. cum ms. *A*. 4 Vulgo παρελίπετε. δεῖ γὰρ &c. absque parenthesi. Quare παρελίπετέ τι corrigit Casaub. 5 περὶ αὐτοῦ edd. 6 διὰ χειμῶνα edd. cum ms. *A*.

ro apud praestantissimum Larensium, quoties ab eo excipimur, pro Lusitania Roma est: ita nos ille quotidie omnis generis bonis rebus implet, atque etiam iuxta ciborum voluptatem liberalissime amicissimeque nos prosequitur, nihil aliud domo adferentes, praeterquam disputatiunculas.

2. Igitur de Piscibus multae quum agitatae essent disputationes, satis quidem adparebat molesto rem ferre Cynulcum; sed eum praeveniens elegans Democritus, sic est exorsus: At enim, o viri Pisces, ut cum Archippo loquar, omisistis vos quidem (nam & nos oportet obsonii aliquid in commune conferre) cum *fossiles* qui dicuntur *pisces*, qui Heracleae gignuntur, & circa Tium Ponti, Milesiorum coloniam; de quibus Theophrastus narrat: tum vero quae idem philosophus de *induratis per hyemem in glacie* narravit, qui non prius

κινοῦνται, πρὶν ἂν εἰς τὰς λοπάδας ἐμβληθέντες ἕψωνται. Ἴδιον δὲ παρὰ τούτους συμβαίνει, τὸ περὶ τοὺς ἐν Παφλαγονίᾳ ὀρυκτοὺς καλουμένους ἰχθῦς γινόμενον. ὀρύττεσθαι γὰρ κατὰ βάθους πλέονος [1] τοὺς τόπους, οὔτε ποταμῶν ἐπιχύσεις ἔχοντας, οὔθ' ἑτέρων [2] ναμάτων, καὶ εὑρίσκεσθαι ἐν αὐτοῖς ἰχθῦς ζῶντας.

III. Pisces vocales.

Μνασέας δὲ ὁ Πατρεὺς, ἐν τῷ Περίπλῳ, τοὺς ἐν τῷ Κλείτορι ποταμῷ, φησὶν, ἰχθῦς φθέγγεσθαι, καί τοι μόνους εἰρηκότος Ἀριστοτέλους φθέγγεσθαι σκάρον [3] καὶ τὸν ποτάμιον χοῖρον. Φιλοστέφανος δὲ, ὁ Κυρηναῖος μὲν γένος, Καλλιμάχου δὲ γνώριμος, ἐν τῷ περὶ τῶν παραδόξων Ποταμῶν, ἐν Ἀροανίῳ, [4] φησὶ, τῷ ποταμῷ διὰ Φενεοῦ ῥέοντι, ἰχθῦς εἶναι φθεγγομένους ὁμοίως κίχλαις· καλεῖσθαι δ' αὐτοὺς ποικιλίας. Νυμφόδωρος δ' ὁ Συρακόσιος, [5] ἐν τοῖς Περίπλοις,

1 Vulgo κατὰ βάθος πλέον ἐς τοὺς τοπ. 2 οὔτε θερμῶν vulgo. Forſ. οὔτε φανερῶν. 3 σκάφρον editt. vett. κάπρον ed. Caſ. 4 Ἀόρνῳ vulgo. 5 Συρακούσιος edd.

ſentiunt moventurque, quam in patinas coniecti elixentur. Sed magis etiam ſingulare eſt, quod de foſſilibus, qui dicuntur, in Paphlagonia piſcibus idem tradidit, effodi ibi ad inſignem altitudinem ſcrobes iis in locis, quo nec amnium eſt adfluxus, nec aliarum aquarum, reperirique inibi viventes piſces.

3. Mnaſeas vero Patrenſis, in Periplo, *piſces* in Clitore fluvio, ait, eſſe *vocales;* cum, ſolos ſcaros & fluviatiles porcos vocem edere, ſcripſerit Ariſtoteles. Philoſtephanus vero, genere Cyrenaeus, Callimachi familiaris, in libro de Fluviis mirabilibus, in Aroanio fluvio, qui Pheneum perfluit, piſces eſſe, ait, vocem edentes turdorum voci ſimilem; vocari autem eos *poecilias*. Nymphodorus autem Syracuſius, in Periplis,

Pisces cicures.

ἐν τῷ Ἑλώρῳ ποταμῷ λάβρακας εἶναι, φησὶ, καὶ ἐγχέλεις μεγάλας, οὕτω τιθασοὺς, [1] ὡς ἐκ τῶν χειρῶν δέχεσθαι τῶν προσφερόντων ἄρτους. Ἐγὼ δὲ ἐν τῇ κατὰ Χαλκίδα Ἀρεθούσῃ τεθέαμαι, ἴσως δὲ καὶ ὑμῶν οἱ πλεῖστοι, κεστρεῖς χειροήθεις, καὶ ἐγχέλεις ἐνώτια ἐχούσας ἀργυρᾶ καὶ χρυσᾶ, λαμβανούσας τε καὶ λαμβάνοντας παρὰ τῶν προσφερόντων τροφὰς, τά τε f ἀπὸ τῶν ἱερείων σπλάγχνα, καὶ τυροὺς χλωρούς. Σῆμος δ', ἐν ἕκτῳ Δηλιάδος· „Ἀθηναίοις, φησὶ, θυομένοις ἐν Δήλῳ τὴν χέρνιβα βάψας ὁ παῖς προσήνεγκε, καὶ τῇ φιάλῃ μετὰ τοῦ ὕδατος ἰχθῦς κατέχεεν. εἰπεῖν οὖν αὐτοῖς τοὺς τῶν Δηλίων μάντεις, ὡς κυριεύσουσι τῆς θαλάσσης."

IV.

Fossiles pisces in Gallia.

Πολύβιος δ', ἐν τῇ τετάρτῃ καὶ τριακοστῇ τῶν a Ἱστοριῶν, μετὰ τὴν Πυρήνην, φησὶν, ἕως τοῦ Νάρβωνος ποταμοῦ πεδίον εἶναι, δι' οὗ φέρεσθαι ποταμοὺς Ἰλλέβεριν [2] καὶ Ῥόσκυνον, ῥέοντας παρὰ πόλεις ὁμω-

1 τιθασσοὺς ed. Bas. & Cas. 2 Ἰλέβερνιν edd.

sit, esse in Eloro fluvio *labraces* (lupos) & ingentes *anguillas*, ita *cicures*, ut e manu offerentium frusta panis capiant. Ego vero in Arethusa prope Chalcidem ipse vidi, fortasse autem etiam vestrûm plerique, mullos mansuefactos, & anguillas inauribus ornatas argenteis aureisque, accipientes ab offerentibus cibum, victimarum viscera, & recentem caseum. Semus vero, sexto Deliadis, scribit: »Athenienſibus Deli sacra facientibus puer, aquam lavandis manibus cum hausisset, e phiala simul cum aqua pisces infudit. Respondisseque super ea re vates Deliorum, maris fore illos dominos.«

4. Polybius vero, quarto & trigesimo Historiarum libro, scribit, a Pyrenaeo monte usque ad Narbonem fluvium planitiem esse, quam perfluunt Illiberis & Ro-

νόμους κατοικουμένας ὑπὸ Κελτῶν. ἐν οὖν τῷ πεδίῳ τούτῳ εἶναι τοὺς λεγομένους ἰχθῦς ὀρυκτούς. εἶναί τε τὸ πεδίον λεπτόγειον, καὶ πολλὴν ἄγρωστιν ἔχον πεφυκυῖαν. ὑπὸ δὲ ταύτην, διάμμου τῆς γῆς οὔσης ἐπὶ [1] δύο καὶ τρεῖς πήχεις, ὑπορρεῖν τὸ πλαζόμενον ἀπὸ [2]
b τῶν ποταμῶν ὕδωρ· μεθ' οὗ ἰχθύες κατὰ τὰς παρεκχύσεις ὑποτρέχοντες ὑπὸ τὴν γῆν χάριν τῆς τροφῆς, (φιληδοῦσι γὰρ τῇ τῆς ἀγρώστεως ῥίζῃ) πεποιήκασι πᾶν τὸ πεδίον πλῆρες ἰχθύων ὑπογείων, οὓς ἀνορύττοντες λαμβάνουσιν. Ἐν Ἰνδοῖς δὲ, φησὶ Θεόφραστος, τοὺς [3] ἰχθῦς ἐκ τῶν ποταμῶν εἰς τὴν γῆν ἐξιόντας, καὶ πηδῶντας πάλιν ἐς τὸ ὕδωρ ἀπιέναι, καθάπερ τοὺς βατράχους, ὁμοίους ὄντας τὴν ἰδέαν τοῖς μαξεινοῖς καλουμένοις ἰχθῦσιν. Pisces in terram exeuntes.

V. Exocoetus.

Οὐκ ἔλαθε δέ με οὐδὲ Κλέαρχος, ὁ ἀπὸ τοῦ Περc ιπάτου, ὃς εἴρηκε καὶ περὶ τοῦ ἐξωκοίτου καλου-

1 ὑπὸ δύο vulgo. 2 ὑπὸ τῶν ποτ. edd. 3 τινὰς corr. Caſ.

ſcynus amnes, praeterfluentes cognomina oppida a Gallis habitata. In illa igitur planitie reperiri *foſſiles* qui dicuntur *piſces*. Eſſe autem ſolum tenue, in quo multa naſcatur agroſtis. Subter hanc, quum arenoſa ſit terra ad duorum vel trium cubitorum altitudinem, ſubterfluere aquam e fluminibus divagantem. Cum ea aqua, ubi diffunditur, piſces ſimul ſub terram intrantes pabuli cauſſa, (delectantur enim agroſteos radice) implent totum campum ſubterraneis piſcibus, quos effodientes capiunt homines. Apud Indos vero, ait Theophraſtus, piſces eſſe e fluminibus in terram exeuntes, rurſusque in aquam ſubſultim redeuntes, veluti ranas: eſſe eos forma ſimiles eis piſcibus, qui maxini vocantur.

5. Nec vero me latent quae de *exocoeto*, quem vocant, piſce Clearchus Peripateticus ſcripſit, in libro qui

μένου ἰχθύος ἐν τῷ ἐπιγραφομένῳ Περὶ τῶν Ἐνύδρων. εἴρηκε γάρ· (κρατεῖν δ' οἶμαι καὶ τῆς λέξεως, οὕτως ἐχούσης·) „ Ἐξώκοιτος ἰχθύς, ὃν ἔνιοι καλοῦσιν ἄδωνιν [1] τοὔνομα μὲν εἴληφε διὰ τὸ πολλάκις τὰς ἀναπαύσεις ἔξω τοῦ ὑγροῦ ποιεῖσθαι. ἔστι δὲ ὑπόπυρρος, καὶ ἀπὸ τῶν βραγχίων ἑκατέρωθεν τοῦ σώματος μέχρι τῆς κέρκου [2] μίαν ἔχει διηνεκῆ λευκὴν ῥάβδον. ἔστι δὲ στρογγύλος, ἀλλ' οὐ πλατὺς ὤν, κατὰ τὸ μέγεθος ἴσος ἐστὶ τοῖς παραιγιαλίταις κεστρινίσκοις· οὗτοι δ' εἰσὶν ὀκταδάκτυλοι μάλιστα τὸ μῆκος. τὸ δὲ σύνολον d ὁμοιότατός ἐστι τῷ καλουμένῳ τράγῳ ἰχθυδίῳ· πλὴν τοῦ ὑπὸ τὸν στόμαχον μέλανος, ὃ καλοῦσι τοῦ τράγου πώγωνα. Ἔστι δὲ ὁ ἐξώκοιτος τῶν πετραίων, καὶ βιοτεύει περὶ τοὺς πετρώδεις τόπους. καὶ ὅταν ἡ γαλήνη, συνεξορούσας τῷ κύματι, κεῖται ἐπὶ τῶν πετριδίων πολὺν χρόνον, ἀναπαυόμενος ἐν τῷ ξηρῷ, καὶ

1 ἄδωνιν ms. *A.* 2 τῆς κέρκης ms. *Ep.*

De Aquatilibus inscribitur. Ait igitur: (nam ipsa verba meminisse mihi videor, sic habentia:) »*Exocoetus* piscis, quem *adonin* vocant nonnulli, inde nomen invenit, quod saepius extra aquam quietem capit. Est autem subrufus; & a branchiis ab utraque corporis parte, usque ad caudam, unam continuam virgam habet albam. Est autem rotundus, sed, quum non latus sit, magnitudine par est litoralibus minutis mugilibus: quorum longitudo octo admodum digitorum est. Omnino vero simillimus est pisciculo, quem *tragum* (i. e. hircum) vocamus; excepta nigra sub stomacho macula, quam tragi barbam vocant. Est autem exocoetus e saxatilium genere, vitamque degit in locis saxosis. Igitur quum tranquillum mare est, subsilit unà cum fluctu; & in parvis cautibus diu iacet, requiescens in sicco, & soli se obver-

μεταστρέφει μὲν ἑαυτὸν πρὸς τὸν ἥλιον. ὅταν δ' ἱκανῶς αὐτῷ τὰ πρὸς τὴν ἀνάπαυσιν ἔχῃ, προσκυλινδεῖται τῷ ὑγρῷ, μέχρις οὗ ἂν πάλιν ὑπολαβὸν αὐτὸν [1] e τὸ κῦμα κατενέγκῃ μετὰ τῆς ἀναῤῥοίας εἰς τὴν θάλασσαν. Ὅταν δ' ἐγρηγορὼς ἐν τῷ ξηρῷ τύχῃ, φυλάττεται τῶν ὀρνίθων τοὺς παρευδιστὰς [2] καλουμένους, ὧν ἐστι κηρύλος, τροχίλος, καὶ ὁ τῇ κρεκὶ προσεμφερὴς ἑλώριος. [3] οὗτοι γὰρ ἐν ταῖς εὐδίαις παρὰ τὸ ξηρὸν νεμόμενοι, πολλάκις αὐτῷ περιπίπτουσιν. οὓς ὅταν προίδηται, φεύγει πηδῶν καὶ ἀσπαίρων, ἕως ἂν εἰς τὸ ὕδωρ ἀποκυβιστήσῃ."

VI. Rursus de Piscibus vocalibus.

Ἔτι ὁ αὐτὸς Κλέαρχος καὶ ταῦτά φησι, σαφέστερον τοῦ Κυρηναίου Φιλοστεφάνου, οὗ πρότερον ἐμνήσθην· [4] f „Ἐπεί τινες τῶν ἰχθύων, οὐκ ἔχοντες βρόγχον, φθέγγονται. τοιοῦτοι δ' εἰσὶν οἱ περὶ Κλείτορα τῆς Ἀρκαδίας ἐν τῷ Λάδωνι καλουμένῳ ποταμῷ. φθέγγον-

1 αὐτὸ edd. 2 παρευδιαστὰς corrigunt viri docti. 3 ἑλάριος edd. cum ms. *A*. 4 ἐμνήσθη edd.

tens. Postquam satis quievit, provolvit se versus mare, donec eum alius excipiens fluctus, ubi reciprocatur, in mare rursus defert. Quum vero vigilat in sicco, cavet aves eius generis, quae pareudistae vocantur, (*sive*, pareudiastae, quae tranquillo mari circa litora pascuntur) quales sunt cerylus, trochilus, & creci similis helorius. Hae enim, cum serenum coelum & mare tranquillum est, in siccis circa mare locis cibum quaerentes, saepe eum invadunt. Quas ubi prospexit, fugit subsultans & palpitans, donec rursus in aquam praecipitem se dederit."

6. Praeterea idem Clearchus etiam haec dicit, apertius quam Cyrenaeus Philostephanus, quem ante nominavi. »Nam nonnulli ex piscibus, (inquit) quamvis guttur non habeant, sonum edunt. Tales sunt qui circa Clitorem Arcadiae in Ladone, qui vocatur, fluvio gi-

Alia de Piſcibus mirabilia.

ται γὰρ, καὶ πολὺν ἦχον ἀποτελοῦσι." Νικόλαος δ' ὁ Δαμασκηνὸς, ἐν τῇ τετάρτῃ πρὸς ταῖς ἑκατὸν τῶν Ἱστοριῶν· „Περὶ Ἀπάμειαν, φησὶ, τὴν Φρυγικὴν, κατὰ τὰ Μιθριδατικὰ, σεισμῶν γενομένων, ἀνεφάνησαν περὶ τὴν χώραν αὐτῶν λίμναι τε, αἱ πρότερον οὐκ οὖσαι, καὶ ποταμοὶ, καὶ ἄλλαι πηγαὶ ὑπὸ τῆς κινήσεως ἀνοιχθεῖσαι· πολλαὶ δὲ καὶ ἠφανίσθησαν. τοσοῦτόν τε ἄλλο ἀνέβλυσεν αὐτῶν ἐν τῇ γῇ πικρόν τε καὶ γλαυκὸν [1] ὕδωρ, πλεῖστον ὅσον ἀπεχούσης τῶν τόπων τῆς θαλάσσης, ὥστε ὀστρέων πλησθῆναι τὸν πλησίον τόπον ἅπαντα, καὶ ἰχθύων, τῶν τε ἄλλων [2] ὅσα τρέ-

Pluit piſcibus, tritico, ranis.

φει ἡ θάλασσα." Οἶδα δὲ καὶ πολλαχοῦ ὗσαντα τὸν a θεὸν ἰχθύσι. Φαινίας γοῦν, ἐν δευτέρῳ Πρυτανέων Ἐρεσίων, ἐν Χερρονήσῳ, φησὶν, ἐπὶ τρεῖς ἡμέρας [3] ὗσαι τὸν θεὸν ἰχθύας. καὶ Φύλαρχος [4] δ', ἐν τετάρτῃ, ἑω-

1 γλυχὺ ed. Caſ. & ms. *Ep.* inter lineas. 2 Deſunt τῶν τε ἄλλων edd. 3 ἐπὶ τρισὶν ἡμέραις edd. 4 Φίλαρχος ms. *Ep.*

gnuntur. Nam & ſonum edunt, & eum quidem validum admodum. « Nicolaus vero Damaſcenus, quarto & centeſimo libro Hiſtoriarum, ſcribit: »Circa Apameam Phrygiae, belli Mithridatici temporibus, exorto terrae motu exſtiterunt in agro Apamenſium & lacus, ubi ante nulli fuerant, & fluvii, & alii fontes ex terrae concuſſu aperti: alii vero etiam multi evanuerunt. Aliaque etiam aqua amara & glauco colore in eâdem regione, longiſſime a mari remotâ, tantâ copiâ ſcaturivit, ut oſtreis piſcibusque, aliisque rebus quas mare gignit, totus vicinus locus compleretur. « Multis quoque in locis *piſcibus pluiſſe coelum* non ignoro. Phaenias certe, ſecundo libro Prytanum Ereſiorum, ait, in Cherronneſo per tres continuos dies piſcibus coelum pluiſſe. Atque etiam Phylarchus, quarto libro, ſcribit, vidiſſe non-

ρακέναι τινὰς πολλαχοῦ τὸν θεὸν ὕσαντα ἰχθῦσιν, πολλάκις δὲ καὶ πυροῖς· τοῦ αὐτοῦ συμβαίνοντος καὶ ἐπὶ βατράχων. Ἡρακλείδης γοῦν ὁ Λέμβος, ἐν τῇ εἰκοστῇ πρώτῃ τῶν Ἱστοριῶν· „Περὶ τὴν Παιονίαν καὶ Δαρδανίαν, βατράχους, φησὶν, ὗσεν ὁ θεός· καὶ τοσοῦτον αὐτῶν ἐγένετο τὸ πλῆθος, ὡς τὰς οἰκίας καὶ τὰς b ὁδοὺς πλήρεις εἶναι. τὰς μὲν οὖν πρώτας ἡμέρας κτείνοντες τούτους, καὶ συγκλείοντες τὰς οἰκίας, διεκαρτέρουν. ὡς δ' οὐδὲν ἤνυον, ἀλλὰ τά τε σκεύη ἐπληροῦτο, καὶ μετὰ τῶν ἐδεσμάτων εὑρίσκοντο συνεψόμενοι καὶ συνοπτώμενοι οἱ βάτραχοι, καὶ πρὸς τούτοις οὐδὲ τοῖς ὕδασιν ἦν χρῆσθαι, οὔτε τοὺς πόδας ἐπὶ τὴν γῆν θεῖναι συσσεσωρευμένων αὐτῶν, ἐνοχλούμενοι δὲ καὶ ὑπὸ τῆς τῶν τετελευτηκότων ὀδμῆς, ἔφυγον τὴν χώραν."

VII. Tryphon Apamenſis.

Οἶδα δὲ καὶ Ποσειδώνιον, τὸν ἀπὸ τῆς Στοᾶς, εἰπόντα περὶ πλήθους ἰχθύων τάδε· „Ὅτε Τρύφων ὁ

1 ἐπὶ τῆς γῆς edd.

nullos multis in locis pluiſſe piſcibus, ſaepe etiam tritico: quin & in ranis idem accidiſſe novimus. Heraclides quidem Lembus, primo & viceſimo libro Hiſtoriarum, ſcribit: »In Pannonia & Dardania, *ranis pluebat coelum*: ac tanta earum exſtitit multitudo, ut publicas vias privatasque domos implerent. Primis igitur diebus interficientes eas, & domos occludentes, durarunt incolae: ſed, quum nihil proficerent, verum vaſa omnia complerentur, & unâ cum cibis elixae aſſaeque ranae reperirentur, adhaec cum nec aquis uti poſſent homines, nec pedes in terram ponere prae ranarum ubique coacervatarum copiâ, denique etiam mortuarum odore vexati, e patria profugerunt.«

7. Scio etiam, Stoicum Poſidonium de mira quadam piſcium multitudine haecce ſcripſiſſe: »Cum Tryphoni

Ἀπαμεὺς, ὁ τὴν τῶν Σύρων βασιλείαν ἁρπάσας, c
& Sarpedon, dux Demetrii. ἐπολεμεῖτο ὑπὸ Σαρπηδόνος τοῦ Δημητρίου στρατηγοῦ περὶ Πτολεμαΐδα πόλιν· [1] καὶ ὡς ὁ Σαρπηδὼν λειφθεὶς [2] ἀνεχώρησεν εἰς τὴν μεσόγαιαν μετὰ τῶν ἰδίων στρατιωτῶν, οἱ δὲ τοῦ Τρύφωνος ὦδευον κατὰ τὸ πλησίαλον νικήσαντες τὴν μάχην· [3] ἐξαίφνης πελάγιον κῦμα ἐξαρθὲν μετέωρον εἰς ὕψος ἐξαίσιον ἐπῆλθε τῇ γῇ, καὶ πάντας αὐτοὺς ἐπέκλυσεν, διέφθειρέ τε ὑποβρυχίους, ἰχθύων τε πολὺν σωρὸν ἀναχωρεῦν τὸ κῦμα μετὰ τῶν νεκρῶν κατέλιπε. καὶ οἱ περὶ τὸν Σαρπηδόνα, d
ἀκούσαντες τὴν συμφορὰν, ἐπελθόντες, τοῖς μὲν τῶν πολεμίων σώμασιν ἐθήσβησαν, ἰχθύων δὲ [4] ἀθονίαν ἀπηνέγκαντο, καὶ ἔθυσαν ΠΟΣΕΙΔΩΝΙ ΤΡΟΠΑΙΩ πρὸς τοῖς προαστείοις τῆς πόλεως."

VIII. Οὐ κατασιωπήσομαι δὲ οὐδὲ τοὺς ἐν Λυκίᾳ ἰχθυομάντεις ἄνδρας, περὶ ὧν ἱστορεῖ Πολύχαρμος ἐν
Oraculum per Piſces.

1 Πτολεμαΐδα λίμνην ms. *Ep.* 2 λαφθεὶς edd. 3 τῇ μάχῃ edd. 4 ἰχθύων τε edd. cum ms. *A.*

Apamenſi, ei qui Syriae regnum ad ſe rapuerat, bellum intuliſſet Sarpedon, copiarum dux Demetrii, circa urbem Ptolemaidem, praelioque victus Sarpedon cum ſuis militibus in mediterranea ſe recepiſſet, Tryphonis autem victrices copiae ſecundum mare facerent iter; ſubito exortus e mari fluctus, & in miram altitudinem ſublatus, in terram ingruit, cunctosque illos obrutos interemit in undis; rurſusque inde recedens fluctus piſcium ingentem acervum ſimul cum cadaveribus in litore reliquit. Qua cognita calamitate, Sarpedon cum ſuis regreſſus, laetatus eſt hoſtilium adſpectu cadaverum, piſcium vero ingentem copiam abſtulit, & *Neptuno Tropaeo* prope ſuburbia Ptolemaidis ſacra fecit. «

8. Nec ſilentio praeteribo illos in Lycia homines, *qui per Piſces vaticinantur*, de quibus Polycharmus narrat

δευτέρῳ Λυκιακῶν, γράφων οὕτως· „Ὅταν γὰρ διέλθωσι [1] πρὸς τὴν θάλασσαν, οὗ τὸ ἄλσος [2] ἐστὶ πρὸς τῷ αἰγιαλῷ τοῦ Ἀπόλλωνος, ἐν ᾧ ἐστιν ἡ δίνα ἐπὶ τῆς ἀμάθου, παραγίνονται ἔχοντες [3] οἱ μαντευόμενοι
e ὀβελίσκους δύο ξυλίνους, ἔχοντας ἐφ' ἑκατέρῳ [4] σάρκας ὀπτὰς ἀριθμῷ δέκα. καὶ ὁ μὲν ἱερεὺς κάθηται πρὸς τῷ ἄλσει σιωπῇ· ὁ δὲ μαντευόμενος ἐμβάλλει τοὺς ὀβελίσκους εἰς τὴν δίναν, καὶ ἀποβεωρεῖ τὸ γινόμενον. μετὰ δὲ τὴν ἐμβολὴν τῶν ὀβελίσκων πληροῦται θαλάσσης ἡ δίνα, καὶ παραγίνεται ἰχθύων πλῆθος τοσοῦτον καὶ τοιοῦτον, ὥστ' ἐκπλήττεσθαι τὸ ὁρατὸν [5] τοῦ πράγματος, τῷ δὲ μεγέθει [6] ὥστε καὶ εὐλαβηθῆναι. ὅταν δὲ ἀπαγγείλῃ τὰ εἴδη τῶν ἰχθύων ὁ προφήτης, [7] οὕτως τὸν χρησμὸν λαμβάνει παρὰ τοῦ ἱε-

1 δὲ ἔλθωσι corr. Casaub. 2 οὗ καὶ ἄλσος ed. Bas. & Casaub. 3 Deest ἔχοντες ed. Cas. 2 & 3. 4 ὑφ' ἑκατ. ed. Bas. & Cas. Malebam καὶ ἐφ' ἑκάτ. vel ὧν ἐφ' ἑκατ. absque ἔχοντας: aut ἔχοντας ἑκάτερον, aut certe ἔχοντες ἐφ' ἑκατ. 5 τὴν ὁρατὴν ms. *Ep.* 6 μεγέθει δὲ τοιούταν ms. *Ep.* & caret paulo superius καὶ τοιοῦτον. 7 τῷ προφήτῃ coniect. Dalec.

secundo libro Rerum Lyciacarum, ita scribens: »Postquam igitur ad mare pervenerunt, ubi in litore lucus est Apollinis, in quo est vorticosus in arena gurges; accedunt oraculum consulturi, duo lignea verua manu tenentes, & in eorum utroque assas carnes numero decem. Et sacerdos quidem sedet silentio ad lucum; is autem qui oraculum petit verua in gurgitem iniicit, & quid eveniat exspectat. Iniectis verubus repletur gurges mari, adestque piscium multitudo tanta talisque, ut admiratione stupefaciat adspectus, & magnitudine piscium metus etiam incutiatur. Inde postquam (sacerdoti) renunciavit vates quaenam essent piscium species, sic demum a sacerdote responsum super his, quae scire cu-

ρέως ὁ μαντευόμενος περὶ ὧν ἤὔξατο. Φαίνονται δὲ ὀρ- f
Φοὶ, γλαῦκοι, ἐνίοτε δὲ Φάλαιναι ἢ πρίστεις,[1] πολ-
λοὶ δὲ καὶ ἀνόρατοι ἰχθῦς καὶ ξένοι τῇ ὄψει. " Ἀρτε-
μίδωρος δ', ἐν τῷ δεκάτῳ τῶν ΓεωγραΦουμένων, „ Λέ-
γεσθαι, Φησὶν, ὑπὸ τῶν ἐπιχωρίων, πηγὴν ἀναδίδο-
σθαι γλυκέος ὕδατος, ὅθεν συμβαίνει δίνας γίνεσθαι·
γίνεσθαι δὲ καὶ ἰχθύας ἐν τῷ δινάζοντι τόπῳ μεγά-
λους. τούτοις δὲ οἱ Θυσιάζοντες ἐμβάλλουσιν ἀπαρ-
χὰς τῶν Θυσιαζομένων, ἐπὶ ξυλίνων ὀβελίσκων ἀνα-
πείροντες, κρέα ἑΦθὰ καὶ ὀπτὰ, καὶ μάζας, καὶ ἄρ- a
τους. ὀνομάζεται δὲ ὁ λιμὴν καὶ ὁ τόπος οὗτος, Δῖνος."

IX. Οἶδα δὲ καὶ Φύλαρχον εἰρηκότα που περὶ μεγά-
λων ἰχθύων, καὶ τῶν συμπεμΦθέντων αὐτοῖς σύκων
χλωρῶν, ὅτι αἰνιττόμενος Πάτροκλος ὁ Πτολεμαίου
στρατηγὸς Ἀντιγόνῳ τῷ βασιλεῖ ἔπεμπεν, ὡς Δα-

Patroclus piſces mittit Antigono.

1 πρίστεις *Epit.*

pit, accipit is qui oraculum conſultum venit. Adparent autem orphi, glauci, nonnumquam etiam balaenae, aut priſtes: multi vero etiam piſces inuſitatâ & inſolitâ prorſus formâ." Artemidorus vero, decimo libro Deſcriptionis Terrarum, ait: » Narrare indigenas, ſcaturire ibi fontem dulcium aquarum, quae gurgites efficiant: & in loco, ubi ſunt ii gurgites, piſces gigni ingentes. His igitur ii, qui ſacra faciunt, proiiciunt primitias ſacrorum oblatorum, verubus ligneis infixas, carnes elixâs aſſasque, & mazas, & panes. Vocatur autem is portus locusque, *Dinus.*" (id eſt, *Gurges.*)

9. Scio etiam quae Phylarchus narrat de ingentibus piſcibus, ſimulque cum his miſſis recentibus ficis: miſſa ſcilicet haec dona eſſe a Patroclo, Ptolemaei duce copiarum, ad Antigonum regem, quibus animi ſui ſenſum ſubobſcure ſignificaret, quemadmodum Scythae ad

ρείῳ Σκύθαι ἐπερχομένῳ αὐτῶν τῇ χώρᾳ. ἔπεμψαν γὰρ οὗτοι μὲν, ὥς φησιν Ἡρόδοτος, ὄρνιν, καὶ ὀϊστὸν, καὶ βάτραχον. ἀλλ' ὅ γε Πάτροκλος, ὡς διὰ τῆς τρίτης τῶν Ἱστοριῶν φησιν ὁ Φύλαρχος, πεμφθέντων τῶν
b προειρημένων σύκων καὶ ἰχθύων. [1] ἐτύγχανε δὲ κωθωνιζόμενος ὁ βασιλεὺς, καὶ ὡς πάντες διηπορῶντο ἐπὶ τοῖς δώροις, ὁ Ἀντίγονος γελάσας, πρὸς τοὺς φίλους ἔφη, γινώσκειν τί βούλεται τὰ ξένια· ἢ γὰρ θαλαττοκρατεῖν ἡμᾶς φησι Πάτροκλος, ἢ τῶν σύκων τρώγειν.

X.

Pisces καμασῆνες.

Οὐ λανθάνει δέ με, καὶ ὅτι κοινῶς πάντες οἱ ἰχθύες καμασῆνες ὑπὸ Ἐμπεδοκλέους ἐλέχθησαν τοῦ Φυσικοῦ, οὕτως·

Cypria carmina.

Πῶς [2] καὶ δένδρεα μακρὰ καὶ εἰναλίοι καμασῆνες.
καὶ ὅτι ὁ τὰ Κύπρια ποιήσας ἔπη (εἴτε Κύπριός τίς
c ἐστι, ἢ Στάσινος, ἢ ὅς τις δή ποτε χαίρει ὀνομαζόμε-

1 Utique aut hic, aut paulo ante, intercidisse nonnihil videtur.
2 οὕτως πως· Καὶ δένδρ. ms. *A*.

Darium, terram ipsorum invadentem. Miserant enim hi, ut ait Herodotus, avem & sagittam & ranam. At Patroclus, ut tertio libro Historiarum Phylarchus narrat, missis praedictis ficis piscibusque. Comparabat autem tum forte Antigonus cum amicis: qui quum omnes de doni significatione ambigerent; ridens Antigonus, *nosse se*, ait, *munus illud quid sibi vellet. Hoc enim dicit* (inquit) *Patroclus, aut maris imperium nobis esse obtinendum, aut rodendas ficos.*

10. Nec me latet, communi nomine pisces omnes *camasenes* dictos esse ab Empedocle Physico, ubi ait:

Quomodo & arbores magnae, & marium incolae camasenes.

Novi quoque a *Cypriorum Carminum* auctore (sive is *Cyprius* quidam fuit, sive *Stasinus*, sive quo alio nomine

Nemesis in piscem mutata.

νος) τὴν Νέμεσιν ποιεῖ διωκομένην ὑπὸ Διὸς, καὶ εἰς ἰχθῦν μεταμορφουμένην, διὰ τούτων·

Τοῖς δὲ μετὰ τριτάτην Ἑλένην τέκε, θαῦμα βροτοῖσι·

τήν ποτε καλλίκομος Νέμεσις φιλότητι μιγεῖσα
Ζηνὶ, θεῶν βασιλῆϊ, τέκεν κρατερῆς ὑπ' ἀνάγκης.
φεῦγε γὰρ, οὐδ' ἔθελεν μιχθήμεναι ἐν φιλότητι
πατρὶ Διὶ Κρονίωνι· ἐτείρετο γὰρ φρένας αἰδοῖ. 5 d
καὶ Νέμεσις κατα γῆν τε [1] καὶ ἀτρύγετον μέλαν ὕδωρ
φεῦγεν· Ζεὺς δ' ἐδίωκε· (λαβεῖν δ' ἐλιλαίετο θυμῷ·)
ἄλλοτε μὲν κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης,
ἰχθύϊ εἰδομένην, [2] πόντον πολὺν ἐξοράθυνεν· 9
ἄλλοτ' ἀν' Ὠκεανὸν ποταμὸν καὶ πείρατα γαίης,
ἄλλοτ' ἀν' ἤπειρον πολυβώλακα. γίνετο δ' αἰεὶ

1 Καὶ Νεμέσει κατὰ τόνδε edd. καταπονδε ms. *A*. Malebam vero Καὶ ἡ μὲν κατὰ γῆν τε. 2 Forſ. εἰδομένη.

vocari gaudet) Nemeſin fingi, cum eam Iupiter perſequeretur, in piſcem mutatam. Verſus ipſi hi ſunt:

Cum his tertiam Helenam genuit, admirationem mortalibus:

quam pulcricoma Nemeſis ex Iovis concubitu
regis Deorum peperit, praepotenti vi ſubacta.
Fugerat enim, nolueratque concumbere
cum patre Iove Saturnio: pudore enim adfligebatur.
Igitur per terras & ſterilem per pontum fugiebat
Nemeſis: perſequebatur autem Iupiter, potiri ea cupiens.
Modo illa per fluctus reſonantis maris,
piſci ſimilis facta, multum mare curſu emetiebatur,
modo ſecundum Oceanum fluvium ad terminos terrae,
modo per gleboſam continentem. Semper autem animantium,

θηρία ὅσσ' ἤπειρος ἀνατρέφει, [1] ὄρα θύγοι νιν.

e Οἶδα δὲ καὶ τὰ περὶ τὴν ἀπόπυριν καλουμένην περὶ τὴν Βολβὴν [2] λίμνην, περὶ ἧς Ἡγήσανδρος ἐν τοῖς Ὑπομνήμασι φησὶν οὕτως· „[Περὶ] [3] Ἀπολλωνίαν τὴν Χαλκιδικὴν δύο ποταμοὶ ῥέουσιν, Ἀμμίτης καὶ Ὀλυνθιακός. ἐμβάλλουσι δὲ ἀμφότεροι εἰς τὴν Βολβὴν λίμνην. ἐπὶ δὲ τοῦ Ὀλυνθιακοῦ μνημεῖόν ἐστιν Ὀλύνθου, τοῦ Ἡρακλέους καὶ Βόλβης [4] υἱοῦ. κατὰ δὲ τὸν ἀνθεστηριῶνα καὶ ἐλαφηβολιῶνα, λέγουσιν οἱ ἐπιχώριοι, διότι πέμπει ἡ Βολβὴ τὴν Ἀπόπυριν Ὀλύνθῳ, καὶ [5] κατὰ τὸν καιρὸν τοῦτον ἀπέραντον πλῆθος f ἰχθύων ἐκ τῆς λίμνης εἰς τὸν Ὀλυνθιακὸν ἀναβαίνειν ποταμόν. ἐστὶ δὲ βραχύς, ὥστε μόλις κρύπτειν τὸ σφυρόν· ἀλλ' οὐδὲν ἧττον τοσοῦτον ἔρχεται πλῆθος ἰχθύων, ὥστε τοὺς περιοίκους ἅπαντας ἱκανὸν εἰς τὴν

XI.

Apopyris circa Bolben lacum.

Olynthus, Herculis & Bolbes fil.

1 αἰνὰ τρέφει ed. Ven. cum Ms. Unde fortasse, θηρί' ὅσ' ἤπειρος αἰνὰ τρέφει. 2 Partim Κόμβην, partim Βολύκην edd. h. l. & mox Βολβὴν Ms. 3 Abest Περὶ vulgo. 4 Βολύης edd. & mox rursus Βολύη. 5 Deest καὶ edd.

quotquot tellus alit, formam adsumebat, quo vim illius effugeret.

11. Memini etiam quae de *Apopyri*, quam vocant, narrantur circa *Bolben* lacum; de qua Hegesander in Commentariis ita scribit: »Circa Apolloniam Chalcidicam duo fluunt rivi, Ammites & Olynthiacus: quorum uterque in Bolben lacum influit. Ad Olynthiacum est Olynthi monumentum, Herculis filii & Bolbae. Mensibus igitur anthesterione & elaphebolione, ut narrant indigenae, mittit Bolba Apopyrin Olyntho, eoque tempore immensa piscium multitudo in Olynthiacum rivum adscendit. Est autem brevis rivus, ut malleolum pedis vix tegat aqua: nihilo vero minus tanta adscendit piscium multitudo, ut omnes adcolae salsamentorum

ἑαυτῶν χρείαν συντιθέναι τάριχος. Θαυμαστὸν δέ ἐστι τὸ μὴ παραλλάττειν τὸ τοῦ Ὀλύνθου μνημεῖον. Πρότερον μὲν οὖν, φασὶ, τοὺς κατὰ τὴν Ἀπολλωνίαν ἐλαφηβολιῶνος τὰ νόμιμα συντελεῖν τοῖς τελευτήσασι, νῦν δὲ ἀνθεστηριῶνος. διὰ ταύτην οὖν τὴν αἰτίαν μόνοις τούτοις τοῖς μησὶ τοὺς ἰχθῦς τὴν ἀναβασιν ποιεῖσθαι, ἐν οἷς τοὺς τετελευτηκότας εἰώθασι τιμᾶν."

XII. Καὶ ταῦτα μὲν ταύτη, ἄνδρες ἰχθύες. ὑμεῖς γὰρ πάντα συναθροίσαντες, βορὰν ἡμᾶς τοῖς ἰχθύσι παρα- a
βεβλήκατε, καὶ οὐκ ἐκείνους ἡμῖν, τοσαῦτα εἰπόντες
Ichthyas, philosophus Megaricus. ἃ οὐδε[1] Ἰχθύας, ὁ Μεγαρικὸς φιλόσοφος, οὐδ' Ἰχθύων, (ὄνομα δὲ καὶ τοῦτο κύριον) οὗ μνημονεύει Τηλεκλείδης ἐν Ἀμφικτύοσι. Δι' ὑμᾶς δὲ καὶ τῷ παιδὶ παρακελεύσομαι, κατὰ τοὺς Φερεκράτους Μυρμηκανθρώπους·

1 Ὅσα οὐδ' Ἰχθ. corr. Casaub.

copiam, quae ipsorum usui sufficiat, condiant. Mirum est vero, non ultra Olynthi monumentum eos adscendere. Olim igitur, aiunt, elaphebolione mense Apolloniatas defunctorum manibus celebrasse inferias, nunc vero anthesterione: eamque ob caussam solis his mensibus pisces adscendere, quibus mensibus defunctis iusta facere consuessent. "

12. Et haec quidem hactenus, Viri pisces. Vos enim omnia colligentes, pabulum nos piscibus proiecistis, non illos nobis: tantumque feciſtis verborum, quantum ne ipse quidem *Ichthyas* facere potuisset, Megaricus philosophus, aut *Ichthyon*, (nam & hoc proprium nomen est) cuius Teleclides meminit in Amphictyonibus. Propter vos vero etiam puerum ego iubebo, quemadmodum est apud Pherecratem in Myrmecanthropis: (Formicis - hominibus:)

Μηδέ ποτ' ἰχθῦν, ὦ Δευκαλίων,
μηδ' ἂν, αἰτῶ, παραβῆς μοι.

Καὶ γὰρ ἐν Δήλῳ, φησὶ Σῆμος ὁ Δήλιος ἐν δευτέρῳ Δηλιάδος, ὅταν θύωσι τῇ Βριζοῖ· αὕτη δέ ἐστιν ἡ ἐν ὕπνῳ μάντις· (βρίζειν δὲ οἱ ἀρχαῖοι λέγουσι τὸ καθεύδειν·

b Ἔνθα δ' ἀποβρίξαντες ἐμείναμεν ἠῶ δῖαν.)

ταύτῃ οὖν ὅταν θύωσιν αἱ Δηλιάδες, προσφέρουσιν αὐτῇ σκάφας πάντων πλήρεις ἀγαθῶν, πλὴν ἰχθύων, διὰ τὸ εὔχεσθαι ταύτῃ περί τε πάντων, καὶ ὑπὲρ τῆς τῶν πλοίων σωτηρίας.

Brizo, vates per somnum.

XIII.

Χρύσιππον δ', ἄνδρες φίλοι, τὸν τῆς Στοᾶς ἡγεμόνα κατὰ πολλὰ θαυμάζων, ἔτι μᾶλλον ἐπαινῶ, τὸν πολλυβρύλλητον ἐπὶ τῇ Ὀψολογίᾳ Ἀρχέστρατον ἀεί ποτε μετὰ Φιλαινίδος κατατάττοντα, εἰς ἣν ἀνα-

Philaenidem infamiâ purgat Aeschrio.

Numquam mihi piſcem, Deucalion, numquam, quaeſo, adpone.

Nam & in Delo inſula, ut ſcribit Semus Delius ſecundo libro Deliados, cum ſacra faciunt *Brizoï*, quae eſt vates per ſomnum: (nam βρίζειν veteres *dormire* dixerunt; ut

Ibi cum dormiſſemus, (ἀποβρίξαντες,) divam exſpectabamus auroram.)

huic igitur cum ſacra faciunt Deliacae mulieres, offerunt ei ſcaphulas bonis rebus cuiusvis generis refertas, piſcibus exceptis: vota enim faciunt huic cum aliarum rerum omnium cauſſâ, tum pro conſervandis ipſorum naviculis.

13. Ego vero, Viri amici, Chryſippum Stoae antiſtitem cum ob alia multa demiror, tum hoc nomine laudo, quod ob Obſonandi artem celebratum *Archeſtratum* ſemper eodem loco cum *Philaenide* poſuerit ille, cui

φέρεται τὸ περὶ Ἀφροδισίων ἀκόλαστον σύγγραμμα· ὅπερ φησὶ ποιῆσαι Αἰσχρίων ὁ Σάμιος ἰαμβοποιὸς c
Πολυκράτη τὸν σοφιστὴν ἐπὶ διαβολῇ τῆς ἀνθρώπου, σωφρονεστάτης γενομένης. ἔχει δὲ οὕτως τὰ ἰαμβεῖα·

Ἐγὼ Φιλαινὶς, ἡ πίβωτος ἀνθρώποις,
ἐνταῦθα γήρᾳ τῷ μακρῷ κεκοίμημαι.
Μή μ', ὦ μάταιε ναῦτα, τὴν ἄκραν κάμπτων,
χλεύην τε ποιεῦ καὶ γέλωτα καὶ λάσθην. [1]
Οὐ γὰρ, μὰ τὸν Ζεῦν, [2] οὐ, μὰ τοὺς κάτω Κούρους,
οὐκ ἦν ἐς ἄνδρας μάχλος, οὐδὲ δημώδης·
Πολυκράτης δὲ, τὴν γονὴν Ἀθηναῖος, d
λόγων τι παιπάλημα, καὶ κακὴ γλῶσσα,
ἔγραψεν ὅσσ' [3] ἔγραψ'· ἐγὼ γὰρ οὐκ οἶδα.

Archestratum & Philaenidem eodem loco habet Chrysippus.

Ἀλλ' οὖν γε ὁ [4] θαυμασιώτατος Χρύσιππος, ἐν τῷ πέμπτῳ περὶ τοῦ Καλοῦ καὶ τῆς Ἡδονῆς φησί· „καὶ

1 λάσθμην ms. *A*. 2 Ζῆν' Anthol. Planud. 3 οἳ' ἔγραψ' Anthol. 4 Ἀλλ' οὖν ὅ γε malebam.

tribuitur lascivum de Rebus Venereis scriptum; quod Aeschrio quidem Samius, iambicus poëta, ait a Polycrate sophista confectum, quo obtrectaret foeminae, quae honestissima fuisset. Sunt autem (Aeschrionis) iambi huiusmodi:

Ego Philaenis, famosa inter mortales,
hic senio confecta iaceo.
Ne me, o stulte nauta, promontorium circumnavigans,
ludibrio habe & risui opprobrioque.
Non enim, per Iovem, non, per inferos Iuvenes,
non fui in viros libidinosa, non illis me prostitui.
Sed Polycrates, genere Athenienſis,
astutus blatero, & lingua maligna,
scripsit quae scripsit: ego enim sum nescia.

Admirabilis igitur ille Chrysippus, quinto libro de Honestate & Voluptate, sic scribit: »Et Philaenidis libros,

βιβλία τά τε Φιλαινίδος, καὶ τὴν τοῦ Ἀρχεστράτου Γαστρονομίαν, καὶ δυνάμεις βρωτικὰς [1] καὶ συνουσιαστικὰς, ὁμοίως δὲ καὶ τὰς θεραπαίνας ἐμπείρους τοιῶνδε κινήσεών τε καὶ σχημάτων, καὶ περὶ τὴν τούτων
e μελέτην γινομένας." καὶ πάλιν· „ἐκμανθάνειν τ' αὐτοὺς τὰ τοιαῦτα, καὶ κτᾶσθαι τὰ περὶ τούτων γεγραμμένα Φιλαινίδι καὶ Ἀρχεστράτῳ, καὶ τοῖς τὰ ὅμοια γράψασι." καὶν τῷ ἑβδόμῳ δὲ φησί· „καθάπερ γὰρ οὐκ ἐκμανθάνειν τὰ Φιλαινίδος καὶ τὴν Ἀρχεστράτου Γαστρονομίαν ἐστὶν ὡς φέροντά τι πρὸς τὸ ζῆν ἄμεινον."

XIV. Sardanapali vita.

Ὑμεῖς δὲ, πολλάκις τοῦ Ἀρχεστράτου τούτου μνημονεύσαντες, ἀπολασίας ἐπληρώσατε τὸ συμπόσιον. τί γὰρ τῶν ἐπιτρίψαι δυναμένων παρέλιπεν ὁ καf λὸς οὗτος ἑποποιὸς, καὶ μόνος ζηλώσας τὸν Σαρδαναπάλλου [2] τοῦ Ἀνακυνδαράξεω [3] βίον, ὃν ἀδιανοητότε-

1 ἐρωτικὰς corr. Coray. 2 Σαρδαναπάλου edd. cum ms. *Ep.* & sic deinde. 3 Ἀναχινδαρ. ed. Baf. & Caf.

& Archeſtrati Gaſtronomiam, & medicamenta cum vorandi adpetitum tum Veneris libidinem excitantia; item famulas, motuum & ſchematum huc ſpectantium gnaras, & harum rerum ſtudio intentas. «Rurſusque: »Ediſcere eos talia, & quae de his a Philaenide & Archeſtrato & aliis ſimilibus ſcripta ſunt, ſibi comparare. « Deinde ſeptimo libro ait: » Quemadmodum enim non Philaenidis ſcripta aut Archeſtrati Gaſtronomiam ediſcere oportet, tamquam ad bene vivendum conducentia. «

14. At vos, *Archeſtrati* huius frequenti mentione facta, laſciviae plenum feciſtis hoc convivium. Quid enim quaeſo eorum, quae excitare homines ad libidinem poſſunt, praetermiſit praeclarus hic poëta, & unicus aemulator vitae *Sardanapalli*, Anacyndaraxae fi-

ρον εἶναι κατὰ τὴν προσηγορίαν τοῦ πατρὸς Ἀριστοτέλης ἐΩη. ἐΦ' οὗ τοῦ τάΦου ἐπιγεγράΦθαι Φησὶ Χρύσιππος τάδε·

Εὖ εἰδὼς ὅτι θνητὸς ἔΦυς, τὸν θυμὸν ἄεξε, a
τερπόμενος θαλίῃσι· θανόντι σοι [1] οὔ τις ὄνησις.
Καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας.
κεῖν' ἔχω, ὅσσ' ἔΦαγον καὶ ἐΦύβρισα, καὶ σὺν ἔρωτι τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα λέλυνται.
Ἥδε σοΦὴ βιότοιο παραίνεσις· οὐδέ ποτ' αὐτῆς
λήσομαι. ἐκτήσθω δ' ὁ θέλων τὸν ἀπείρονα χρυσόν. b

Καὶ ἐπὶ τῶν Φαιάκων δὲ ὁ ποιητὴς ἔΦη·

Αἰεὶ δ' ἡμῖν δαὶς τε Φίλη, κίθαρίς τε, χοροί τε,
εἵματα τ' ἐξήμοιβα, λόετρά τε θερμὰ, καὶ εὐναί.

Καὶ ἄλλος δέ τις Φησὶ, τῷ Σαρδαναπάλλῳ παραπλήσιος, ὑποτιθέμενος καὶ οὗτος τοῖς μὴ σωΦρονοῦσι τοιάδε·

1 Θανόντι τοι ms. *Ep.*

lii; quem obſcuriorem reddi adiecto patris nomine Ariſtoteles dixit. Cuius ſepulcro inſcripta fuiſſe verba in hanc ſententiam ait Chryſippus:

Bene gnarus mortalem te natum, genio indulge,
epulisque oblectare: poſt mortem nulla voluptas.
Nam & ego cinis ſum, magnae rex Nini qui modo fui.
Haec habeo, quae edi, quaeque exſaturata libido
hauſit: at illa iacent multa & praeclara relicta.
Hoc ſapiens vitae praeceptum: huius memoria numquam
mihi excidet. Potiatur, qui vult, auri immenſâ copiâ.

Et de Phaeacibus ait Poëta:

Semper nobis convivium gratum, citharaque, chorique,
& veſtes mutatoriae, lavacraque calida, & cubilia.

Alius vero, Sardanapallo ſimilis, tale inſipientibus praeceptum dedit:

Πᾶσιν δὲ θνητοῖς βούλομαι παραινέσαι,
τοὐφήμερον ζῆν ἡδέως. ὁ γὰρ θανὼν,
τὸ μηδέν ἐστι, καὶ σκιὰ κατὰ χθονός.
c μικροῦ δὲ βιότου ζῶντ' ἐπαύρεσθαι χρεών.

Καὶ Ἄμφις δὲ ὁ κωμῳδιοποιὸς, ἐν Ἰαλέμῳ, φησίν·

Ὅστις δὲ θνητὸς γενόμενος μὴ τῷ βίῳ
ζητεῖ τι τερπνὸν προσφέρειν, τὰ δ' ἄλλ' ἐᾷ,
μάταιός ἐστιν ἔργῳ, ἐμοὶ [1] καὶ τοῖς σοφοῖς
κριταῖς ἅπασιν, ἐκ θεῶν τε δυστυχής.

Καὶ ἐν τῇ ἐπιγραφομένῃ δὲ Γυναικοκρατίᾳ [2] τὰ ὅμοια λέγει·

Πῖνε, παῖζε· [3] θνητὸς ὁ βίος·
ὀλίγος οὐπὶ γῆ [4] χρόνος.
ὁ θάνατος [5] δ' ἀθάνατός ἐστιν,
ἢν ἅπαξ τις [6] ἀποθάνῃ.

d Καὶ Βακχίδας δέ τις, τὸν αὐτὸν Σαρδαναπάλλῳ ζήσας

1 μάταιός ἐστιν ὅς γ' ἐμοὶ edd. 2 Forſ. Γυναικομανίᾳ, ut alibi. 3 καὶ παῖζε vulgo. 4 ὁ ὑπὲρ γῆς edd. οὐπὶ γῆς malim. 5 θάνατος vulgo absque artic. 6 ἅπαξ ἂν τις edd. ἂν ἅπαξ mssti.

Omnes ego mortales monitos volo,
in diem laeti ut vivant. Nam mortuus
nihil eſt; nil niſi ſub terris umbra.
Brevi vitâ, dum vivis, oportet frui.

Et Amphis comicus, in Ialemo, ait:

Quisquis mortalis natus non ſtudet iucundi quidpiam
vitae ſuae adferre, omiſſis aliis rebus,
is revera ſtultus eſt, me iudice cunctisque
prudentibus, & malo fato miſer.

Similiaque idem dicit in Gynaecocratia. (Foeminarum-dominatu:)

Bibe, lude; vita mortalis; brevis mora ſuper terra.
Mors autem immortalis eſt, ſi quis ſemel obiit.

Bacchidas vero quidam, cum ſimilem Sardanapalli vitam

βίον, ἀπολαῦσαν ἐπὶ τοῦ τάφου ἐπιγεγραμμένον ἔχει·

Πίων, φαγέν, καὶ πάντα τῷ ψυχῷ δόμεν.
καὶγὼ γὰρ ἕστακ' ἀντὶ Βακχίδα λίθος.

XV. Ἄλεξις δ' ἐν Ἀσωτοδιδασκάλῳ, φησὶν Σωτίων [1] ὁ Ἀλεξανδρεὺς ἐν τοῖς Περὶ τῶν Τίμωνος Σιλλῶν· ἐγὼ γὰρ οὐκ ἀπήντησα τῷ δράματι· πλείονα [2] τῆς μέσης καλουμένης κωμῳδίας ἀναγνοὺς δράματα τῶν ὀκτακοσίων, καὶ τούτων ἐκλογὰς ποιησάμενος, [3] οὐ περιέτυχον τῷ Ἀσωτοδιδασκάλῳ, ἀλλ' οὐδ' ἀναγραφῆς ἀξιωθέντι σύνοιδα. οὔτε γὰρ Καλλίμαχος, οὔτε Ἀριστοφάνης αὐτὸ ἀνέγραψαν, ἀλλ' οὐδὲ οἱ τὰς ἐν Περγάμῳ Ἀναγραφὰς ποιησάμενοι. ὁ δὲ Σωτίων φησὶν, ἐν τῷ δράματι Ξανθίαν τινὰ οἰκέτην πεποιῆσθαι προτρεπόμενον ἐπὶ ἡδυπάθειαν ὁμοδούλους ἑαυτοῦ, καὶ λέγοντα·

Alexidis Asotodidascalus.

Ex DCCC dramatibus mediae Comoediae excerpta fecit Athenaeus.

1 Perperam editi, φησὶν, ὡς Σατίαν. 2 Forſ. πλείονα δὲ τῆς. 3 Deſiderabam οὐ μόνον οὐ περιέτυχον.

vixiſſet, poſt mortem haec verba tumulo inſcripta habuit:

Bibe, ede, animo omnia indulge.
Nam ego, pro Bacchida, hic, ecce, ſto lapis.

15. Alexis vero, in Aſotodidaſcalo, (id eſt, Aſotorum magiſtro,) ut ait Sotion Alexandrinus in Commentariis in Timonis Sillos; ego enim ipſum drama non vidi: cumque amplius octingenta dramata mediae Comoediae perlegerim, ex eisque Excerpta confecerim, non modo non incidi in Aſotodidaſcalum, ſed ne in ullo quidem Dramatum Recenſu mentionem eius factam reperire memini. Nec enim a Callimacho, nec ab Ariſtophane commemorata ea fabula eſt; ſed ne ab iis quidem qui in urbe Pergamo Recenſum Fabularum ediderunt. Sotion igitur ait, in ea fabula induci ſervum aliquem Xanthiam, conſervos ſuos ad voluptatis ſtudium cohortantem his verbis:

Τί ταῦτα λῆρεῖς, φληναφῶν ἄνω κάτω
Λύκειον, Ἀκαδημίαν, Ὠδείου πύλας, [1]
λήρους σοφιστῶν; οὐδὲ ἓν τούτων καλόν.
Πίνωμεν, ἐμπίνωμεν! ὦ Σίκων, [Σίκων!] [2]
f χαίρωμεν, ἕως ἔνεστι τὴν ψυχὴν τρέφειν.
Τύρβαζε, Μάνη! [3] γαστρὸς οὐδὲν ἥδιον.
αὕτη πατήρ σοι, καὶ πάλιν μήτηρ μόνη.
Ἀρεταὶ δὲ, πρεσβεῖαί τε, καὶ στρατηγίαι,
κόμποι κενοὶ ψοφοῦσιν ἀντ' ὀνειράτων. [4]
Ψύξει σ' ὁ δαίμων τῷ πεπρωμένῳ χρόνῳ·
ἔξεις δ' ὅσ' ἂν φάγῃς τε καὶ πίῃς μόνα·
σποδοὶ δὲ τ' ἄλλα, Περικλέης, Κόδρος, Κίμων.

XVI. Meliora monet Chrysippus.

Κρεῖττον δ' ἂν εἶχε, φησὶν ὁ Χρύσιππος, εἰ μετελήφθη τὰ ἐπὶ τοῦ Σαρδαναπάλλου, οὕτως·
a Εὖ εἰδὼς, ὅτι θνητὸς ἔφυς, σὸν θυμὸν ἄεξε,

1 ᾠδεῖον, πύλας edd. 2 ἐκπίνωμεν . . . . σικᾶν edd. cum lacuna. 3 Τύρβαζε μανὴν vulgo. 4 ἀντ' ὀνειάταν corr. Valck.

Quid iſta toties repetis ad faſtidium,
Academiam, Lyceum, & Odei fores,
magiſtellorum nugas, in queis nil boni eſt?
Bibamus, ebibamus! o Sicon, Sicon!
Gaudentes animam fulciamus, dum licet.
Fruare, Mane! Ventre nihil eſt ſuavius:
hic ſolus pater eſt, ſolus eſt mater tibi.
Virtus, legationes, ductus bellici,
faſtus inanes, ſomnii ſtrepitant vicem.
Veniet fatalis hora, quae te frigeret:
nil niſi quod biberis & edis, reſtabit tibi.
Reliqua cinis ſunt, ut Codrus, Pericles, Cimon.

16. Satius autem fore, ait Chryſippus, ſi iſti in Sardanapallum confecti verſus, in hunc modum immutarentur:

Bene gnarus mortalem te natum, animum tuum cura,

τερπόμενος μύθοισι. Φαγόντι σοι [1] οὔ τις ὄνησις.
καὶ γὰρ ἐγὼ κακός εἰμι φαγὼν ὡς πλεῖστα καὶ ἡσθείς.
Ταῦτ' ἔχω, ὅσσ' ἔμαθον καὶ ἐφρόντισα, καὶ μετὰ τούτων
ἔσθλ' ἔπαθον. τὰ δὲ λοιπὰ καὶ ἡδέα πάντα λέλειπται.

Παγκάλως δὲ καὶ ὁ Τίμων ἔφη·

Πάντων μὲν πρώτιστα [2] κακῶν ἐπιθυμίη ἐστί.

XVII. Terpsionis praeceptum de Testudine.

Κλέαρχος δὲ, ἐν τοῖς Περὶ Παροιμιῶν, καὶ διδάσκαλον τὸν Ἀρχεστράτου γενέσθαι φησὶ Τερψίωνα. b ὃν καὶ πρῶτον Γαστρολογίαν γράψαντα, διακελεύεσθαι τοῖς μαθηταῖς, τίνων ἀφεκτέον. ἀπεσχεδιακέναι τε τὸν Τερψίωνα καὶ περὶ τῆς χελώνης τάδε·

Ἡ [3] χρὴ χελώνης ἢ φαγεῖν, ἢ μὴ φαγεῖν.

ἄλλοι δ' οὕτως λέγουσιν·

1 φαγόντι τοι ms. *Ep.* 2 πρωτίστη malebam. πρωτίστα ms. *Ep.* 3 Η absque accentu in *Ms.* Desunt editis quatuor verba, τάδε, & Ἡ χρὴ χελάνης.

doctrinis te oblectans. In edendo nullum iuvamen.
Nam & ego, nimium pastus, peior fui, voluptatibusque fruitus.
Haec possideo, quae didici & meditatus sum, & quae ex his bona accepi: caeterae omnes voluptates iacent relictae.

Praeclare omnino etiam Timon dixit:

Omnium malorum princeps cupiditas est.

17. Clearchus, in libro de Proverbiis, magistrum Archestrati fuisse ait *Terpsionem:* eumque primum *Gastrologiam* scripsisse, in qua praeceperit discipulis, quibus cibis abstinere deberent. Eumdem Terpsionem, ait, etiam illud de testudine praeceptum e re nata pronuntiasse:

Aut edere de testudine oportet, aut non edere.

Quod alii sic efferunt:

Ἢ δεῖ χελώνης κρέα φαγεῖν, ἢ μὴ φαγεῖν.

XVIII. Dorion fidicen.

Πόθεν δ' ὑμῖν, ὦ σοφώτατοι, ἐπῆλθε καὶ ὁ ὀψολόγος Δωρίων, ὡς καὶ συγγραφεύς τις γενόμενος; ὃν ἐγὼ κρουματοποιὸν οἶδα ὀνομαζόμενον, καὶ Φίλιχθυν, c συγγραφέα δὲ οὔ. ὡς μὲν οὖν κρουματοποιοῦ μνημονεύει Μάχων ὁ κωμῳδιοποιὸς οὕτως·

Ὁ κρουματοποιὸς Δωρίων ποτ' εἰς Μύλων'
ἐλθών, κατάλυσιν οὐδαμοῦ μισθωτίμην
δυνάμενος εὑρεῖν, ἐν τεμένει καθίσας τινί,
ὃ πρὸ τῶν πυλῶν ἦν κατὰ τύχην ἱδρυμένον,
ἰδών τ' ἐπιθύοντα [1] τὸν νεωκόρον·
„Πρὸς τῆς Ἀθηνᾶς καὶ θεῶν, τίνος φράσον
„ἐστὶν ὁ νεώς, βέλτιστε, φησὶν, οὑτοσί;"
ὁ δ' εἶπεν αὐτῷ· „Ζηνοποσειδῶνος, ξένε."
d ὁ Δωρίων δέ· „Πῶς ἂν οὖν ἐνταῦθ', ἔφη,

Dorionis facete responsa.

1 Ἰδών τ' ἐπειτα θύοντα corr. Casaub. Ἰδών τε πη θύοντα Grot.

Carnem testudinis aut edere oportet, aut non edere.

18. Quid est autem, Viri sapientissimi, quod opsologum *Dorionem* veluti scriptorem aliquem nobis commemoratis? quem equidem novi fidicinem adpellatum, & piscium heluonem; scriptorem a nemine nominatum novi. Ut fidicinis quidem mentionem eius facit Machon comicus, his verbis:

Mylona forte Dorio fidicen venerat:
nec usquam conducendum diversorium
reperire poterat. Igitur in fano sedet,
quod propter urbis ipsa adstabat moenia.
Ubi propere ad se currentem aedituum videns:
» Per te Minervam, per Deos, inquit, precor,
» dic, bone vir, templum cui sacratum est numini? «
Respondens ille: » Est, ait, hoc Iove-Neptunium. «
» Quis ergo iam mortalis, inquit Dorio,

„δύναιτο [καὶ] [1] καταγώγιον ἐξευρεῖν τις, οὗ
„καὶ τοὺς θεοὺς φάσκουσιν οἰκεῖν σύνδυο;“

Λυγκεὺς δ' ὁ Σάμιος, ὁ Θεοφράστου μὲν μαθητὴς, Δουρίδος δὲ ἀδελφὸς, τοῦ τὰς Ἱστορίας γράψαντος, καὶ τυραννήσαντος τῆς πατρίδος, ἐν τοῖς Ἀποφθέγμασι, [γράφει οὕτως·] [2] „Δωρίωνι τῷ αὐλητῇ φάσκοντός τινος, ἀγαθὸν ἰχθὺν εἶναι βατίδα· „Ὥσπερ ἂν εἴ τις, ἔφη, ἐφθὸν τρίβωνα ἐσθίοι.“ Ἐπαινοῦντος δ' ἄλλου τὰ τῶν θύννων ὑπογάστρια· „Καὶ μάλα, ἔφη. δεῖ μέν τοι e γε [3] ἐσθίειν αὐτὰ ὥσπερ ἐγὼ ἐσθίω.“ εἰπόντος δὲ, πῶς· ὁ δέ· „Πῶς; [4] ἡδέως· ἔφη. Τοὺς δὲ καράβους, ἔφη, τρία ἔχειν· διατριβὴν, καὶ εὐωχίαν, καὶ θεωρίαν. Ἐν Κύπρῳ δὲ παρὰ Νικοκρέοντι δειπνῶν, ἐπήνεσε ποτήριόν τι. καὶ ὁ Νικοκρέων ἔφη, ὃ ἂν βούλῃ [5] ὁ αὐτὸς τεχνίτης ποιήσει σοὶ ἕτερον. Σοί γε ἔφη, ἐμοὶ δὲ τοῦτο

1 Abeſt vulgo καὶ particula. 2 Deſunt vulgo duo verba. 3 οὖν inſerunt edd. 4 Abeſt alterum πῶς ms. *Ep.* 5 ὅταν βούλῃ malebam.

» *hoſpitium ſperet urbe in illa, quae Deos*
» *duos compingit unum in contubernium?* «

Lynceus vero Samius, Theophraſti diſcipulus, Duridis illius frater, qui Hiſtorias conſcripſit, & in patria tyrannidem occupavit, in Apophthegmatibus haec ſcribit: » Dorioni fidicini cum diceret aliquis, bonum piſcem eſſe raiam: *Quaſi quis*, reſpondit ille, *tritum pallium elixum comedat.* Laudante alio thynnorum abdomina: *Recte ais*, inquit ille; *oportet vero ea comedere ſicut ego comedo.* Roganteque illo, quo tandem modo; reſpondit: *Quonam modo, rogas? Libenter.* Idem dicere ſolebat, *Locuſtas marinas tria habere: gratam exercitationem, ſuavem cibum, & contemplationem.* In Cypro vero coenans apud Nicocreontem, laudavit poculum aliquod. *Quodcumque voles*, ait Nicocreon, *idem artifex aliud ſimile tibi confecerit.* — *Immo tibi;* inquit ille: *mihi vero hoc dona.* Non inſipienter

δός. οὐκ ἀνοήτως τοῦτο φήσας ὁ αὐλητής. λόγος γὰρ παλαιὸς, ὡς ὅτι

Ἀνδρὶ μὲν αὐλητῆρι θεοὶ νόον οὐκ ἐνέφυσαν· [1]
f ἀλλ' ἅμα τῷ Φυσῆν [2] χ' ὡ νόος ἐκπέταται."

XIX.

Dorion, piscium lurco.

Ἡγήσανδρος δ' ἐν τοῖς Ὑπομνήμασιν τάδε φησὶ περὶ αὐτοῦ. „Δωρίων ὁ ὀψοφάγος, τοῦ παιδὸς οὐκ ἀγοράσαντος ἰχθῦς, μαστιγῶν αὐτὸν, ἐκέλευε τῶν ἀρίστων ἰχθύων ὀνόματα λέγειν. τοῦ δὲ παιδὸς, ὀρφὸν
a καὶ γλαυκίσκον καὶ γόγγρον, καὶ τοιούτους ἑτέρους καθαριθμοῦντος· Ἰχθύων σε, φησὶν, ἐκέλευον ὀνόματα λέγειν, οὐ θεῶν." Ὁ αὐτὸς Δωρίων καταγελῶν τοῦ ἐν τῷ Τιμοθέου Ναυτίλῳ [3] χειμῶνος, ἔφασκεν „ἐν κακκάβᾳ ζεούσᾳ μείζονα ἑωρακέναι χειμῶνα." Ἀριστόδημος δὲ, ἐν δευτέρῳ γελοίων Ἀπομνημονευμάτων, φησί· „Δωρίωνος τοῦ κρουματοποιοῦ, κυλλόποδος ὄντος, ἀπώλετο ἐν συμποσίῳ τοῦ χωλοῦ ποδὸς τὸ βλαυτίον.

1 Immo, οὖν ἐνέφυσαν. 2 φυσᾷν edd. 3 Ναυπλίῳ ex Suida videtur legendum.

id quidem a tibicine dictum. Est enim vetus sermo in hanc sententiam:

Homini quidem tibicini mentem Dii inseruerunt;
at avolat mens, statim ac ille tibiam inflat."

19. De eodem Hegesander, in Commentariis, haec scribit: »Dorion, obsoniorum lurco, quum servulus pisces non emisset, flagello castigatum iussit optimorum piscium edicere nomina. Qui quum orphum & glaucisum, & congrum, similesque alios enumeraret: *at piscium nomina*, inquit ille, *edere te iussi, non Deorum.* Idem Dorion, ridens tempestatem in Timothei Nautilo [*sive*, Nauplio] descriptam, ait, *in fervente caccabo vehementiorem se tempestatem vidisse.*« Aristodemus vero, secundo libro Ridicule dictorum, scribit: »Altero pede claudus cum esset Dorion fidicen, amisit in convivio soleam

καὶ ὃς, Οὐδέν, ἔφη, πλεῖον καταράσομαι τῷ κλέψαντι, ἢ ἁρμόσαι αὐτῷ τὸ σανδάλιον.“ Ὅτι δ' ἦν ὁ b Δωρίων οὗτος ἐπὶ ὀψοφαγίᾳ διαβόητος, φανερὸν ἐξ ὧν λέγει Μνησίμαχος ὁ κωμῳδιοποιὸς ἐν Φιλίππῳ δράματι·

Οὐκ, ἀλλὰ [1] καὶ τῆς νυκτὸς Δωρίων ἔνδον
ἐστὶν [2] παρ' ἡμῖν λοπαδοφυσητής. [3] —

XX.

Lasi lusus verborum.

Οἶδα δὲ καὶ ἃ ὁ Ἑρμιονεὺς Λάσος ἔπαιξε περὶ ἰχθύων, ἅπερ Χαμαιλέων ἀνέγραψεν ὁ Ἡρακλεώτης ἐν τῷ Περὶ αὐτοῦ τοῦ Λάσου συγγράμματι, λέγων ὧδε· „Τὸν Λάσον, φασί, [4] τὸν ὠμὸν ἰχθὺν ὀπτὸν εἶναι φάσκειν. θαυμαζόντων δὲ πολλῶν, ἐπιχειρεῖν λέγειν· ὡς, ὃ ἐστιν ἀκοῦσαι, τοῦτό ἐστιν ἀκουστόν· καὶ, ὃ ἐστι νοῆσαι, τοῦτό ἐστι νοητόν· ὡσαύτως οὖν c καὶ ὃ ἐστιν ἰδεῖν, τοῦτο εἶναι ὀπτόν· ὥστ' ἐπειδὴ τὸν

1 Οὐ καλὰ edd. Mox transponenda fuerint verba, ἔνδον Δωρίων. 2 ἐστὶ vulgo. 3 λοπαδιφυσήτης edd. 4 φησὶ vulgo.

claudo pedi aptam. Tum ille: *Nihil amplius*, inquit, *precor huic qui eam subripuit, quam ut eius pedi sit apta.*« Famosum vero fuisse obsoniorum lurconem Dorionem adparet etiam ex his quae Mnesimachus ait in fabula, cui titulus Philippus:

Non: verum etiam nocte intus Dorion
est apud nos, patinis canens.

20. Memini vero etiam quae Hermionensis *Lasus* lusit de piscibus; quae scripto consignavit Chamaeleon Heracleotes in libro, quem de ipso illo Laso edidit, ubi ait: »Lasum dixisse, narrant, *piscem crudum* esse ὀπτόν. Quod quum mire dictum videretur multis, ille sic probare adgressus est: *Quemadmodum, quod exaudiri potest, id est,* ἀκουστόν; *& quod cogitari, id* νοητόν: *pari ratione, quod conspici potest, id esse* ὀπτόν. *Itaque piscem, ut*

ἰχθῦν ἦν ἰδεῖν, ὀπτὸν αὐτὰν εἶναι. Καὶ παίζων δέ ποτε ἰχθῦν παρά τινων ἁλιέων [1] ὑφείλετο, καὶ λαβὼν ἔδωκέ τινι τῶν παρεστώτων. ὁρκίζοντος δὲ τοῦ ἁλιέως, [2] ὤμοσεν μήτ' αὐτὸς ἔχειν τὸν ἰχθῦν, μήτε ἄλλῳ συνειδέναι λαβόντι, διὰ τὸ λαβεῖν μὲν αὐτὸν, [3] ἔχειν δὲ ἕτερον· ὃν ἐδίδαξεν ἀπαμόσαι πάλιν, ὅτι αὔτ' αὐτὸς ἔλαβεν, οὔτ' ἄλλον ἔχοντ' οἶδεν. εἰλήφει μὲν γὰρ ὁ Λάδ σος, εἶχεν δὲ αὐτός. Τοιαῦτα δὲ καὶ Ἐπίχαρμος παίζει. ὥσπερ ἐν Λόγῳ καὶ Λογείνᾳ· [4]

Epicharmi lusus in verbis.

A. Ὁ Ζεὺς μ' ἐκάλεσε, Πέλοπί γ' ἔρανον ἑστιῶν.

B. Ἦ, παμπόνηρον ὄψον, ὦ τᾶν, ὁ γέρανος.

A. Ἀλλ' οὔτι γέρανον, ἀλλ' ἔρανον γε τοι [5] λέγω.

XXI.

Phyllus.

Ἄλεξις δ', ἐν Δημητρίῳ, Φάϋλλόν τινα κωμῳδεῖ ὡς φίλιχθυν, ἐν τούτοις·

Πρότερον μὲν εἰ πνεύσειε βορρᾶς ἢ νότος

1 παρά τινος τῶν ἁλιέων malebam. 2 Carent τοῦ ἁλιέως edd. & ms. *A.* 3 διὰ τὸ λαβεῖν μὲν αὐτὸς ms. *A.* 4 Vulgo ἐν Λόγῳ καὶ λόγον εἶναι. Alibi καὶ Λογίνᾳ. 5 ἔρανόν τοι vulgo.

qui conſpici poſſit, ὀπτὸν *eſſe*. Idem aliquando per iocum piſcem ſubripuit piſcatori, eumque uni dedit ex adſtantibus. Cum igitur ad iusiurandum eum adigeret piſcator, iuravit ille, *nec ſe habere piſcem, neque alium noviſſe qui ſubripuiſſet*: quoniam ſcilicet ipſe ſubripuiſſet, alter vero haberet. Alterum vero edocuerat, ut viciſſim ille iuraret, *nec ſe ſubripuiſſe, nec alium noſſe qui haberet.* Subripuerat quippe Laſus, habebat autem ipſe. Similia vero etiam Epicharmus luſit, velut in Logo & Logina:

A. *Vocavit me Iupiter, Pelopi - γε ἔρανον praebens.*

B. *Immo, peſſimum obſonium, amice, γέρανος.*

A. *At non γέρανον tibi dico, ſed ἔρανόν γε.*

21. Alexis vero, in Demetrio, Phayllum notat ut piſcium heluonem, his verbis:

Antea, ſi flabat boreas aut notus

ἐν τῇ θαλάττῃ λαμπρὸς, ἰχθῦς οὐκ ἐνῆν
οὐδενὶ φαγεῖν. Νυνὶ [1] δὲ πρὸς τοῖς πνεύμασι
τούτοις Φάϋλλος προσγέγονε χειμὼν τρίτος. e
ἐπὰν γὰρ ἐκνεφίας καταιγίσας τύχῃ 5
ἐς τὴν ἀγορὰν, τοὔψον πριάμενος οἴχεται
φέρων ἅπαν τὸ ληφθέν· ὥστε γίγνεται
ἐν τοῖς λαχάνοις τὸ λοιπὸν ἡμῖν ἡ μάχη.

Antiphanis Piſcatrix. Ἀντιφάνης δ', ἐν Ἁλιευομένῃ, φιληδοῦντάς τινας καταλέγων ἰχθύσι, φησί·

Τὰς σηπίας δὸς [2] πρῶτον. Ἡράκλεις ἄναξ,
ἅπαντα τεθολώκασιν. οὐ βαλεῖς πάλιν
εἰς τὴν θάλατταν καὶ πλυνεῖς; μὴ φῶσί σε,
Δωριᾶς, ἑώλους [3] σηπίας εἰληφέναι.
Τὸν κάραβον δὲ τόνδε πρὸς τὰς μαινίδας 5 f
ἀπόδος. [4] παχύς γε, νὴ Δί'. Ὦ Ζεῦ, τίς ποτε,

1 νῦν vulgo. 2 Τῆς σηπιάδος vulgo. 3 ἀλλ' οὐδὲ edd. ἀλλ' οὐκ Ms. 4 ἐπίδος corrigit Coray.

in mari vehemens, piſcem licebat
nemini comedere. Nunc ad hos ventos
Phayllus acceſſit, tertia tempeſtas.
Is enim quum velut procella irrumpit
in forum, obſonium quodcumque captum adeſt,
omne emtum abripit: nobisque nonniſi
in olitorio foro relinquitur contentio.

Antiphanes vero, in Piſcatrice, recenſens nonnullos piſcium cupediis deditos, ait:

Sepias da ſtatim. O rex Hercules!
inquinarunt omnia. Quin eas ocyus in maris aquam
coniice rurſus, lavaque: ne te dicant,
Dorias, putres cepiſſe ſepias.
Locuſtam vero hanc ad maenidas
repone. Pinguis valde, per Deum! Proh Iupiter, quis
tandem,

ὦ Καλλιμέδων, σὲ κατεδεῖτ' [1] ἄρτι τῶν φίλων;
οὐδείς, ὃς ἂν μὴ κατατιθῇ τὰς συμβολάς.
Ὑμᾶς δ' ἔταξα δεῦρο πρὸς τὰ δεξιὰ,
τρίγλας, ἔδεσμα τοῦ καλοῦ Καλλισθένους·
κατεσθίει γοῦν ἐπὶ μιᾷ τὴν οὐσίαν.
Καὶ τὸν Σινώπης γόγγρον ἤδη παχυτέρας
a ἔχοντ' ἀκάνθας, τουτονὶ τὶς [2] λήψεται
πρῶτος προσελθών. Μισγόλας [3] γὰρ οὐ πάνυ
τούτων ἐδεστής. ἀλλὰ κίθαρος [4] οὑτοσί·
ὃν ἂν ἴδῃ, τὰς χεῖρας οὐκ ἀφέξεται.
καὶ μὴν ἀληθῶς τοῖς κιθαρῳδοῖς, ὡς σφόδρα,
ἅπασιν οὗτος ἐπιπεφυκὼς λανθάνει.
Ἀνδρῶν τ' ἄριστον [5] Κωβιὸν, πηδῶντ' ἔτι,
πρὸς Πυθιονίκην τὴν καλὴν πέμψαι με δεῖ· [6]
b ἁδρὸς γὰρ ἐστίν. ἀλλ' ὅμως οὐ γεύσεται·

1 κατέδετ' ed. Ven. & Baſ. cum Ms. κατεῖδετ' ed. Caſ. 2 τοῦτον εἴ τις vulgo. 3 Σμιγέλας edd. & ſic deinde conſtanter. 4 κίθαρον corrigit Caſaub. 5 Ἀνδρῶν δ' ἄριστον corr. Caſaub. Forſan τὸν ἄριστον. 6 Forſ. μ' ἔδει, *oportebat.*

o Callimedon, te nunc comedet ſodalium?
nemo, quin ſymbolas ante depoſuerit.
Vos vero huc ad dextram ſepoſui,
triglas, cibum pulcri Calliſthenis.
nam & unius cauſſa rem dilapidat ſuam.
At congrum iſtum, cui craſſiores iam, quam Sinopae,
ſunt ſpinae, hunc quidem quilibet habebit
primus qui venerit. Nam Misgolas non admodum
his veſcitur. Sed ecce citharus:
quem ſi viderit, manum non abſtinebit:
revera enim citharoedis ille omnibus
vehementer adhaeret clanculum.
Fortiſſimum hunc gobium, ſalientem adhuc,
ad pulcram Pythionicam me mittere oportebat:
eſt enim grandis. Nec tamen guſtabit illa:

ἐπὶ τὸ τάριχός ἐστιν ὡρμηκυῖα γάρ.
Ἀφύας δὲ λεπτὰς τάσδε, καὶ τὴν τρυγόνα,
χωρὶς Θεανοῖ δεῦρ' ἔβηκ' ἀντιῤῥόπους. [1]

XXII. Misgolas.

Πιθανώτατα ἐπὶ τούτοις [2] ὁ Ἀντιφάνης καὶ τὸν Μισγόλαν κεκωμῴδηκεν, ὡς ἐσπουδακότα περὶ κιθαρῳδοὺς καὶ κιθαριστὰς ὡραίους. Φησὶ γὰρ ὁ ῥήτωρ Αἰσχίνης, ἐν τῷ κατὰ Τιμάρχου λόγῳ, περὶ αὐτοῦ τάδε· „ Μισγόλας ἐστὶ Ναυκράτους, ἄνδρες Ἀθηναῖοι, Κολυττεύς, ἀνὴρ τὰ μὲν ἄλλα καλὸς κ' ἀγαθός, καὶ οὐδαμῆ ἂν τις αὐτὸν μέμψαιτο· περὶ δὲ τὸ πρᾶγμα c τοῦτο δαιμονίως ἐσπουδακὼς, καὶ ἀεί τινας εἰωθὼς ἔχειν περὶ αὐτὸν κιθαρῳδοὺς, ἢ κιθαριστάς. ταυτὶ δὲ λέγω οὐ τοῦ Φορτικοῦ ἕνεκα, ἀλλ' ἵνα γνωρίσητε αὐτὸν ὅστις ἐστίν." Καὶ Τιμοκλῆς δ' ἐν Σαπφοῖ φησίν·

Ὁ Μισγόλας οὐ προσιέναι σοι φαίνεται,

1 εἰ εὑρέθη κ' ἀντιρρ. edd. 2 δ' ἐν τούτοις malueram.

nam ſalſamenti nunc maxime eſt cupida.
Apuas has tenues, & paſtinacam hanc,
ſeorſim pro Thcano poſui, pares illi pondere.

22. Non ſine ratione Antiphanes in iſtis *Misgolam* traduxit, ut pulcrorum citharoedorum & pulſantium citharas amore flagrantem. Dicit enim de eodem Aeſchines orator, in Oratione adverſus Timarchum, haecce: » Misgolas eſt, viri Athenienſes, Naucratis filius, Colyttenſis, vir caetera quidem probus honeſtusque, in quo nemo quidquam reprehendat: ſed huic rei mirum in modum deditus, & ſemper circa ſe habere ſolitus citharoedos nonnullos aut citharam pulſantes. Hoc autem dico, non ut in invidiam eum adducam, ſed quo noſſetis quis qualisve ille ſit. « Similiter Timocles in fabula Sappho ait:

Misgolam ad te nemo videt intrare:

ἀνθοῦσι τοῖς νέοισιν ἠρεθισμένος.

Ἀλεξις δε, ἐν Ἀγωνίδι [1] ἢ Ἱππίσκῳ·

Ὦ μήτερ, ἱκετεύω σε, μὴ πίσειέ μοι [2]
τὸν Μισγόλαν· οὐ γὰρ κιθαρῳδός εἰμ' ἐγώ.

XXIII. Pythionica.

d Πυθιονίκην δέ φησι φιλῆδεῖν ταρίχῳ, ἐπεὶ ἐραστὰς εἶχε τοὺς Χαιρεφίλου τοῦ ταριχοπώλου υἱούς, ὡς Τιμοκλῆς ἐν Ἰκαρίοις [3] φησίν·

Ἄνυτος ὁ παχὺς πρὸς Πυθιονίκην ὅταν ἐλθὼν
φάγῃ τί. [4] καλεῖ γὰρ αὐτόν, ὥς φασιν, ὁππόταν Χαιρεφίλου τοὺς δύο σκόμβρους ξενίσῃ, μεγάλοις [5] ἡδομένη. "

καὶ πάλιν·

Ἡ Πυθιονίκη δ' ἀσμένως σε δέξεται,
καὶ σοῦ κατεδεῖται τυχὸν ἴσως ἃ νῦν ἔχεις
λαβὼν παρ' ἡμῶν δῶρ'· ἄπληστός ἐστι γάρ.

1 ἐν Ἀγῶνι edd. 2 μὴ πείσειέ μοι ms. *A*. 3 Vulgo Νίκοκλῆς ἐν Ἀχαρίοις. 4 An? φάγῃ. B. Τί; A. Καλεῖ γὰρ &c. 5 μεγάλους vulgo.

florentium adoleſcentium amore ille flagrat.

Et Alexis, in Agonide ſive Equuleo:

O mater, obſecro te, ne incutias mihi
Misgolam: nec enim citharoedus ſum ego.

23. *Pythionicam* vero *falſamento delectari* ait Antiphanes, quoniam amatores habuit Chaerephili falſamentarii filios, ut Timocles ait in Icariis:

Anytus obeſus quum Pythionicam conveniens comedit cum ea. — Quid ais? — Vocat quippe illum, ut aiunt, quoties Chaerephili duos ſcombros hoſpitio excipit, grandibus delectata.

Et iterum:

Pythionica lubens te excipiet,
& tua abſumet fortaſſe quae nunc habes
accepta a nobis dona. Eſt enim inſatiabilis.

Ὅμως δὲ δοῦναί σοι κέλευσον σαργάνας [1] e
αὐτὴν ταρίχους. εὐπόρως γὰρ τυγχάνει
ἔχουσα, καὶ σύνεστι σαπέρδαις [2] δυσὶν,
καὶ ταῦτ' ἀνάλτοις καὶ πλατυῤῥύγχοις τισί.
Πρὸ τούτων δ' ἦν ἐραστὴς αὐτῆς Κωβιός τις ὄνομα.

XXIV.

Callimedon, cogn. Carabus, f. Locusta.

Περὶ δὲ Καλλιμέδοντος τοῦ Καράβου, ὅτι καὶ φίλιχθυς ἦν, καὶ διάστροφος τοὺς ὀφθαλμοὺς, Τιμοκλῆς ἐν Πολυπράγμονι· f

— Εἶθ' ὁ Καλλιμέδων ἄφνω
ὁ Κάραβος προσῆλθεν. ἐμβλέπων δέ μοι,
ὡς δ' οὖν [3] ἐδόκει, πρὸς ἕτερον ἄνθρωπόν τινα
ἐλάλει. συνεὶς δέ γ' οὐδὲν εἰκότως ἐγὼ
ὧν ἔλεγεν, ἐπένευον διακενῆς.
τῷ δ' ἄρα βλέπουσι χωρὶς καὶ δοκοῦσιν αἱ a
κόραι. —

1 σαργανίας vulgo. 2 σύνεστιν ἅπερ δ' εἰς edd. 3 Forſ. ἅς γ οὖν.

Verumtamen dare illam tibi iube ſalſamenti
ſportas quasdam. Huius enim ſuppetit ei
copia; habetque ſecum ſaperdas duos,
inſulſos illos quidem & latis naſis deformes.

Ante hos vero amator illius fuerat aliquis nomine Gobius.

24. De *Callimedonte*, cui *Carabus* ſive *Locuſta* fuit cognomen, tradunt Comici, fuiſſe eum & piſcium heluonem, & ſtrabis oculis. Timocles, in Curioſo:

— *Deinde ſubito Callimedon*
Carabus acceſſit. Is me adſpiciens,
ut quidem videbatur, ad alium quempiam hominem
direxit ſermonem. Ego vero, ut conſentaneum, nihil eorum intelligens,
quae diceret, loquenti adnuebam inaniter.
Huic homini aliò, atque prae ſe ferunt, reſpiciunt
pupillae.

Ἀλεξις δ', ἐν Κρατεύᾳ [1] ἢ Φαρμακοπώλῃ·

A. Τῷ Καλλιμέδοντι γὰρ θεραπεύω τὰς κόρας
ἤδη τετάρτην ἡμέραν. B. Ἦσαν κόραι
θυγατέρες αὐτῷ; A. Τὰς μὲν οὖν τῶν ὀμμάτων·
ἃς οὐδ' ὁ Μελάμπους, [2] ὃς μόνος τὰς Προιτίδας
b ἔπαυσε μαινομένας, καταστήσειεν ἄν.

Ὁμοίως αὐτὸν σκώπτει καὶν τοῖς ἐπιγραφομένοις Συντρέχουσι. εἰς δὲ ὀψοφαγίαν ἐν μὲν Φαίδωνι ἢ Φαιδρίᾳ οὕτως·

A. Ἀγορανομήσεις, ἂν θεοὶ θέλωσι, σύ,
ἵνα Καλλιμέδοντ' εἰς τοὖψον, εἰ φιλεῖς ἐμὲ,
παύσῃς καταιγίζοντα δι' ὅλης ἡμέρας.
B. Ἔργον τυράννων, οὐκ ἀγορανόμων, λέγεις.
μάχιμος γὰρ ὠνὴρ, [3] χρήσιμος δὲ τῇ πόλει.

c Τὰ αὐτὰ ἰαμβεῖα φέρεται καὶν τῇ ἐπιγραφομένῃ Εἰς τὸ Φρέαρ. ἐν δὲ Μανδραγοριζομένῃ·

1 Κρατίᾳ vulgo. 2 οὐδὲ Μελαμπ. edd. 3 γὰρ ἀνὴρ vulgo.

Alexis, in Crateva seu Medicamentario:

A. *Callimedonti enim iam quartum in diem*
τὰς κόρας (pupulas) curo. B. *Erant igitur κόραι (puellae)*
filiae illi? A. *Oculorum dico pupulas:*
quae ei ut rectae stent ne Melampus quidem,
unus qui Proetidas ab insania sanavit, queat efficere.

Similiter eumdem ridet in fabula quae Concurrentes inscribitur. Ut obsoniorum heluonem vero in Phaedone, sive Phaedria; his verbis:

A. *Aedilis eris, si Diis visum fuerit, tu,*
ut, si me amas, Callimedontem toto die
in pisces procellae in modum irruentem reprimas.
B. *Quod faciunt tyranni, dicis, non quod aediles:*
est enim bellicosus ille vir, & civitati utilis.

Repetunturque iidem iambi in fabula cui titulus Missa ad Puteum. In Mandragoris-utente vero:

— Εἴ τινας μᾶλλον φιλῶ
ξένους ἑτέρους ὑμῶν, γενοίμην ἔγχελυς,
ἵνα Καλλιμέδων ὁ Κάραβος πρίαιτό με.

Ἐν δὲ Κρατεύᾳ· [1]

Καὶ Καλλιμέδων μετ' Ὀρφέως ὁ Κάραβος.

Ἀντιφάνης δ' ἐν Γοργύθῳ· [2]

Ἧττον τ' ἀποσταίην ἂν ὧν προειλόμην,
ἢ Καλλιμέδων γλαύκου πρόοιτ' ἂν κρανίον.

Εὔβουλος δ', ἐν Ἀνασωζομένοις· d

Ἕτεροι δὲ [τοῖς] θεοῖσι συμπεπλεγμένοι,
μετὰ καράβου σύνεισιν, ὃς μόνος βροτῶν [3]
δύναται καταπιεῖν ἐκ ζεόντων λοπαδίων
ἄθρους τεμαχίτας, [4] ὥστ' ἐνεῖναι [5] μηδὲ ἕν.

Θεόφιλος δὲ, ἐν Ἰατρῷ, ἅμα σκώπτων αὐτοῦ καὶ τὸ ἐν λόγοις ψυχρόν·

1 Rurſus Κρατίᾳ vulgo. 2 Γεργιθίῳ corr. Reineſ. 3 Repetit hic μόνος Ms. 4 τεμαχήτας vulgo. 5 ὥστε μεῖναι malles cum Corayo.

— *Si quos magis diligo*
hoſpites quam vos, anguilla velim fieri,
quo me Callimedon Carabus emat.

In Crateva vero:

Et Callimedon Carabus cum Orpheo.

Antiphanes, in Gorgytho:

Minus equidem deſiſtam propoſito,
quam caput glauci miſſum fecerit Callimedon.

Eubulus, in Servatis:

Alii, ad Deos ſeſe adplicantes,
cum Carabo verſantur, qui unus mortalium
deglutire poteſt ferventibus e patinis
quidquid piſcium ineſt, ut ſuperſit nihil.

Theophilus vero in Medico, ſimul frigiditatem illius in dicendo ridens, ait:

„Παῖς δὲ Φιλοτίμως πρὸς [1] αὐτὸν τὸν νεανίσκον [2] ἐγχέλειον [3] παρατέθηκε. τῷ πατρὶ τευθὶς
e ἦν χρηστή. „Πατρίδιον, πῶς ἔχεις πρὸς κάραβον;“ — „Ψυχρός ἐστιν, ἄπαγε, φησί· ῥητόρων οὐ γεύομαι.“

Φιλήμονος δὲ Μετιόντι εἰπόντος·

Ἀγύρριος [4] δὲ, παρατεθέντος καράβου,
ὡς εἶδεν αὐτὸν „Χαῖρε, πάππα φίλτατε,“
εἶπας, τί ἐποίει; τὸν πατέρα κατήσθιεν.

Ἡρόδικος δ' [5] ὁ Κρατήτιος, ἐν τοῖς Συμμίκτοις Ὑπομνήμασι, τοῦ Καλλιμέδοντος υἱὸν ἀπέδειξεν ὄντα τὸν Ἀγύρριον.

XXV. Antagoras poëta.

Γεγόνασι δὲ καὶ οἵδε ὀψοφάγοι. Ἀνταγόρας μὲν
f ὁ ποιητὴς οὐκ εἴα τὸν παῖδα ἁλεῖψαι τὸν ἰχθῦν, ἀλλὰ λοῦσαι· ὡς φησιν Ἡγήσανδρος. Ἐν δὲ στρατοπέδῳ ἕψοντι, φησὶν, αὐτῷ γόγγρων λοπάδα, καὶ πε-

1 πατρὸς edd. 2 τῶν νεανίσκων Ms. 3 ἐγχέλυον edd. ἐγχέλιον Ms. 4 Ἀργύριος edd. & mox rurſus Ἀργύριον. 5 Abeſſe malles coniunctionem.

Puer vero ſtudioſe filio anguillam adpoſuit. Patri loligo erat eximia. » Patercule, quid tibi videtur de carabo? « — » Frigidus eſt, apage, ait: non ſunt meum ad palatum oratores. «

Philemon vero cum in Ambiente ait:

Agyrrius, adpoſitum ſibi carabum
ut adſpexit: » Salve pappa cariſſime! «
cum dixiſſet; quid fecit? patrem comedit.

id quo pertineat, declarat Herodicus Crateteus, in Miſcellis Commentariis; ubi docet, *Callimedontis filium* fuiſſe illum *Agyrrium*.

25. Fuere etiam hi lurcones piſcium. *Antagoras* poëta puerum non ſivit inungere piſcem, ſed lavare ſolum; ut narrat Hegeſander. Eidem in caſtris elixanti congro-

ριεξωσμένῳ, Ἀντίγονος ὁ βασιλεὺς παραστάς· „Ἄρά γε, εἶπεν, ὦ Ἀνταγόρα, τὸν Ὅμηρον οἴει τὰς τοῦ Ἀγαμέμνονος πράξεις ἀναγράψαι γόγγρους ἕψοντα;“ καὶ κεῖνον οὐ φαύλως λόγος [1] εἰπεῖν· „Σὺ δὲ οἴει, φησὶ, τὸν Ἀγαμέμνονα τὰς πράξεις ἐκείνας ἐργασασθαι πολυπραγμονοῦντα τίς ἐν τῷ στρατοπέδῳ γόγγρους ἕψει;“ Ὄρνιν δ' ἕψων ποτὲ ὁ Ἀνταγόρας, οὐκ, ἔφη, βαδιεῖσθαι εἰς τὸ βαλανεῖον, εὐλαβούμενος μή ποτε οἱ παῖδες τὸν ζωμὸν ἐκροφήσωσι. Φιλοκύδους δ' εἰπόντος, ὅτι ἡ μήτηρ τηρήσει· „Ἐγω γ' οὖν, εἶπε, τῇ μητρὶ ὀρνίθειον [2] ζωμὸν πιστεύσω; Καὶ Ἀνδροκύδης δ' ὁ Κυζικηνὸς, ζωγράφος, φίλιχθυς ὢν, ὡς ἱστορεῖ Πολέμων, ἐπὶ τοσοῦτον ἦλθεν ἡδυπαθείας, ὡς καὶ τοὺς περὶ τὴν Σκύλλαν ἰχθῦς κατὰ σπουδὴν γράψαι. [3]

XXVI. Philoxenus polypi esu moritur.

Περὶ δὲ Φιλοξένου τοῦ Κυθηρίου διθυραμβοποιοῦ Μάχων ὁ κωμῳδιποιὸς τάδε γράφει·

1 Deest λόγος edd. & ms. *A.* 2 ὀρνίθιον edd. 3 γράψας ms. *Ep.*

rum patinam, & succincto, (ut scribit idem Hegesander) adstans rex Antigonus, ait: *At putas-ne, Antagora, Homerum res gestas Agamemnonis scripsisse congros elixantem?* Cui ille non inscite respondit: *Tu-ne vero putas, Agamemnonem res illas gessisse curiose inquirentem quis in castris congros elixet?* Aliquando gallinam elixans Antagoras, in balneum se iturum negavit, timens ne iusculum absorbeant pueri. Cui quum diceret Philocydes, matrem ne id fiat curaturam: *Matri igitur*, inquit, *ego iusculum gallinaceum crederem?* Porro *Androcydes* Cyzicenus, pictor, cum piscium esu admodum delectaretur, ut ait Polemon, voluptati quam ex eis capiebat ita indulsit, ut etiam illos circa Scyllam pisces summo studio depingeret.

26. De *Philoxeno* vero *Cytherio*, poëta dithyrambico, Macho comicus haec scribit:

Ὑπερβολῇ λέγουσι τὸν Φιλόξενον,
τῶν διθυράμβων τὸν ποιητήν, γεγονέναι
b ὀψοφάγον. εἶτα πουλύποδα πηχῶν δυεῖν
ἐν ταῖς Συρακούσαις ποτ' αὐτὸν ἀγοράσαι,
καὶ σκευάσαντα, καταφαγεῖν ὅλον σχεδὸν,
πλὴν τῆς κεφαλῆς. ἀλόντα δ' ὑπὸ δυσπεψίας,
κακῶς ἔχειν σφοδρ'· εἶτα δ' [1] ἰατροῦ τινος
πρὸς αὐτὸν εἰσελθόντος, ὃς [2] φαύλως πάνυ
ὁρῶν φερόμενον αὐτὸν, [3] εἶπεν· „Εἴ τι σοι
ἀνοικονόμητόν ἐστι, διατίθου ταχὺ,
Φιλόξεν'· ἀποθανῇ γὰρ ὥρας ἑβδόμης.“
c κἀκεῖνος εἶπε· „Τέλος ἔχει τὰ πάντα μοι,
ἰατρὲ, φησὶ, καὶ δεδιοίκηται πάλαι.
τοὺς διθυράμβους σὺν θεοῖς καταλιμπάνω
ἡνδρωμένους, καὶ πάντας ἐστεφανωμένους·

1 Vulgo σφόδρ' ἔχειν· εἶτ' ἰατροῦ. 2 ὡς edd. 3 Vulgo ὁρῶν αὐτὸν φερόμενον.

Philoxenus poëta dithyrambicus
comedo fuisse fertur egregiissimus.
Siculis Syracusis qui cum olim polypum
emisset bicubitali magnitudine,
probe conditum totum prope deglutiit:
caput supererat. Mox ventriculi cruditas
gravem concivit morbum. Medicus advenit;
qui cum videret quanto cum periculo
homo aegrotaret: »Si quid, ait, Philoxene,
tibi ordinatum minus est in rebus tuis,
hoc age quamprimum, ut hora abiturus septima.«
Respondit ille: »Rebus provisi meis
iampridem, medice, finemque imposui omnibus.
Ope Divûm dithyrambos aetatis suae
relinquo, praeterea coronis inclytos:

οὓς [1] ἀνατίθημι ταῖς ἐμαυτοῦ συντρόφοις
Μούσαις, Ἀφροδίτην καὶ Διόνυσον ἐπιτρόπους.
ταῦθ' αἱ διαθῆκαι διασαφοῦσιν. Ἀλλ', ἐπεὶ
ὁ Τιμοθέου Χάρων σχολάζειν οὐκ [2] ἐᾷ,
οὐκ τῆς Νιόβης, χωρεῖν δὲ πορθμὸν [3] ἀναβοᾷ, 20
καλεῖ δὲ μοῖρα νύχιος, ἧς κλύειν χρεών· d
ἵν' ἔχων ἀποτρέχω πάντα τἀμαυτοῦ κάτω,
τοῦ πολύποδός μοι τὸ κατάλοιπον ἀπόδοτε."

Καὶν ἄλλῳ δὲ μέρει φησί·

Φιλόξενός ποθ', ὡς λέγουσ', ὁ Κυθήριος,
εὔξατο τριῶν ἔχειν τὸν λάρυγα [4] πήχεων· 25
ὅπως καταπίνω, φησὶν, ὅτι πλεῖστον χρόνον,
καὶ πάνθ' ἅμα μοι τὰ βρώμαθ' ἡδονὴν ποῇ.

Diogenis Cynici obitus.

Καὶ Διογένης δὲ ὁ Κύων ὠμὸν πολύποδα καταφαγὼν, e
ἐπιθεμένης [5] αὐτῷ τῆς γαστρὸς ἀπέθανε. Περὶ δὲ τοῦ

1 Grotius: οἷς ἀνατ. τὰς ἰμ. συντρόφους Μούσας. 2 σχολ. μ' οὐκ ἐᾷ edd. 3 πορθμίδ' corrigunt. 4 τὸν λάρυγγα vulgo. λάρυγγα absque τὸν corrigunt docti. 5 An ἐποιδουμένης?

tutores his do facio meas collacteas
Muſas, ipſamque Venerem ſimul & Liberum.
Haec teſtamenti ſumma eſt. Nunc quando otium
mihi non concedit ille Timothei Charon
ex Niobe, Transfretandum eſt! adclamans mihi,
vocatque nigra Parca ineluctabilis;
ut ad inferos res cunctas deportem meas,
age huc adferte quod reliquum eſt de polypo.

Alibique ait idem:

Philoxenus ille, fama ut fert, Cytherius,
» Utinam dicebat, tricubitalem gutturem
habeam, ut glutire poſſem multo tempore,
pariterque omnigenis memet oblectem cibis. «

Sed & *Diogenes* Canis, devorato crudo polypo, citata alvo (*ſive*, tumente alvo) mortuus eſt. De Philoxeno

Φιλοξένου καὶ ὁ παρῳδὸς Σώπατρος λέγων, φησί·
Δισσαῖς γὰρ ἐν μέσσαισιν ἰχθύων φοραῖς
ἧσται τὸν Αἴτνης ἐς μέσον λεύσσων σκοπόν. [1]

XXVII. Hyperides orator.

Καὶ Ὑπερείδης δὲ ὁ ῥήτωρ ὀψοφάγος ἦν, ὥς φησι Τιμοκλῆς ὁ κωμικὸς, ἐν Δήλῳ, διηγούμενος τοὺς παρὰ Ἁρπάλου δωροδοκήσαντας. γράφει δ' οὕτως·

A. Δημοσθένης τάλαντα πεντήκοντ' ἔχει.
B. Μακάριος, εἴ περ μεταδίδωσι μηδενί.
A. Καὶ Μοιροκλῆς [2] εἴληφε χρυσίον πολύ.
B. Ἀνόητος ὁ διδοὺς, εὐτυχὴς δ' ὁ λαμβάνων.
A. Εἴληφε [3] καὶ Δήμων τε καὶ Καλλισθένης.
B. Πένητες ἦσαν, ὥστε συγγνώμην ἔχω.
A. Ὅ τ' ἐν λόγοισι δεινὸς Ὑπερείδης ἔχει.
a B. Τοὺς ἰχθυοπώλας οὗτος ἡμῶν πλουτιεῖ·
ὀψοφάγος, [4] ὥστε τοὺς λάρους εἶναι Σύρους.

1 An σκύφον? 2 Μητροκλῆς edd. 3 Εἶτ' εἴληφε mssti. 4 Vulgo ὀψοφάγος γὰρ ὥστε.

vero Sopater etiam Parodus loquens, dixit:
Duo inter piſcium fercula delectatus eſt
in medium Aetnae craterem introſpicere.

27. Fuit quoque piſcium lurco *Hyperides* orator, ut ait Timocles comicus in Delo, ubi eos recenſet qui ab Harpalo dona acceperunt. Scribit autem ſic:

A. *Talenta quinquaginta habet Demoſthenes.*
B. *Beatus, ſi participat inde neminem.*
A. *Et auri vim non parvam accepit Moerocles.*
B. *Felix qui accepit: ſtultus autem qui dedit.*
A. *Accepit etiam Demon & Calliſthenes.*
B. *Danda his eſt venia: nam pauperiores erant.*
A. *Habet & Hyperides, promtus eloquentiâ.*
B. *Piſcarios ditabit, tantus piſcium*
comedo, lari ut Syri ſint, ſi ad eum compares.

Καὶ ἐν Ἰκαρίοις δὲ ὁ αὐτὸς ποιητὴς φησίν·

Τόν τ' ἰχθυόῤῥουν [1] ποταμὸν Ὑπερείδην πέρα,
ὃς ἠπίαις [2] φωναῖσιν, ἔμφρονος λόγου
κόμποις παφλάζων, ἠπίοις πυκνώμασι
πρὸς πᾶν δύσας [3] ἔχει * *
μισθωτὸς ἄρδει πεδία τοῦ δεδωκότος.

Φιλέταιρος δ' ἐν Ἀσκληπιῷ τὸν Ὑπερείδην πρὸς τῷ ὀψοφαγεῖν καὶ κυβεύειν αὐτὸν φησί· καθάπερ καὶ b

Callias. Καλλίαν τὸν ῥήτορα Ἀξιόνικος, ἐν Φιλευριπίδῃ·

„Ἄλλον δὲ ἰχθῦν μεγέθει πίσυνόν τινα τοῖσδε τόποις ἥκει κομίσας [4] Γλαυκός τις ἐν πόντῳ γαλεοὺς, [5] σῖτον ὀψοφάγων, καὶ λίχνων ἀνδρῶν ἀγάπημα. φέρω [6] κατ' ὤμων. τίνα [7] τῷδ' ἐνέπω τὴν σκευασίαν. πότερον χλωρῷ τρίμματι βρέξας, ἢ τῆς ἀγρίας ἅλμης λιάσμασι [8] σῶ-

1 ἰχθυόῤῥον edd. 2 Vulgo πέρασον σπίαις. 3 προσπανδύσας vulgo, velut una voce. 4 κομίξας ed. Caſ. 5 γαλεὸς edd. ἐκ Πόντου γαλεὸν coni. Caſ. cum Dalec. 6 φέραν coni. Iacobs, 7 κατ' ὤμων νιν coniiciunt iidem. 8 λιπάσμασι coni. Caſ.

Et in Icariis idem poëta ait:

Et piſcoſum fluvium Hyperidem traiice,
qui leni ſonitu, prudentis ſermonis
ſtrepitu aeſtuans, placidis frequentamentis
*ad omnia deſcendens, habet * **
mercede conductus rigat campos eius qui dedit.

Philetaerus vero, in fabula Aeſculapio, praeter obſonii voracitatem etiam aleatorem fuiſſe Hyperidem ait; quod ipſum & de *Callia* oratore Axionicus ſignificat in Phileuripide:

»*Alium piſcem quemdam magnitudine fidentem in haec loca venit advehens Glaucus aliquis ex Ponto galeum; cibum heluonibus piſcium, & lurconum hominum delicias. Eum humeris fero. Quem quonam modo parandum dicam? utrum viridi intrito rigans, an meră muriâ tepidâ mace-*

μα λιπάνας πυρὶ παμΘλέκτῳ παραδώσω. ἔΘα τὶς ὡς [1] ἅλμῃ θερμῇ τοῦτο φάγοι γ' ἐΦθὸν
c ἀνὴρ Μοσχίων φίλαυλος. βοᾷ δ' ὄνειδος ἴδιον, ὦ Καλαίδη· σὺ μὲν ἀμΦὶ σῦκα κ' ἀμΦὶ τάριχ' ἀγάλλῃ· [2] τοῦ δ' ἐν ἅλμῃ παρεόντος οὐ γεύῃ χαρίεντος ὄψου."

τὰ μὲν σῦκα ὡς ἂν συκοΦάντην λοιδορῶν, τὰ δὲ ταρίχη μή ποτε καὶ ὡς αἰσχροποιοῦντος. Καὶ ὁ Ἑρμιππος δέ Φησιν, ἐν τρίτῳ Περὶ τῶν Ἰσοκράτους Μαθητῶν, ἑωθινὸν τὸν Ὑπερείδην ποιεῖσθαι νῦν τοὺς περιπάτους ἐν τοῖς Ἰχθύσιν.

XXVIII. Aristoteles. Matron, sophista.

Τίμαιος δ' ὁ Ταυρομενίτης, [3] καὶ Ἀριστοτέλη τὸν ΦιλόσοΦον ὀψοΦάγον, Φησὶ, γεγονέναι. Καὶ Μά-
d τρων δ' ὁ σοΦιστὴς ὀψοΦάγος ἦν. δηλοῖ δὲ τοῦτο Ἀντιφάνης ἐν Κιθαρῳδῷ, οὗ ἡ ἀρχή·

1 An ἔΦατ' ἴσως? φάτις ὡς coni. Iacobs. 2 ἀμφὶ ταρίχης ἀγάλλῃ edd. ἀμφὶ ταρίχη γ' ἀγάλλῃ corr. Casaub. 3 Ταυρομενείτης ms. *Ep.*

ratum corpus flagranti igni tradam? Dicat aliquis, calida in muria lubenter hoc elixatum comesturum Moschionem, tibiarum studiosum. Clamat vero convicium proprium, o Calaide: tu enim ficis gaudes, & salsamentis; bellum autem obsonium, quod in muria adponitur, non gustas.

Quibus verbis *ficos* ei exprobrat, ut sycophantae: *salsamenta* vero, ut videtur, tamquam turpia quoque facienti. Hermippus vero etiam, tertio libro de Isocratis Discipulis, ait, mane nunc *Hyperidem scholas suas habere in Foro piscario.*

28. Timaeus vero Tauromenita ait, *Aristotelem* etiam fuisse piscium lurconem. Sed *Matro* sophista haud dubie ex eorum numero fuit. Declarat hoc Antiphanes in Citharoedo, cuius hoc est initium:

Οὐ ψεῦδος οὐδὲν Φησίν. — —
Ὀφθαλμὸν ὥρυττέν τις, ὥσπερ ἰχθύος
Μάτρων, [1] προσελθών.

Ἀναξίλας δ' ἐν Μονοτρόπῳ·

Τοῦ κεστρέως κατεδήδοκεν τὸ κρανίον,
ἀναρπάσας Μάτρων. [2] ἐγὼ δ' ἀπόλλυμαι.

Ὑπερβολὴ γαστριμαργίας τὸ καὶ ἁρπάζειν ἐσθίοντα· καὶ ταῦτα κρανίον κεστρέως. εἰ μὴ ἄρα οἱ περὶ ταῦτα [3] δεινοὶ ἴσασιν ἐνόν τι χρήσιμον ἐν κεστρέως κρανίῳ, ὅπερ ἐστὶ [4] τῆς Ἀρχεστράτου λιχνείας ἐμφανίσαι ἡμῖν.

XXIX. Antiphanis Divites.

Ἀντιφάνης δ' ἐν Πλουτίοις κατάλογον ποιεῖται ὀψοφάγων ἐν τούτοις·

— Εὔθυνος δ', ἔχων
σανδάλια [5] καὶ σφραγῖδα, καὶ μεμυρισμένος,

1 Μάτων ms. *A*. 2 Rursus Μάταν ms. *A*. 3 περὶ αὐτὰ edd. 4 Vulgo ὃ πάρεστι. 5 σανδάλιον vulgo.

Profecto non mentitur. — —
Oculum accedens quispiam exsculpsit, sicut piscibus
solet Matro.

Et Anaxilas, in Morosо:

Mugilis devoravit caput
raptum Matro: ego vero perii.

Extremae quidem ingluviei est, rapere cibum inter edendum, praesertim mugilis caput: nisi forte harum rerum periti noverint boni quidpiam inesse in mugilis capite; quod quidem ad Archestrati gulam pertinebat, ut nobis declararet.

29. Antiphanes vero, in Divitibus, recensum facit gulonum, his versibus:

— *Euthynus nitens,*
unguenta redolens, cum sandalio atque annulo,

ἐλογίζετό τι [1] τῶν πραγμάτων, οὐκ οἶδ' ὅ τι.
f Φοινικίδης δὲ, Ταυρέας θ' ὁ Φίλτατος,
ἄνδρες παλαιοὶ ὀψοφάγοι τοῖοί τινες, [2]
οἷοι καταβροχθίζειν ἐν ἀγορᾷ τὰ τεμάχη,
ὁρῶντες ἐξέθνησκον ἐπὶ τῷ πράγματι,
ἔφερόν τε δεινῶς τὴν ἀνοψίαν πάνυ.
κύκλους δὲ συναγείροντες [εἶτ'] ἔλεγον τάδε·
„Ὡς οὐ βιωτόν ἐστιν, οὐδ' ἀνασχετὸν,
τῆς μὲν θαλάττης ἀντιποιεῖσθαί τινας
a ὑμῶν, ἀναλίσκειν τε πολλὰ χρήματα,
ὄψου δὲ μηδὲν [ἔνθαδ'] [3] εἰσπλεῖν, μηδὲ γρῦ.
Τί οὖν ὄφελος τῶν νητιαρχῶν ἐστί; δεῖ [4]
νόμῳ κατακλεῖσαι τοῦτο, παραπομπὴν ποιεῖν
τῶν ἰχθύων. Νυνὶ δὲ [5] Μάτρων [6] συνήρπακε
τοὺς ἁλιέας· καὶ Διογείτων, νὴ Δία,

1 Abeſt τι vulgo. 2 πάλαι ὀψοφάγοι τοιοῦτοί τινες Ms. 3 Deeſt ἔνθαδ' edd. 4 δὴ Ms. 5 Νῦν δὲ vulgo. 6 μακρῷ Ms.

neſcio quid ſecum muſſitabat reputans.
At Taureas amicus, & Phoenicides,
tanti inde ab antiquo helluones piſcium,
fragmenta ut ipſo deglutirent in foro,
ad hoc ſpectaculum ſtabant velut emortui;
graviterque ferentes parcitatem obſonii,
implebant hisce circulos rumoribus:
» *Quam vita non vitalis, nec tolerabilis!*
Sunt ergo ex vobis qui maris ſibi vindicant
curam, atque inſumunt multum in eam pecuniae,
cum nihil intarea piſcium huc adnaviget?
Quid ergo opus eſt praeſidibus inſularibus?
Sciſcenda lex, ut piſcium importatio
huc fiat: nam nunc piſcatores occupat
Matron: Diogiton quoque perſuaſit omnibus

ἁπάντας [1] ἀναπέπεικεν ὡς αὐτὸν φέρειν,
κοὐ δημοτικόν γε τοῦτο δρᾷ, τοιαῦτα φλῶν.
γάμοι δ' ἐκεῖνοι [2] καὶ πότοι [3] νεανικοὶ
ἦσαν." —

Εὔφρων [4] δέ, ἐν Μούσαις· b

Φοινικίδης δ' ὡς εἶδεν ἐν πλήθει νέων [5]
μεστὴν ζέουσαν λοπάδα Νηρείων τέκνων,
ἐπίσχετ' ὀργῇ χεῖρας ἠρθισμένας.
„Τίς ὅησιν εἶναι δεινὸς ἐκ κοινοῦ φαγεῖν; [6]
τίς ἐκ μέσου τὰ θερμὰ δεινὸς ἁρπάσαι;
ποῦ Κόρυδος, ἢ Φυρόμαχος, ἢ Νίλλου [7] βία;
ἴτω πρὸς ἡμᾶς, καὶ τάχ' οὐδὲν μεταλάβοι."

XXX. Melanthius tragicus.

Τῆς αὐτῆς ἰδέας καὶ Μελάνθιος ἦν, ὁ τῆς τραγῳ- c
δίας ποιητής. ἔγραψε δὲ καὶ [8] Ἐλεγεῖα. κωμῳδοῦσι δ'
αὐτὸν ἐπὶ ὀψοφαγίᾳ Λεύκων ἐν Φράτερσιν, [9] Ἀρι-

1 πάντας vulgo. 2 δὲ κενεοὶ corr. Grotius; δ' ἐκείνοις Kopp. 3 ποτοὶ vulgo. 4 Εὐφάνης vulgo. 5 νεῶν edd. 6 φυγεῖν edd. 7 κείλου edd. 8 Deeſt καὶ edd. 9 Φράτορσιν malles.

ad ſe ut deferrent piſcium omnem copiam;
quam devorando, rem non popularem facit.
In nuptiis namque & iuvenum conviviis
mera vaſtitudo eſt.

Euphron, in Muſis:

Phoenicides ut vidit in iuvenum coetu
plenam patinam ferventem filiorum Nerei,
continens manus irá concitatas:
» Quis eſt, inquit, qui confidit arte paraſitica,
quis valens calidos cibos de communi rapere?
ubi eſt Corydon, aut Phyromachus, aut Nilli virtus?
huc accedat, fortaſſe nullius horum particeps fiet! «

30. Eiusdem generis etiam *Melanthius* fuit, tragicus poëta; qui & elegias ſcripſit. Quem ob obſonii voracitatem luſerunt Leucon, in Tribulibus; Ariſtophanes,

στοφάνης ἐν Εἰρήνῃ, Φερεκράτης ἐν Πετάλῃ. ἐν δὲ τοῖς Ἰχθύσιν Ἄρχιππος, τῷ δράματι, ὡς ὀψοφάγον δήσας παραδίδωσι τοῖς ἰχθύσιν ἀντιβρωθησόμενον. Ἀλλὰ μὴν καὶ Ἀρίστιππος ὁ Σωκρατικὸς ὀψοφάγος ἦν· ὅστις καὶ [1] ὑπὸ Πλάτωνός ποτε ὀνειδιζόμενος ἐπὶ τῇ ὀψοφαγίᾳ, ὡς φησι Σωτίων καὶ Ἡγήσανδρος. γρά-
d φει δὲ οὕτως ὁ Δελφός· „Ἀρίστιππος, Πλάτωνος ἐπιτιμήσαντος αὐτῷ διότι πολλοὺς ἰχθῦς ἠγόρασε, δυοῖν ὀβολοῖν ἔφησεν ἐωνῆσθαι. τοῦ δὲ Πλάτωνος εἰπόντος, ὅτι καὶ αὐτὸς ἂν ἠγόρασα τοσούτου· ὁρᾷς οὖν, εἶπεν, ὦ Πλάτων, ὅτι οὐκ ἐγὼ ὀψοφάγος, ἀλλὰ σὺ φιλάργυρος.“ Ἀντιφάνης δ', ἐν Αὐλητρίδι ἢ Διδύμαις, Φοινικίδην τινὰ [2] ἐπ' ὀψοφαγίᾳ κωμῳδῶν φησίν·

Ὁ μὲν Μενέλαος [3] ἐπολέμησεν ἔτη δέκα
τοῖς Τρωσὶ διὰ γυναῖκα τὴν ὄψιν καλὴν,

Archippi Pisces.

Aristippus & Plato.

1 Commodius foret ὁ καὶ ὑπ. 2 τὸν Φοινικίδην malebam. 3 Ὁ Μενέλαως edd. & carent μὲν edd. & mssti.

in Pace; Pherecrates, in Petala. Archippus vero, in fabula Piscibus, ut piscium heluonem, vinctum eumdem tradit piscibus vicissim devorandum. Sed & *Aristippus* Socraticus obsonii avidus erat: quo nomine eum aliquando reprehensum a Platone narrant Sotion & Hegesander. Qua de re sic scribit Delphus: » Aristippus, reprehensus a Platone quod piscium magnum emisset numerum, duobus obolis se eos emisse, dixit. Cui quum Plato respondisset, eo pretio & ipsum emturum eos fuisse: vides igitur, inquit, mi Plato, non tam me obsonii avidum esse, quam te pecuniae cupidum. « Antiphanes vero, in Tibicina sive Gemellis, Phoenicidem, ob obsonii voracitatem traducens, ait:

Menelaus annos decem bellum fecit
Troianis formosam ob mulierem,

Φοινικίδης δὲ Ταυρέᾳ δι' ἔγχελυν.

XXXI. Philocrates orator.

Δημοσθένης δὲ ὁ ῥήτωρ Φιλοκράτην, ἐπειδὴ ἐκ τοῦ e προδοτικοῦ χρυσίου πόρνας καὶ ἰχθῦς ἠγόραζεν, εἰς ἀσέλγειαν καὶ ὀψοφαγίαν λοιδορεῖ. Διοκλῆς δὲ, ὁ [1] ὀψοφάγος, ὡς φησιν Ἡγήσανδρος, πυθομένου τινὸς αὐτοῦ, πότερος χρηστότερος ἰχθῦς, γόγγρος ἢ λάβραξ· ὁ μὲν, ἐφθός· ἔφη· ὁ δὲ, ὀπτός. Ὀψοφάγος δ' ἦν καὶ Λεοντεὺς ὁ Ἀργεῖος, τραγῳδὸς, Ἀθήνιωνος μὲν μαθητὴς, οἰκέτης δὲ γενόμενος Ἰόβα τοῦ Μαυρουσίων βασιλέως, ὡς φησιν Ἀμάραντος ἐν τοῖς Περὶ Σκηνῆς, γεγραφέναι φάσκων εἰς αὐτὸν τόδε τὸ ἐπίγραμ- f μα τὸν Ἰόβαν, ὅτε κακῶς τὴν Ὑψιπύλην ὑπεκρίνατο·

Iubae Epigramma in tragoedum.

Μή γε [2] Λεοντῆος τραγικοῦ κιναρηφάγου ἦθος [3]
λεύσων, [4] Ὑψιπύλης ἐς κακὸν ἦτορ [5] ὁρᾶ.
Ἤμην [6] γάρ ποτ' ἐγὼ Βάκχῳ φίλος, οὐδέ τινων δὲ [7]

1 Abeſt artic. edd. 2 Μή με vulgo. 3 κεναρήφαγου ἦχος vulgo. 4 χεύσαων edd. 5 ἦθος, *perſonam*, corr. Caſaub. 6 Ἦν μὲν ed. Caſ. 7 οὐδέ τινων δὲ edd.

Phoenicides vero Taureae ob anguillam.

31. Demoſthenes vero orator *Philocratem*, quod auro proditionis cauſſa accepto ſcorta & piſces emere conſueverat, ut flagitioſum & heluonem notavit. *Diocles* vero, obſonii lurco, ut narrat Hegeſander, cum ex eo quaeſiviſſet aliquis, uter piſcis melior, conger, an lupus? reſpondit: ille elixus, hic aſſus. Obſonii lurco fuit etiam *Leonteus* Argivus, tragoedus, Athenionis diſcipulus, domeſticus Iubae, regis Mauritaniae, ut tradit Amarantus in libro de Scena; ubi ait, cum Hypſipylen male egiſſet, ſcripſiſſe in eum Iubam tale epigramma:

Leontei tragici cinarae - lurconis ingenium
ſpectaturus, ne Hypſipyles aegrum pectus reſpice.
Fui enim ego quondam Baccho carus, nec ille ſonos

γῆρυν χρυσοβόλοις [1] οὔασιν ἠγάσατο.
Νῦν δέ με χυτρόποδες κεραμοι, καὶ ξηρὰ τάγηνα [2]
a χήρωσαν [3] Φωνῆς, γαστρὶ χαριζόμενον. [4]

XXXII. Lurconum luſus.

Φόρυσκον δὲ, φησὶν Ἡγήσανδρος, τὸν ἰχθυοφάγον, οὐ δυνηθέντα ὅσον ἤθελεν ἀφελεῖν τοῦ ἰχθύος, ἀλλ' ἀκολουθήσαντος [5] αὐτῷ πλείονος, εἰπεῖν·

Τὰ δ' ἀντιτείνοντ' αὐτόπρεμν' ἀπόλλυται·

καὶ ὅλον τὸν ἰχθῦν ἀναλῶσαι. Βίων [6] δὲ, προαρπάσαντός τινος τὰ ἐπάνω τοῦ ἰχθύος, στρέψας καὶ αὐτὸς, καὶ δαψιλῶς φαγὼν, ἐπεῖπεν·

Ἰνὼ δὲ τἀπὶ θάτερ' ἐξειργάζετο.

b Θεόκριτος δ' ὁ Χῖος, τελευτησάσης τῆς γυναικὸς Διοκλεῖ τῷ ὀψοφάγῳ, ἐπειδὴ ποιῶν αὐτῇ τὸ περίδειπνον πάλιν ὠψοφάγει [7] κλαίων ἅμα· „Παῦσαι, φησὶ, κλαίων, ὦ πόνηρε· οὐδὲν γὰρ πλέον ὀψοφαγῶν ποιή-

1 χρυσοβόροις, *aurivoris*, corr. Caſaub. 2 τήγανα ξηρὰ edd. 3 χάρησαν edd. 4 χαριζόμενοι vulgo. 5 An ἀλλὰ κολουθέντος? 6 Alibi Ζήνων dixerat. 7 Temere ὀψοφάγοι ed. Caſ. Mox eadem, ὦ πονηρέ: & ποιήσης.

cuiusquam auro - perculſis auribus probavit.
Nunc me vero pediculatae ollae ſiccaeque ſartagines
privarunt voce, ventri gratificantem.

32. Phoruſcum guloſum, narrat Hegeſander, cum de piſce quantum voluerat auferre non potuiſſet, ſed maior pars eum ſecuta eſſet, dixiſſe:

Quae reſiſtunt, pereunt ſtirpitus:

totumque piſcem abſumſiſſe. Bion vero, quum ſuperiorem piſcis partem proripuiſſet aliquis, invertit piſcem, largiterque paſtus, ait,

Ino ab altera parte negotium confecit.

Theocritus Chius, defuncta uxore Dioclis heluonis, quum parato funeris cauſſa filicernio maritus rurſus valide ſe obſonio ingurgitaret, lacrymas ſimul profundens: *Deſine plorare*, inquit, *miſer: obſonando enim nihil*

σεις." Τοῦ δ' αὐτοῦ καὶ τὸν ἀγρὸν καταβεβρωκότος εἰς ὀψοφαγίαν, ἐπειδὴ θερμόν ποτε καταβροχθίσας ἰχθῦν ἔφησε τὸν οὐρανὸν κατακεκαῦσθαι· „Λοιπόν, ἔφησεν, ἐστὶν, ὁ Θεόκριτος, σοὶ καὶ τὴν θάλασσαν ἐκπιεῖν, καὶ ἔσῃ τρία τὰ μέγιστα ἠφανικώς, γῆν, καὶ θάλασσαν, καὶ οὐρανόν." Κλέαρχος δὲ, ἐν τοῖς c Περὶ Βίων, φίλιχθύν τινα ἀναγράφων, φησὶν οὕτως· „Τέχνων ὁ παλαιὸς αὐλητὴς, [1] Χάρμου τοῦ αὐλητοῦ τελευτήσαντος, (ἦν δὲ φίλιχθυς) ἀποπυρίδας ἐπὶ τοῦ μνήματος ἐνήγιζεν αὐτῷ." Καὶ Ἄλεξις δ' ὁ ποιητὴς ἦν ὀψοφάγος, ὡς ὁ Σάμιός φησι Λυγκεύς· καὶ σκωπτόμενος ὑπό τινων σπερμολόγων εἰς ὀψοφαγίαν, [2] ἐρομένων τε ἐκείνων τί ἂν ἥδιστα φάγοι, ὁ Ἄλεξις· „Σπερμολόγους, ἔφη, πεφρυγμένους."

XXXIII. Nothippus tragicus.

Νόθιππον δὲ τὸν τραγῳδιοποιὸν [3] Ἕρμιππος ἐν ταῖς Μοίραις φησίν·

1 αὐλητὰς edd. 2 εἰς ἀδδηφαγίαν ms. *Ep.* 3 ὃν vulgo inferunt: *proficies.* Idem alienati agri pretium in gulam absumserat: quo spectans Theocritus, cum ille ferventem piscem mandens *exustum sibi palatum* (τὸν οὐρανὸν) quereretur; *Superest tibi*, ait, *ut mare ebibas, & tria quae sunt maxima absumseris, terram, mare, & coelum;* (τὸν οὐρανόν.) Clearchus, in Vitarum libris, piscium lurconem quemdam memorans, ita scribit: » Technon olim tibicen, cum e vita excessisset Charmon tibicen, qui strenuus fuerat obsonii vorator, *apopyride*, id est, ingesta in tumulum piscium sartagine fervida, parentavit mortuo. « Fuit & poëta Alexis, ut narrat Lynceus Samius, obsoniorum avidus: qui cum ob eam causam rideretur a nonnullis garrulis, ex eo quaerentibus quonam *cibo* maxime delectaretur: *garrulis*, inquit, (*aviculis*) *frixis.*

33. De Nothippo, tragico poëta, Hermippus in Parcis haec ait:

d Εἰ δ' ἦν τὸ γένος τῶν ἀνθρώπων
τῷ νῦν [1] τοιόνδε μάχεσθαι,
καὶ βατὶς αὐτῶν ἡγεῖτ' ὀπτὴ
μεγάλη καὶ πλευρὸν ὕειον·
τοὺς μὲν ἄρ' ἄλλους οἰκουρεῖν χρῆν,
πέμπειν δὲ Νόθιππον ἕν' ὄντα. [2]
εἷς γὰρ μόνος ὢν κατεβρόχθισεν ἂν
τὴν Πελοπόννησον ἅπασαν.

Ὅτι δὲ οὗτος ἦν ὁ ποιητὴς, σαφῶς παρίστησι Τηλεκλείδης ἐν Ἡσιόδοις. Μυνίσκος ὁ [3] τραγικὸς ὑποκριτὴς κωμῳδεῖται ὑπὸ Πλάτωνος ἐν Σύρφακι ὡς ὀψοφάγος, οὕτως·

e Α. Ὁδὶ μὲν Ἀναγυράσιος ὀρφὼς ἐστί σοι,
ὃν οὔθ' ὁ [4] φίλος Μυνίσκος [5] ἔσθοι [6] ὁ Χαλκιδεύς.
Β. Καλῶς λέγεις. —

forſan ὀψοφάγον debuerant, aut tale aliquod nomen. 1 τῶν νῦν vulgo. 2 ἑκόντα vulgo. 3 δ' ὁ τραγ. malebam. 4 Ταῦθ' ὡς edd. θ' οὐθ' ὡς Ms. ὃν οὐδ' malim. 5 Μύννικος h. l. Ms. 6 ἔσοιθ' edd. ἔσοθ' Ms.

Si hoc tale hominum genus
ei, quod nunc eſt, bellum inferret,
eisque praeeſſet raia aſſa
magna, latusque ſuillum;
caeteros oporteret domi manere,
unumque mitti Nothippum:
is enim ſolus per ſe deglutiret
Peloponneſum totam.

Poëtam autem fuiſſe hunc, perſpicue docet Teleclides in Heſiodis. Porro Myniſcus, tragoediarum actor, a Platone in Syrphace traducitur ut piſcium heluo:

A. *En tibi Anagyrenſem orphum,*
quem ne amicus quidem Myniſcus devorare poſſit, Chalcidenſis.

B. *Recte ais.*

Καὶ Λάμπωνα δὲ τὸν μάντιν ἐπὶ τοῖς ὁμοίοις κωμῳδοῦσι Καλλίας, Πεδήταις, καὶ Λύσιππος, Βάκχαις. Κρατῖνος δ', ἐν Δραπέτισιν, [1] εἰπὼν περὶ αὐτοῦ· „Λάμπωνα, τὸν οὐ βροτῶν ψῆφος δύναται φλεγυρὰ δείπνου [2] φίλων ἀπείργειν·" ἐπιφέρει· „Νῦν δ' αὖτις [3] ἐρυγγάνει. βρύκει γὰρ ἅπαν τὸ παρόν· τρίγλη δὲ κἂν μάχοιτο." f

XXXIV. Hedyli Epigrammata.

Ἡδύλος δ', ἐν Ἐπιγράμμασιν, ὀψοφάγους καταλέγων, Φαίδωνος μέν τινος ἐν τούτοις μέμνηται·

Φαίδων δὲ φύκει' [4] αἰνεῖ καὶ *
χορδὰς ὁ ψάλτης. ἔστι γὰρ ὀψοφάγος.

Ἄγιδος δ', ἐν τούτοις·

Ἔλβὸς ὁ κάλλιχθυς· νῦν ἔμβαλε τὴν βαλανάγραν,
ἔλθῃ μὴ Πρωτεὺς Ἄγις ὁ τῶν λοπάδων. a
Γίνεθ' ὕδωρ, καὶ πῦρ, καὶ ὃ βούλεται. ἀλλ' ἀπόκλειε.

1 Δραπέτησιν edd. 2 φλεγυραδείπνου una voce edd. 3 Νῦν δ' οὐδ' ἂν τις coni. Casaub. 4 φύκη ms. *Ep.*

Eodem nomine Lamponem vatem traducunt Callias in Vinctis, & Lysippus in Bacchis. Cratinus vero, in Fugitivis, postquam de eo dixit: *Lamponem, quem non mortalium rumor ardens* (vel, *ignominiosus*) *potest a coena sodalium arcere:* subiicit: *Nunc rursus eructat:* [ex coniect. Casaub. *Nunc vero nemo ructat:*] *vorat enim quidquid adest: cum mullo vero etiam pugnaverit.*

34. Hedylus vero, in Epigrammatibus, obsonii lurcones enumerans, Phaedonis cuiusdam mentionem facit his verbis:

Phaedon cantor phycia laudat & chordas:
est enim obsoniorum avidus.

Agidis vero mentionem facit idem in istis:

Elixus est callichthys: pessulum nunc foribus obde,
ne veniat Agis, patinarum Proteus.
Fit enim aqua & ignis & quod vult: sed tu aedes claude.

* * * * * [1]

Ἦξει γὰρ, τοιαῦτα μεταπλασθεὶς τυχὸν ὡς Ζεὺς
χρυσορόης, [2] ἐπὶ τήνδ' Ἀκρισίου λοπάδα.

Καὶ γυναῖκα δέ τινα Κλειὼ, ἐπὶ τοῖς ὁμοίοις σκώπτων, φησίν·

Ὀψοφαγεῖ Κλειώ· [3] καταμύομεν. ἢν δὲ θελήσῃς,
b ἔσθε μόνη. δραχμῆς ἐστιν ὁ γόγγρος ἅπας.
θὲς μόνον ἢ ζώνην, ἢ ἐνώτιον, ἤ τι τοιοῦτον
σύσσημον. τὸ δ' ὁρᾶν μὴ μόνον [4] οὐ μένομεν. [5]
Ἡμετέρη σὺ Μέδουσα· λιθούμεθα πάντα πάλαι που,
οὐ Γοργοῦς, γόγγρου [6] δ' οἱ μέλεοι λοπάδι. [7]

XXXV. Piscium heluones.

Ἀριστόδημος δ' ἐν τοῖς Γελοίοις Ἀπομνημονεύ-
μασιν, Εὐφράνορα, φησὶ, τὸν ὀψοφάγον ἀκούσαν-
c τα ὅτι ἄλλος ἰχθυοφάγος ἀπέθανε θερμὸν ἰχθύος τέμαχος καταπιὼν, ἀναφωνῆσαι· [8] „Ἱερόσυλος ὁ θά-

1 Deest pentameter. 2 χρυσοδόας ms. *Ep.* 3 Ὀψοφάγε, Κλειοῖ corr. Brunck. cum Herald. 4 ναὶ μὰ τὸν corr. Iacobs. 5 λέγομεν vulgo. σθένομεν Iacobs. 6 γόγγροι editt. vett. cum ms. *A.* 7 λογάδι suspicabar. 8 ἀνεφώνησεν vulgo.

* * * * *

veniet enim sic fortasse transformatus, ut Iupiter
aureus nimbus, in hanc Acrisii patinam.

Item mulierem quamdam Clio eadem de caussa insectans, ait:

Obsonium vorat Clio: claudimus oculos. At, te rogamus,
ede sola. Drachmâ totus conger constat.
Pone modo aut zonam aut inaurem, taleve quodpiam
pignus. Adspicere te vero, id nullo pacto sustinemus.
Nostra tu Medusa: in lapides omnino pridem mutamur,
miseri, non Gorgonis adspectu, sed congri.

35. Aristodemus, in Ridicule dictis, scribit: Euphranorem, piscium heluonem, cum alium heluonem resciviſſet mortuum esse deglutito fervido piscis pulpamento, *O sacrilegam mortem!* exclamasse. Cindon vero, pi-

νατος." Κίνδων δε, [1] ὁ ὀψοφάγος, καὶ Δημύλος, (ὀψοφάγος δε καὶ οὗτος) γλαύκου παρατεθέντος, ἄλλου δ' οὐδενὸς, ὁ μὲν τὸν ὀφθαλμὸν κατελάβετο, καὶ ὁ Δημύλος ἐπὶ τὸν ἐκείνου ὀφθαλμὸν ἐπιβαλὼν ἐβιάζετο, φωνῶν· „Ἄφες καὶ ἀφήσω." Ἐν δείπνῳ δέ ποτε καλῆς λοπάδος ὄψου παρατεθείσης, ὁ Δημύλος οὐκ ἔχων ὅπως αὐτὴν μόνος καταφάγῃ, [2] ἐνέπτυσεν εἰς αὐτήν. Ζήνων δ' ὁ Κιτιεὺς, ὁ τῆς Στοᾶς κτίστης, πρὸς τὸν ὀψοφάγον, ᾧ συνέζη ἐπὶ πλείονα χρόνον, καθά φησιν Ἀντίγονος ὁ Καρύστιος ἐν τῷ Ζήνωνος Βίῳ, μεγάλου τινὸς κατὰ τύχην ἰχθύος παρατεθέντος, ἄλλου δ' οὐδενὸς παρεσκευασμένου, λαβὼν ὅλον ὁ Ζήνων ἀπὸ τοῦ πίνακος, οἷος ἦν κατεσθίειν. τοῦ δ' ἐμβλέψαντος αὐτῷ· „Τί οὖν, ἔφη, τοὺς συζῶντάς σοι οἴει πάσχειν [καθ' ἡμέραν,] [3] εἰ σὺ μίαν ἡμέραν

Heluonem castigat Zeno.

1 Abeſt δὲ edd. 2 καταφάγοι edd. 3 Deſunt vulgo verba, quae uncis incluſa adiecimus.

ſcium heluo, & Demylus, item heluo, cum glaucus ipſis eſſet adpoſitus, praetereaque nihil, ille oculum piſcis prehendit, Demylus vero manu in Cindonis oculum iniectâ vim ei intentabat, clamans: *Miſſum fac, & ego miſſum faciam.* Idem Demylus, cum illatâ in coenam lautâ piſcium patinâ, non aliam inveniret viam qua ſolus eam deglutiret, in ipſam inſpuit. Zeno vero Cittieus, Stoae conditor, cum aliquamdiu unà vixiſſet cum quodam piſcium heluone, ut narrat Antigonus Caryſtius in Vita Zenonis, adpoſito forte aliquando magno quodam piſce, cum nihil aliud paratum adeſſet, totum piſcem ipſe e patina ſumſit, ſpeciem praebens quaſi unus eum comeſturus. Quem cum ille defixis oculis intueretur, Zeno ait: *Quid ergo eos qui tecum vivunt pati quotidie putas, ſi tu meam vorandi obſonii aviditatem ne*

μὴ δεδύνησαι ἐνεγκεῖν [τὴν ἐμὴν] ὀψοφαγίαν; Ἴστρος δέ φησι, Χοιρίλον τὸν ποιητὴν παρ' Ἀρχελάου τέσσαρας μνᾶς ἐφ' ἡμέρᾳ λαμβάνοντα, ταύτας καταναλίσκειν εἰς ὀψοφαγίαν, γενόμενον ὀψοφάγον. Οὐκ ἀγνοῶ δὲ καὶ τοὺς ἰχθυοφάγους παῖδας, ὧν Κλέαρ-
e χος μνημονεύει ἐν τῷ Περὶ Θινῶν, [1] Φάσκων, Ψαμμίτιχον [2] τὸν Αἰγυπτίων βασιλέα παῖδας θρέψαι ἰχθυοφάγους, τὰς πηγὰς τοῦ Νείλου βουλόμενον εὑρεῖν· καὶ ἄλλους δὲ ἀδίψους ἀσκῆσαι, τοὺς ἐρευνησομένους τὰς ἐν Λιβύῃ ψάμμους, ὧν ὀλίγοι διεσώθησαν. Οἶδα δὲ καὶ τοὺς περὶ Μόσυνον τῆς Θρᾴκης βοῦς, οἳ ἰχθῦς ἐσθίουσι, παραβαλλομένους αὐτοῖς εἰς τὰς φάτνας. Φοινικίδης δὲ τοὺς ἰχθῦς παρατιθεὶς τοῖς τὰς συμβολὰς δεδωκόσι, τὴν μὲν θάλασσαν ἔλεγε κοινὴν εἶναι, τοὺς δ' ἐν αὐτῇ ἰχθῦς τῶν ὠνησαμένων.

Psammitichi experimenta.

1 περὶ Οἴναν apud Suid. Utrobique περὶ Ὠδῶν corr. Toup. 2 Ψαμμήτιχον edd. cum ms. *A*.

uno quidem die ferre potes? Choerilum vero poëtam narrat Iſter, cum ab Archelao quotidie quatuor minas acciperet, in obſoniorum cupedias, quarum erat avidior, iſtam pecuniam expendiſſe. Nec vero me fugiunt illi piſcibus veſcentes pueri, quorum Clearchus meminit in libro De Arenoſis locis, ubi ſcribit, *Pſammitichum* Aegyptiorum regem *pueros aluiſſe veſcentes piſcibus*, cum vellet Nili fontes inveſtigare: aluiſſeque item alios *ſitim tolerare edoctos*, qui arenoſa Libyae deſerta perveſtigarent; horum vero paucos evaſiſſe incolumes. Novi etiam illos circa Moſynum Thraciae boves, piſcibus veſcentes, qui eis in praeſepibus obiiciuntur. Phoenicides vero, piſces adponens his qui ſymbolas contulerant, *Mare quidem*, dicebat, *eſſe commune; at, qui in eo ſint piſces, eorum eſſe qui emerint.*

XXXVI. Εἴρηται δὲ καὶ ὁ ὀψοφάγος, ὦ ἑταῖροι, [1] καὶ τὸ f
'Οψοφάγον oportet esse coquum. ὀψοφαγεῖν. Ἀριστοφάνης ἐν Νεφέλαις δευτέραις·

[Οὐδ'] ὀψοφαγεῖν, οὐδὲ κιχλίζειν. [2]

Κηφισόδωρος, Ὑί·

Οὐδ' [3] ὀψοφάγος, οὐδ' ἀδολέσχης.

Μάχων, Ἐπιστολῇ·

Ὀψοφάγος εἰμί. τοῦτο δ' ἐστὶ τῆς τέχνης
θεμέλιος ἡμῖν. Προσπεπονθέναι τι δεῖ a
τὸν μὴ τὰ παρατεθέντα λυμανούμενον.
πεφροντικὼς αὐτοῦ [4] γὰρ οὐκ ἔσται κακός.
ἔπειτ' ἐπὰν ᾖ καθαρὰ ταῖσθητήρια, 5
οὐκ ἂν διαμάρτοις. ἕψε, καὶ γεύου [5] πυκνά.
ἅλας οὐκ ἔχει; προσένεγκ'. [ἔτ'] [6] ἐπιδεῖταί τινος
ἑτέρου; [7] πάλιν γεύου· συμμετρίαν ἁρμόσῃ

1 Vulgo ὡς ἕτεροι. 2 κιχλάζειν edd. Deest autem vulgo prius Οὐδ'. 3 Vulgo Κηφισόδωρος υἱοῦ δ' ὀψοφ. 4 αὐτοῦ malles. 5 καί γε οὐ vulgo. 6 Iunguntur vulgo προσένεγκ' ἐπιδεῖται. 7 ἑτέρου carent edd. & versum sic scribunt: πάλιν τε γεύου συμμετρίαν ὡς ἁρμόσῃ. Ubi πάλιν ἀπογεύου corrigebat Coray.

36. Usurpatur autem, o Viri sodales, & nomen ὁ ὀψοφάγος, & verbum τὸ ὀψοφαγεῖν. Aristophanes, in Nubibus posterioribus:

Nec ὀψοφαγεῖν, *nec* κιχλίζειν.

Cephisodorus, in Sue:

Nec ὀψοφάγος, *nec garrulus.*

Machon, in Epistola:

Ὀψοφάγος *sum. Hoc autem est artis*
fundamentum nostrae. Delectari ipse (recte paratis) *debet,*
qui adponenda aliis non vult corrumpere.
Qui sui ipsius curam habet, non erit is in arte malus.
Deinde si subtilia fuerint proprii sensus organa,
sane non erraveris. Elixa; & gusta saepe.
Salis non satis habet? Adiice. Desideratur aliquid
aliud? Rursus gusta: iustum modum conciliaveris:

ὥσπερ λύραν ἐπιτεῖναί γ' ὡς ἡδὺς εἶ. [1]
εἶθ', ὁπόταν ἤδη πάντα συμφωνεῖν δοκῇ, [2]
b εἴσαγε διὰ πασῶν Νικολαΐδας Μυκονίας. [3]

Πρὸς τούτοις τοῖς ὀψοφάγοις, ἄνδρες ἑταῖροι, οἶδα καὶ τὸν παρ' Ἠλείοις τιμώμενον ὀψοφάγον Ἀπόλλωνα. μνημονεύει δὲ αὐτοῦ Πολέμων ἐν τῇ πρὸς Ἄτταλον ἐπιστολῇ. οἶδα δὲ καὶ τὴν ἐν τῇ [4] Πισάτιδι γραφὴν ἀνακειμένην ἐν τῷ τῆς Ἀλφειώσας Ἀρτέμιδος ἱερῷ·
c (Κλεάνθους δ' ἐστὶ τοῦ Κορινθίου·) ἐν ᾗ Ποσειδῶν πεποίηται θύννον τῷ Διὶ προσφέρων ὠδίνοντι, ὡς ἱστορεῖ Δημήτριος ἐν ὀγδόῃ τοῦ Τρωϊκοῦ διακόσμου. Apollo Ὀψοφάγος.

Καὶ τοσαῦτα μέν, ἔφη ὁ Δημόκριτος, καὶ αὐτὸς ὑμῖν προσοψωνήσας, οὐκ ὀψοφαγήσων, παρῆλθον, διὰ τὸν πάντα ἄριστον Οὐλπιανόν· ὃς, διὰ τὰ Σύρων πά- XXXVII. Atergatis, Syrorum regina & dea.

1 Forſ. ἐπίτειν' ἀεὶ γ', ἔσθ' ἡδὺς ᾗ. 2 δοκεῖ edd. δοκῇς Ms. 3 Μυκωνίας edd. Νίκων, Λαΐδας Μυκ. coniectabat vir doctus. 4 Deeſt artic. edd.

veluti qui lyram ſubinde intendit, donec ſuavis fuerit. Deinde ubi recte concinere viſa fuerint omnia, introducito διὰ πασῶν Nicolaidas Myconias.

Praeter iſtos obſoniorum heluones, Viri ſodales, memini etiam apud Eleos coli *Opſophagum Apollinem:* cuius mentionem facit Polemon in Epiſtola ad Attalum. Novi etiam picturam in Piſatide conſecratam in Dianae Alphioſae templo: (Cleanthis opus eſt Corinthii:) in qua pictus *Neptunus thynnum offerens Iovi parturienti*, ut narrat Demetrius octavo libro Ordinationis copiarum Troianarum.

37. Atque haec ſunt, ait Democritus, quae & ego vobis obſonii loco adpoſiturus acceſſi, non obſonium voraturus, propter optimum hunc virum Ulpianum; qui, ex patrio Syrorum inſtituto, noluit ut piſcibus ve-

τρια, καὶ ἡμᾶς τῶν ἰχθύων ἀπεστέρησεν, ἕτερ' ἐξ ἑτέρων ἀεὶ [1] παρεισφέρων. καί τοι γε Ἀντίπατρος ὁ Ταρσεὺς, ὁ ἀπὸ τῆς Στοᾶς, ἐν τετάρτῳ Περὶ Δεισιδαιμονίας· Λέγεσθαι, φησὶ, πρός τινων, ὅτι Γάτις ἡ τῶν Σύρων βασίλισσα οὕτως ἦν ὀψοφάγος, ὥστε κηρύξαι d „ἄτερ Γάτιδος μηδένα ἰχθῦν ἐσθίειν·" ὑπ' ἀγνοίας δὲ τοὺς πολλοὺς αὐτὴν μὲν Ἀτεργάτιν [2] ὀνομάζειν, ἰχθύων δὲ ἀπέχεσθαι. Μνασέας δὲ, ἐν δευτέρῳ Περὶ Ἀσίας, φησὶν οὕτως· „Ἐμοὶ μὲν ἡ Ἀτεργάτις δοκεῖ χαλεπὴ βασίλισσα γεγονέναι, καὶ τῶν λαῶν σκληρῶς ἐπεστατηκέναι, ὥστε καὶ ἀπονομίσαι αὐτοῖς ἰχθῦν μὴ ἐσθίειν, ἀλλὰ πρὸς αὐτὴν ἀναφέρειν, διὰ τὸ ἀρέσαι αὐτῇ τὸ βρῶμα. καὶ διὰ τόδε νόμιμον ἔτι διαμένειν, e ἐπὰν εὔξωνται τῇ Θεῷ, ἰχθῦς ἀργυροῦς ἢ χρυσοῦς ἀναθέναι· τοὺς δὲ ἱερεῖς πᾶσαν ἡμέραν τῇ Θεῷ ἀληθινοὺς ἰχθῦς ἐπὶ τὴν τράπεζαν ὀψοποιησαμένους παρατιθέναι,

1 ἕτερ' ἐξ Ἐρετρείας vulgo. 2 Ἀταργάτιν & hic & deinde ms. *Epit.*

sceremur, alia atque alia continuo nobis ex obliquo in medium proponens. Atqui Antipater Tarsensis Stoicus, quarto libro de Superstitione, scribit, tradere nonnullos, *Gatin* fuisse Syrorum reginam, ita avidam piscium, ut edicto publico vetuerit, *ne quis ἄτερ Γάτιδος* (id est, *praeter Gatidem*) *piscem ederet:* vulgus autem ignarum *Atergatin* eam adpellare, & a piscibus abstinere. Mnaseas vero secundo libro de Asia ita scribit: »Mihi quidem videtur *Atergatis* dura fuisse regina, & inclementer imperasse populis; ut quae etiam piscibus eos vesci vetuerit, sed ad se perferri captos iusserit, cum cibo eo delectaretur. Atque inde etiam nunc morem servari, ait, ut cum vota faciunt Deae, argenteos aureosve pisces ei consecrent: utque sacerdotes quotidie veros pisces Deae paratos adponant, elixos pariter as-

ἐφθούς τε ὁμοίως καὶ ὀπτοὺς, οὓς δὴ αὐτοὶ καταναλίσκουσιν οἱ τῆς θεοῦ ἱερεῖς." καὶ μικρὸν προελθὼν, πάλιν φησίν· „Ἡ δέ γε Ἀτεργάτις, ὥσπερ Ξάνθος λέγει ὁ Λυδὸς, ὑπὸ Μόψου τοῦ Λυδοῦ ἁλοῦσα, κατεποντίσθη μετὰ Ἰχθύος τοῦ υἱοῦ ἐν τῇ περὶ Ἀσκάλωνα λίμνῃ διὰ τὴν ὕβριν, καὶ ὑπὸ τῶν ἰχθύων κατεβρώθη."

XXXVIII. Gervonis piſcis.

f Τάχα δὲ καὶ ὑμεῖς, ἄνδρες φίλοι, ἑκόντες παρελίπετε, ὡς ἱερόν τινα ἰχθῦν, τὸν παρ' Ἐφίππῳ τῷ κωμῳδιοποιῷ, ὃν φησι τῷ Γηρυόνῃ σκευάζεσθαι ἐν τῷ ὁμωνύμῳ δράματι, διὰ τούτων λέγων·[1]

Τούτῳ, δ' ὁπόταν ναέται χώρας
ἰχθῦν τιν' ἕλωσ'[2] οὐχ ἡμέριον,
τῆς περικλύστου δ' ἁλίας Κρήτης
μείζω μεγέθει, λοπὰς ἐστ' αὐτῷ
δυνατὴ τούτους χωρεῖν ἑκατόν. 5

1 Rectius abeſſet verbum λέγων. 2 ἕλωσιν vulgo.

ſosque; quos nempe ipſi deinde conſumunt Deae ſacerdotes. « Dein, paucis interiectis, ſic pergit ſcribere Mnaſeas: » Ipſa quidem *Atergatis*, ut Xanthus tradit Lydius, a *Mopſo* Lydo capta cum Ichthye filio, in lacu qui eſt prope Aſcalonem demerſa eſt ob contumelioſa iniuſtaque facinora, & a piſcibus vorata. «

38. Fortaſſe vero etiam, o viri amici, conſulto vos veluti ſacrum quemdam piſcem ſilentio praeteriiſtis illum, qui eſt apud Ephippum comicum, quem *Gervoni* parari ait poëta in cognomine fabulâ. Cuius haec ſunt verba:

Huic quum regionis incolae
piſcem quemdam capiunt, non quotidianum,
ſed mari circumfluâ Cretâ
maiorem mole, patina eſt illi,
quae centum tales capere poſſit.

καὶ περικίκους εἶναι ταύτῃ [1] a
Σινδοὺς, [2] Λυκίους, Μυγδονιώτας,
Κραναοὺς, Παφίους. τούτους δ' ὕλην
κόπτειν, ὁπόταν βασιλεὺς ἕψῃ
τὸν μέγαν ἰχθῦν· καὶ προσάγοντας, 10
καθόσον πόλεως ἕστηκεν ὅρος,
τοὺς δ' ὑποκαίειν. λίμνην δ' ἐπάγειν
ὕδατος μεστὴν εἰς τὴν ἅλμην,
τοὺς δ' ἅλας αὐτῷ ζεύγη προσάγειν
μηνῶν ὀκτὼ συνεχῶς ἑκατόν. 15
περιπλεῖν δ' ἐπὶ τοῖς ἄμβωσιν ἄνω b
πέντε κέλητας πεντασκάλμους,
περιαγγέλλειν τε κοὐχ [3] ὑποκαίειν
Λυκίων [4] πρυτάνεις. Β. Ψυχρὸν τουτὶ
παύου Φυσῶν, Μακεδὼν ἄρχων· 20

1 Forſ. φασὶν ταύτης, aut εἶναί Φασιν. 2 ἐς Ἰνδοὺς vulgo. 3 Immo περιαγγέλλειν τ', οὐχ ὑποκ. Aut περιαγγέλλειν, κοὐ παραχούειν. 4 Λυκείων vulgo.

Et aiunt, eos qui circum habitant,
Sindos, Lycios, Mygdoniatas,
Cranaos, Paphios: hos quidem ligna
caedere, quum rex elixat
magnum piſcem; illos vero adgerentes
ſtruem tantam quantus urbis ambitus,
ſuccendere ignem: lacum autem advehere
aquae plenum, parandae muriae,
ſalisque copiam convehere quadrigas,
per octo menſes continuos, centum:
circumnavigare autem in ſupremâ patinae orâ
quinque celoces quinis remis inſtructos,
& circum imperia dare, ne adurant
Lyciorum prytanes. B. *Frigidas deſine*
ampullas proiicere; Macedo princeps:

σβέννυ Κελτοὺς, [1] μὴ προσκαύσῃς. [2]

Οὐκ ἀγνοῶ δὲ, ὅτι τὰ αὐτὰ ταῦτα εἴρηκεν ὁ Ἔφιππος καὶν Πελταστῇ τῷ δράματι, ἐν ᾧ καὶ ταῦτα c ἐκείνοις ὑποτέτακται·

Τοιαῦθ' ὑθλῶν δειπνεῖ καὶ ζῇ
θαυμαζόμενος μετὰ μειρακίων,
οὐ γινώσκων ψήφων ἀριθμοὺς,
σεμνὸς, σεμνῶς χλανίδ' ἕλκων.

Εἰς τίνα δὲ ταῦτ' ἀποτεινόμενος ὁ Ἔφιππος εἴρηκεν, ὥρα σοι ζητεῖν, ὦ καλὲ Οὐλπιανὲ, καὶ διδάσκειν ἡμᾶς· καὶ, — τῶν εἰρημένων τούτων [3]

— εἴ τι σοι ψελλόν τε καὶ δυσεύρετον,
ἐπαναδίπλαζε, καὶ σαφῶς ἐκμάνθανε.
σχολὴ δὲ πλείων, ἢ θέλω, πάρεστί μοι,

κατὰ τὸν Αἰσχύλου Προμηθέα.

1 σβεννυχέλτους vulgo. 2 προσκλύσῃς vulgo. 3 Commodius foret τῶνδ' initio proximi versus adiectum.

exstingue Gallos, noli inflammare amplius.

Nec me fugit, eadem ista in Peltastâ quoque fabulâ dixisse eumdem Ephippum, ubi istis etiam haec subiiciuntur:

Haec deblaterans coenat, vivit
iuvenes inter, magnus habetur:
& rationum summam ignorans, [f. & licet imperitissimus,]
gravis ipse, sagum graviter fert.

Quis sit vero, quem respiciens ista dixerit poëta, tuum fuerit, praestantissime Ulpiane disquirere, nosque docere: & horum quae dicta sunt,

si quid obscurum est, aut occultius,
iterum replica, & penitius cognosce.
Est enim plus mihi, quam velim, otii.

ut ait Aeschylus in Prometheo.

XXXIX. Καὶ ὁ Κύνουλκος ἀνεβόησε· Καὶ τίν' ἂν τῶν μεγάλων οὗτος, οὐκ ἰχθύων, ἀλλὰ ζητήσεων ἐπὶ νοῦν λάβοι; ὃς τὰς ἀκάνθας ἀεὶ ἐκλέγει ἐψητῶν τε καὶ ἀθερινῶν, καὶ εἴ τι τούτων ἀτυχέστερόν ἐστιν ἰχθύδιον, τὰ μεγάλα τεμάχη παραπεμπόμενος. d

Spinas legens Ulpianus.

Καθάπερ γὰρ ἐν ταῖς γεννικαῖς [1] εὐωχίαις, φησὶν ἐν Ἰξίωνι Εὔβουλος,

ἀμύλων παρόντων, ἐσθίουσ' ἑκάστοτε
ἄνηθα, καὶ σέλινα, καὶ Φλυαρίας,
καὶ κάρδαμ' ἐσκευασμένα· —

οὕτω μοι δοκεῖ καὶ ὁ λεβητοχάρων [2] Οὐλπιανὸς, κατὰ τὸν ἐμὸν Μεγαλοπολίτην Κερκιδᾶν, μηδὲν μὲν ἐσθίειν τῶν ἀνδρὶ προσηκόντων, τηρεῖν δὲ τοὺς ἐσθίοντας εἰ παρεῖδον [3] ἢ ἄκανθαν, ἢ τῶν τραγανῶν [4] τι ἢ χονδρῶδες τῶν παρατεθέντων· οὐδ' ἐπὶ νοῦν βαλλόμενος τὰ e

1 γενικαῖς ed. Casaub. 2 λεβητοχάρις Epit. 3 παρίδον ms. *A*. 4 τραγανωδῶν ms. *Ep*.

39. Ibi tum exclamavit Cynulcus: At hic ecquid magni, non dico magnum piscem, sed maiorem quamcumque quaestionem concipere animo possit? qui spinas semper eligit hepsetorum, & atherinarum, & si qui sunt alii his miseriores pisciculi; maiora pulpamenta omittens.

Nam veluti si quis lauto in epulo,

ut ait in Ixione Eubulus,

cum adsint placentae, nil comedat nisi
anethum, aut apium, aliasve nugas,
aut nasturtium adpositum: —

sic hic etiam *lebetocharon* Ulpianus (ut popularis mei Cercidae Megalopolitani verbo utar) videtur mihi nihil quod viro conveniat comedere, & solummodo observare comedentes si quam spinam omiserint aut aliquod callosum aut cartilaginosum ex his quae adposita sunt: ne cogitationem quidem admittens eorum quae praeclarus ma-

τοῦ καλοῦ καὶ λαμπροῦ Αἰσχύλου, ὃς τὰς αὐτοῦ [1] τραγῳδίας τεμάχη εἶναι ἔλεγε τῶν Ὁμήρου μεγάλων δείπνων. Φιλόσοφος δὲ ἦν τῶν πάνυ ὁ Αἰσχύλος, ὃς καὶ ἡττηθεὶς ἀδίκως ποτὲ, ὡς Θεόφραστος ἢ Χαμαιλέων ἐν τῷ Περὶ Ἡδονῆς εἴρηκεν, ἔφη „χρόνῳ τὰς f τραγῳδίας ἀνατιθέναι“ εἰδὼς ὅτι κομιεῖται τὴν προσήκουσαν τιμήν. Aeschyli tragoediae.

XL.

Πόθεν δὲ καὶ εἰδέναι δύναται ἅπερ εἶπε Στρατόνικος ὁ κιθαριστὴς εἰς Πρόπιν τὸν Ῥόδιον κιθαρῳδόν; Κλέαρχος γὰρ ἐν τοῖς Περὶ Παροιμιῶν φησιν, ὡς ὁ Στρατόνικος, θεασάμενος τὸν Πρόπιν, ὄντα τῷ μὲν μεγέθει μέγαν, τῇ δὲ τέχνῃ κακὸν καὶ ἐλάττονα τοῦ σώματος, ἐπερωτώντων αὐτὸν ποῖός τίς ἐστιν, εἶπεν· Stratonici facete dicta.

a „Οὐδεὶς κακὸς μέγας ἰχθύς.“

αἰνισσόμενος, ὅτι πρῶτον μὲν οὐδείς ἐστιν, εἶθ' ὅτι κακὸς, καὶ πρὸς τούτοις μέγας μὲν, ἰχθὺς δὲ διὰ τὴν

[1] αὐτοῦ ms. *A*.

gnificusque *Aeschylus* scripsit, qui *suas tragoedias reliquias esse* aiebat *magnarum Homeri coenarum*. Sed admirum *philosophus*, si quis alius, *Aeschylus* fuerat: qui quum immerito aliquando victus esset, ut narrat Theophrastus sive Chamaeleon in libro De Voluptate, *Tempori se suas tragoedias consecrare* dixit; bene gnarus, olim se meritam laudem reportaturum.

40. Unde porro nosse hic potuerit quae *Stratonicus* citharista dixit in Propin Rhodium citharoedum? Clearchus enim, in libro De Proverbiis scribit, Stratonicum, cum vidisset Propin, qui corpore quidem magnus erat, sed in arte tenuis & minor quam corpore, interrogantibus nonnullis quisnam ille esset, respondisse:

Nullus malus magnus piscis:

significans primum, hominem *nihili* esse, deinde *malum;* adhaec *magnum* quidem, sed *piscem*, ut qui voce care-

ἀφωνίαν. Θεόφραστος δ' ἐν τῷ Περὶ Γελοίου, λεχθῆναι μέν φησι τὴν παροιμίαν ὑπὸ τοῦ Στρατονίκου, ἀλλ' εἰς Σιμμύκαν[1] τὸν ὑποκριτὴν, διελόντος τὴν παροιμίαν·

Μέγας οὐδεὶς σαπρὸς ἰχθῦς.

Naxiorum respublica.

Ἀριστοτέλης ἐν τῇ Ναξίων Πολιτείᾳ περὶ τῆς παροιμίας οὕτως γράφει· „Τῶν παρὰ Ναξίοις εὐπόρων, οἱ μὲν πολλοὶ τὸ ἄστυ ᾤκουν, οἱ δὲ ἄλλοι διεσπαρμένοι κατὰ κώμας. ἐν οὖν δή τινι τῶν κωμῶν, ἧ ὄνομα ἦν Λησταίδαι, Τελεσταγόρας ᾤκει, πλούσιός τε σφόδρα καὶ εὐδοκιμῶν, καὶ τιμώμενος παρὰ τῷ δήμῳ τοῖς τἄλλοις ἅπασι, καὶ τοῖς καθ' ἡμέραν πεμπομένοις. καὶ ὅτε καταβάντες ἐκ τῆς πόλεως δυσωνοῖντό τι τῶν πωλουμένων, ἔθος ἦν τοῖς πωλοῦσι, λέγειν, ὅτι μᾶλλον ἂν προέλοιντο Τελεσταγόρᾳ δοῦναι, ἢ τοσού- b

1 Σιμύλαι edd. Σίμυλον apud Suid. & Harpocr.

ret. Theophraſtus vero, in libro De Ridiculo, dictum quidem eſſe, ait, a Stratonico proverbium, ſed in Simmycam hiſtrionem: nempe disiunctis vocibus pronunciaſſe eum id quod aiunt in proverbio:

Magnus nullis putris piſcis.

Ariſtoteles in Naxiorum Republica, ubi proverbii illius mentionem fecit, haec ſcribit: »Eorum qui apud Naxios copià rei familiaris abundabant, alii habitabant in urbe, alii per vicos ſparſim vitam agebant. In uno igitur ex vicis, cui Leſtadae nomen, habitabat Teleſtagoras, vir praedives & optimae apud omnes famae; quem honorabat populus cum aliis omnibus rebus, tum miſſis quotidie muneribus. Et ſi quando oppidani, in vicos degreſſi, emere aliquid rerum venalium vellent, ſed minoris licitarentur quam par eſſet, ſolebant venditores reſpondere, *malle ſe Teleſtagorae dare, quam eo pretio*

του [1] ἀναδόσθαι. [2] Νεανίσκοι οὖν τινες ὠνούμενοι μέ-
c γαν ἰχθῦν, εἰπόντος τοῦ ἁλιέως τὰ αὐτὰ, λυπηθέντες
τῷ πολλάκις ἀκούειν, ὑποπιόντες ἐκώμασαν πρὸς αὐ-
τόν. δεξαμένου δὲ τοῦ Τελεσταγόρου ΦιλοΦρόνως αὐ-
τοὺς, οἱ νεανίσκοι αὐτόν τε ὕβρισαν, καὶ δύο θυγα-
τέρας αὐτοῦ ἐπιγάμους. ἐΦ' οἷς ἀγανακτήσαντες οἱ
Νάξιοι, καὶ τὰ ὅπλα ἀναλαβόντες, ἐπῆλθον τοῖς
νεανίσκοις· καὶ μεγίστη τότε στάσις ἐγένετο, προστα-
τοῦντος τῶν Ναξίων Λυγδάμιδος· ὃς ἀπὸ ταύτης τῆς
στρατηγίας τύραννος ἀνεΦάνη τῆς πατρίδος."

Lygdamis Naxi tyrannus.

XLI.

d Οὐκ ἄκαιρον δὲ εἶναι νομίζω [εἰπεῖν,] ἔτι [3] καὶ
αὐτὸς, ἐπειδήπερ ἐμνήσθην τοῦ κιθαριστοῦ Στρατονίκου,
λέξαι τι [4] περὶ τῆς εὐστοχίας αὐτοῦ τῶν ἀποκρίσεων.
Διδάσκων γὰρ κιθαριστὰς, ἐπειδὴ ἐν τῷ διδασκαλείῳ
εἶχεν ἐννέα μὲν εἰκόνας τῶν Μουσῶν, τοῦ δὲ Ἀπόλ-

Stratonici in respondendo solertia.

1 τοσοῦτον edd. 2 Restius fuerit ἀποδόσθαι. 3 ὅτι ms. *A*.
4 Delenda verba λέξαι τι, nisi supra deletum malis εἰπεῖν.

addicere. Aliquando igitur iuvenes nonnulli magnum piscem mercantes, quum idem illud respondisset eis piscator, aegre ferentes saepius illud verbum a se audiri, iam bene adpoti ad eum perrexerunt comissabundi. Quos quum benigne excepisset Telestagoras, illi & ipsum contumelia adfecerunt, duabusque filiabus nubilibus vim intulerunt. Quibus indignantes Naxii, arreptis armis, impetum in iuvenes fecere: & maxima tunc exorta est seditio, in qua praeerat Naxiis Lygdamis; qui ab hoc imperio tyrannus patriae evasit."

41. Nec vero alienum puto, ut, quandoquidem *Stratonici* mentionem inieci, verba ipse facere pergam, ac de huius hominis *in respondendo solertia & acumine* nonnihil adiiciam. Cum doceret ille citharam pulsare, & in schola sua haberet novem Musarum signa & unum Apol-

λωνος μίαν, μαθητὰς δὲ δύο, πυνθανομένου τινὸς πόσους ἔχοι μαθητὰς, ἔφη· „Σὺν τοῖς θεοῖς δώδεκα.“ Εἰς Μύλασσα δὲ ἐπιδημήσας, καὶ κατιδὼν ναοὺς μὲν πολλοὺς, ἀνθρώπους δὲ ὀλίγους, στὰς ἐν μέσῃ τῇ ἀγορᾷ, ἔφη· „Ἀκούετε ναοί.“ Μάχων δὲ αὐτῶν ἀναγράφει τάδε ἀπομνημονεύματα· e

Στρατόνικος ἀπεδήμησεν εἰς Πέλλαν ποτέ·
ὃς παρὰ πλεόνων [1] ἔμπροσθε τοῦτ' ἀκηκοὼς,
ὡς σπληνικοὺς εἴωθεν ἡ πόλις ποιεῖν
ἐν τῷ βαλανείῳ· καταμαθὼν οὖν πλείονας
γυμναζομένους τῶν μειρακίων παρὰ [2] τὸ πῦρ, 5
κομψῶς τό τε χρῶμα καὶ τὸ σῶμ' ἠσκηκότας· [3]
διαμαρτάνειν ἔφασκε τοὺς εἰρηκότας
αὐτῷ. καταμαθὼν δ', ἡνίκ' ἐξῄει πάλιν,
τῆς κοιλίας τὸν σπλῆν' ἔχοντα διπλάσιον·

1 πλειόναν vulgo. 2 παραὶ corrigit Casaub. Sed videndum, ne gravius hîc lateat ulcus. 3 ἐσχηκότας malebat vir doctus.

linis, discipulos vero duo, interroganti cuidam, *quot haberet discipulos?* respondit, *Bonis cum Diis duodecim.* Idem cum Mylassis versaretur, vidissetque multa quidem templa, sed exiguum hominum numerum, medio stans foro, dixit: *Audite templa!* Machon vero memorabilia illius dicta scripto consignavit haecce:

Stratonicus quondam Pellam se contulerat:
qui quum a multis antea dici audivisset,
lienosos solere facere illius oppidi
balnea; conspectis compluribus quibusdam
adolescentulis ad ignem sese exercentibus,
& colore corporeque sat bene se habentibus;
falsos esse, ait, qui illud sibi dixissent.
Sed rursus egrediens, conspecto quodam,
cui duplo magis, quam alvus, tumeret lien:

f „ Καθήμενός, φησ', [1] ἐνθάδ' οὗτος φαίνεται
„ τὰ ἱμάτια τῶν εἰσιόντων λαμβάνων
„ τηρεῖν ἅμα, καὶ τοὺς σπλῆνας εὐθέως, ἵνα
„ μήδ' ἠτισοῦν τοῖς ἔνδον ᾖ στενοχωρία."
Ψάλτης κακὸς Στρατόνικον ἐστιῶν ποτε,
ἐπεδείκνυτ' αὐτῷ τὴν τέχνην παρὰ τὸν πότον.
οὔσης δὲ λαμπρᾶς καὶ Φιλοτίμου τῆς δοχῆς,
ψαλλόμενος ὁ Στρατόνικος, οὐκ ἔχων δ' ὅτῳ
διαλέξεθ' [2] ἑτέρῳ, συγκατέθλα [3] τὸ ποτήριον,
a ἤτησε μεῖζον. καὶ κυάθους πολλοὺς λαβὼν,
τῷ θ' ἡλίῳ τὴν κύλικα δείξας, συντόμως
πιὼν ἐκάθευδε, ταῦτ' [4] ἐπιτρέψας τῇ τύχῃ.
Ἐπὶ κῶμον ἐλθόντων δὲ τῷ ψάλτῃ τινῶν
ἑτέρων κατὰ τύχην, ὡς ἔοικε, γνωρίμων·
ἔξοινος ὁ Στρατόνικος ἐγένετ' εὐθέως. [5]

1 Καθήμ. φησὶν ἐνθάδ' edd. Καθήμ. γὰρ ἐνθάδ' ms. *A*. Malebam καθήμενος γὰρ, φησὶν, οὗτος φαιν. absque ἐνθάδ'. 2 διαλέξηθ' edd. 3 Forſ. συγκαταθλᾷς τὸ ποτ. Aut dein, ἤτησέ τε μεῖζον. 4 τἄλλ' ἐπιτρ. malim cum Iac. 5 Poſt ἐγένετ' inter-

» Sedere hîc, ait, videtur iſte homo,
» ut veſtes ingredientium accipiat
» ſimul ſervandas, & lienes ſtatim; ne
» qui intus ſunt, anguſtiis premantur. «
Malus cantor Stratonicum coenâ excipiens,
inter epulas artem illi oſtentavit ſuam.
Splendidus cum eſſet magnificusque apparatus,
Stratonicus cantu fatigatus, habensque neminem
quicum confabularetur, frangit poculum,
& aliud maius poſtulat. Acceptis multis cyathis,
propinans Soli calicem hauſit, & continuo
obdormiens, permiſit divis cactera.
Comiſſatum deinde ad cantorem venientibus forte
aliis nonnullis, puto, familiaribus,
vino captus continuo Stratonicus fuit.

προσπυνθανομένων δὲ, τί, πολὺν [1] πίνων ἀεὶ
οἶνον, ἐμεθύσθη συντόμως; ἀπεκρίνατο·
„Ὁ γὰρ ἐπίβουλος καὶ ἐναγὴς ψάλτης, ἔφη,
„ὡς βοῦν ἐπὶ φάτνῃ, [2] δειπνίσας ἀπέκτονεν.“

Στρατόνικος εἰς Ἄβδηρ' ἀποδημήσας ποτὲ b
ἐπὶ τὸν ἀγῶνα τὸν τιθέμενον αὐτόθι,
ὁρῶν ἕκαστον τῶν πολιτῶν κατ' ἰδίαν
κεκτημένον κήρυκα, κηρύττοντά τε
ἕκαστον αὐτῶν, ὅτε θέλοι, νουμηνίαν,
σχεδόν τε τοὺς κήρυκας ἐν τῷ χωρίῳ
ὄντας πολὺ πλείους κατὰ λόγον τῶν δημοτῶν· c

pungi iussit Casaub. ut εὐθέως ad seqq. referretur. 1 Vulgo προσπύνθ. δ' ὅτι πολὺ πιν. 2 ὑπὸ φάτνῃ mssti.

Quibus ille percunctantibus, cur, qui multum semper vini bibat, tam cito factus sit ebrius? respondit:
„Insidiosus quippe hic Diisque exosus cantor,
„ut bovem ad praesepe, coenâ exceptum me occidit.“

Stratonicus aliquando Abdera se contulerat ad ludorum spectacula ibi proposita.
Ibi ut vidit civium unumquemque pro se praeconem habere; renunciareque singulos quando cuique placeret, novilunium,
esseque fere multo maiorem ibi numerum praeconum pro numero civium;
summis pedum digitis per urbem incessit lente, defixis constanter in terram oculis.
Quem quum interrogaret hospitum aliquis, pedibus ipsius quid accidisset subito?

τοῦτ' εἶπε· „Τοῖς ὅλοις [1] μὲν ἔῤῥωμαι, ξένε,
„καὶ τῶν κολάκων πολὺ μᾶλλον ἐπὶ δεῖπνον τρέχω·
„ἀγωνιῶ δὲ, καὶ δέδοικα παντελῶς,
„μή ποτ' ἐπιβὰς κήρυκι τὸν πόδ' ἀναπαρῷ."

Αὐλεῖν ἐπὶ τοῖς ἱεροῖσιν αὐλητοῦ κακοῦ
μέλλοντος, ὁ Στρατόνικος· „Εὐφημεῖν με χρή· [2]
„σπείσαντες εὐξώμεσθα, φησὶ, τοῖς θεοῖς."

Κλέων τις ἦν κιθαρῳδὸς, ὃς ἐκαλεῖτο Βοῦς,
δεινῶς ἀπᾴδων, τῇ λύρᾳ τ' οὐ χρώμενος.
d τούτου διακούσας ὁ Στρατόνικος, εἶφ'· „Ὅτι
„ὄνος λύρας ἐλέγετο, νῦν δὲ βοῦς λύρας."

Στρατόνικος ὁ κιθαρῳδὸς ὡς Βηρισάδην
ἔπλευσεν εἰς τὸν Πόντον, ὄντα βασιλέα.
πολλοῦ χρόνου δ' ἤδη γεγονότος, ἀποτρέχειν
ἠβούλετο Στρατόνικος εἰς τὴν Ἑλλάδα.

1 κώλοις corr. Caſ. 2 εὐφ. γε χρὴ corr. Caſ. & dein εὐξώμεσθα.

» *Bene prorſus, inquit, hoſpes, valeo,*
» *& paraſito quovis ad coenam curro celerius:*
» *ſed vereor, anxiusque ſum etiam,*
» *ne κήρυκα calcans, ſpinis pedem transfigam.* «

Tibias in ſacrificio inflaturus erat tibicen
inſcitus. Tum Stratonicus: » *Bona verba, quaeſo!*
» *libemus, precemurque bonos, inquit, Deos.* «

Cleon erat citharoedus, Bos cognomine,
diſſona voce canens, & lyrâ uti neſciens.
Quem audiens Stratonicus: » *Aſinus ad lyram,*
» *ſolebat dici, inquit: nunc, Ad lyram bos.* «

Stratonicus citharoedus ad Beryſaden
navigarat in Pontum, ubi regnabat ille.
Ibi ſat diu moratus Stratonicus,
redire tandem voluit in Graeciam.

Ὡς δ' αὐτὸν, ὡς ἔοικεν, οὐ προσίετο, [1]
τοῦτ' ἀποκριθῆναί φασι [2] τῷ Βηρισάδῃ·
„Σὺ γὰρ [3] διανοῇ, [4] φησὶν, αὐτοῦ καταμένειν;“

Ἐν τῇ Κορίνθῳ παρεπιδήμησέν ποτε
Στρατόνικος ὁ κιθαρῳδός. εἶτα γραΐδιον
ἐνέβλεπεν αὐτῷ, κ' οὐκ ἀΦίστατ' οὐδαμοῦ.
καΐθ' ὁ Στρατόνικος· „Πρὸς θεῶν, μῆτερ, Φράσον,
„τί ἔστ' ὃ βούλει; καὶ τί μ' εἰσβλέπεις ἀεί;“ —
„Διηπόρησα, Φησὶν, εἰ μήτηρ δέκα
„σὲ μῆνας εἶχε, καὶ ἐκράτει τῆς κοιλίας·
„πόλις δ' ἔχουσά σ' ἡμέραν ἀλγεῖ μίαν.“

Ἡ Νικοθέοντος [5] εἰσιοῦσα Βιοθέα
γυνὴ μετὰ παιδίσκης ἄβρας εἰς τὸν πότον, [6]
ἀπεψόΦησε· κἄτα τῶν Σικυωνίων

1 Forſ. πρίετο. 2 Φησὶ vulgo. 3 Εὖ γὰρ διαν. vulgo, absque interrogatione. Εὖ γ' ὅτι corr. Caſ. Ἦ γὰρ . . . καταμένειν; Coray. 4 διανοεῖ Ms. 5 Νικοχρέοντος corr. viri docti, & dein εἰσιοῦσ' Ἀξιόθεα. 6 εἰς τὸν ποταμὸν vulgo.

Quem quum ille, ut videtur, nollet dimittere,
reſpondiſſe regi Stratonicum aiunt:
» Tu-ne ergo hîc manere cogitas?«

Corinthi verſabatur aliquando
Stratonicus citharoedus. Ibi anicula
intentis oculis, quacumque iret, ſequebatur.
Denique ille: » Dic, per Deos, matercula,
» quid tibi vis, intente ſemper me adſpiciens?«
Et illa: » Mirabar, inquit, tua an te mater
» decem menſes geſtarit, nec venter ei ruperit;
» cum unam diem te habens iam doleat civitas.«

Biothea, Nicotheontis uxor, ingreſſa
in convivium ancillâ honeſtâ comite,
crepitum ventris edidit: deinde Sicyoniam

f ἀμυγδαλὴν ἐπιβᾶσα συνέτριβεν τύχῃ.
Στρατόνικος εἶπεν· „Οὐχ ὅμοιος ὁ ψόφος.“
ὑπὸ νύκτα[1] τῆς Φωνῆς δὲ ταύτης οὕνεκα
ἐν τῷ πελάγει διέλυσε τὴν παῤῥησίαν.

Ἐπιδεικνυμένου πόθ', ὡς ἔοικεν, ἐν Ἐφέσῳ
ἀφυοῦς κιθαρῳδοῦ τὸν μαθητὴν τοῖς Φίλοις,
παρὼν κατὰ τύχην ὁ Στρατόνικος τοῦτ' ἔφη·
„Ὃς[2] αὐτὸς αὑτὸν οὐ κιθᾷ, ἄλλους κιθᾷ.“[3]

XLII. Stratonici scite responsa.

Κλέαρχος δ' ἐν δευτέρῳ Περὶ Φιλίας· Στρατόνικος, φησὶν, ὁ κιθαριστὴς, ἀναπαύεσθαι μέλλων, ἐκέλευεν ἀεὶ τὸν παῖδα προσφέρειν αὐτῷ πιεῖν· „Οὐχ ὅτι διψῶ, φησὶν, ἵνα δὲ μὴ διψήσω.“ Ἐν δὲ Βυζαν-
a τίῳ κιθαρῳδοῦ τὸ μὲν προοίμιον ᾄσαντος εὖ, ἐν δὲ τοῖς

1 Interpungunt ed. Baſ. & Caſ. & ὑπὸ νύκτα ad praecedd. referunt: & ſic Epit. ὁ ὑπὸ νύκτα. Sed malles utique, ὑπὸ ῥῖνα. « aut » ὑπὸ τὸν μυκτῆρα. « Τῆς δὲ φωνῆς οὕνεκα &c. Id eſt: » *ad nares.* « *Cuius dicti cauſſa* &c. 2 Ὡς edd. 3 οὐκ + ἰθαλλούσκιθα. edd.

forte calcans amygdalam, obtrivit pede.
Stratonicus tunc ait: » At diſſimilis ſonus. «
Sub noctem vero, eius dicti cauſſâ,
in mari libertatem linguae ille luit.

Ineptus citharoedus Epheſi, ut fama eſt,
artem diſcipuli oſtentabat familiaribus.
Ibi Stratonicus forte praeſens, ait:
» *Qui ſe ipſum non poteſt citharoedum praeſtare, alios praeſtat.* «

42. Clearchus vero, ſecundo libro de Amicitia, ſcribit: »Stratonicus citharista, quando quietem volebat capere, puerum ſemper iuſſit ſibi potum adferre: » non quod ſitiam, dicere ſolebat; ſed, ne ſitiam. « Byzantii vero quum citharoedus aliquis prooemium quidem belle ceciniſſet, reliqua vero prorſus perperam; ſur-

λοιποῖς ἀποτυγχάνοντος, ἀναστὰς ἐκήρυξεν· „Ὃς ἂν „καταμηνύσῃ τὸν τὸ προοίμιον ἆσαντα κιθαρῳδόν, λή- „ψεται χιλίας δραχμάς.“ Ἐρωτηθεὶς δ' ὑπό τινος, τίνες εἰσὶν οἱ μοχθηρότατοι; „Τῶν ἐν Παμφυλίᾳ [1] „Φασηλίτας μὲν ἔφησε μοχθηροτάτους εἶναι, Σιδή- „τας δὲ τῶν ἐν τῇ οἰκουμένῃ.“ Πάλιν δ' ἐπερωτηθείς, ὅς φησιν Ἡγήσανδρος, πότερα Βοιωτοὶ βαρβαρώτεροι τυγχάνουσιν ὄντες ἢ Θετταλοί; „Ἠλείους“ ἔφησεν. Ἀναστήσας δέ ποτε καὶ τρόπαιον ἐν τῇ διατριβῇ, ἐπέ- b γραψε ΚΑΤΑ ΤΩΝ ΚΑΚΩΣ ΚΙΘΑΡΙΖΟΝΤΩΝ. Ἐρωτηθεὶς δὲ ὑπό τινος, τίνα τῶν πλοίων ἀσφαλέστατα ἐστί; τὰ μακρὰ, ἢ τὰ στρογγύλα; „Τὰ νενεωλκημένα“ εἶπεν. Ἐν Ῥόδῳ δ' ἐπίδειξιν ποιούμενος, ὡς οὐδεὶς ἐπεσημήνατο, καταλιπὼν τὸ θέατρον ἐξῆλθεν εἰπών· „Ὅπου τὸ ἀδάπανον οὐ ποιεῖτε, πῶς ἐγὼ ἐλπίζω παρ' ὑμῶν ἔρανον λήψεσθαι;“ —

1 Iungunt vulgo οἱ μοχθ. τῶν ἐν Παμφ. Deinde intercidisse eadem verba, Τῶν ἐν Παμφ. cum repeti debuissent, statuit Cas.

gens Stratonicus, alta voce proclamavit: *Mille drachmas accepturum si quis citharoedum indicaverit, qui prooemium istud cecinisset.* Interrogatus ab aliquo, quinam essent homines miserrimi? (*sive* pessimi?) respondit: *In Pamphylia miserrimos* (sive, *deterrimos*) *esse Phaselitas; Sidetas vero omnium totius orbis gentium.* Rursus interrogatus, ut scribit Hegesander, utrum Boeoti magis barbari essent, an Thessali? *Elei*, inquit. Idem aliquando tropaeum erexit in schola, hac inscriptione: ADVERSUS CITHARA MALE CANENTES. Sciscitante quodam, quaenam sint naves tutiores, longae, an rotundae? *Tutiores*, inquit, *hae quae subductae sunt.* Rhodi cum artis specimen exhiberet, nemo autem adplauderet, relicto theatro abiit, dicens: *Quandoquidem id non praestatis quod nullius est impendii, quo pacto sperem mercedem a vobis me relaturum? — Gymnicos lu-*

„Γυμνικοὺς δὲ ἀγῶνας, ἔφη, διατιθέτωσαν Ἠλεῖοι,
c „Κορίνθιοι δὲ θυμελικοὺς, Ἀθηναῖοι δὲ σκηνικούς. εἰ δέ
„τις τούτων πλημμελοίη, μαστιγούσθωσαν Λακεδαι-
„μόνιοι.“ ἐπισκώπτων τὰς παρ' αὐτοῖς ἀγομένας μα-
στιγώσεις, ὥς φησι Χαρικλῆς ἐν τῷ πρώτῳ Περὶ
τοῦ [1] Ἀστικοῦ ἀγῶνος. Πτολεμαίου δὲ τοῦ βασιλέως
περὶ κιθαριστικῆς πρὸς αὐτὸν διαλεγομένου φιλονεικό-
τερον· „Ἕτερόν ἐστιν, εἶπεν, ὦ βασιλεῦ, σκῆπτρον,
„ἕτερον δὲ πλῆκτρον.“ ὥς φησι Καπίτων ὁ ἐποποιὸς, Capito, epicus poëta, & historicus.
ἐν τετάρτῳ τῶν Πρὸς Φιλόπαππον Ὑπομνημάτων.
Παρακληθεὶς δὲ ἀκοῦσαί ποτε κιθαρῳδοῦ, μετὰ τὴν
d ἀκρόασιν ἔφη·

„Τῷ δ' ἕτερον μὲν ἔδωκε πατὴρ, ἕτερον δ' ἀνένευσε.“

καί τινος εἰπόντος, τὸ ποῖον; ἔφη· „Κακῶς μὲν κι-
„θαρίζειν ἔδωκεν, ᾄδειν δὲ καλῶς ἀνένευσεν.“ Δοκοῦ
δέ ποτε καταπεσούσης, καὶ ἀποκτεινάσης ἕνα τῶν πο-

1 Deest editis articulus.

dos, aiebat, *agant Elei, Corinthii thymelicos, Athenienſes ſcenicos. Si quis vero in his peccaverit, flagellis caedantur Lacedaemonii*: irridens nempe uſitatas apud hos *flagellationes*; ut Charicles ſcribit libro primo de Ludis Urbanis. Ptolemaeo regi, de arte pulſandi citharam ambitioſius cum eo differenti: *Aliud*, inquit, *o rex, ſceptrum eſt; aliud plectrum*: quod narrat Capito, epicus poëta, quarto libro Commentariorum ad Philopappum. Invitatus aliquando ut audiret quemdam citharoedum, re peracta ait:

Huic alterum adnuit pater, abnuit alterum.

Sciſcitanteque nonnemine, utrum alterum? reſpondit: *Citharam male pulſare dedit; ſcite vero canere abnuit.* Trabs aliquando delapſa occiderat hominem improbum. Ibi

νηρῶν· „Ἄνδρες, ἔφη, δοκῶ, εἰσὶ θεοί· εἰ δὲ μή εἰσι, „δοκοὶ εἰσίν.“ [1]

XLIII. Alia eiusdem Stratonici.

Ἀναγράφει δὲ καὶ τάδε μετὰ τὰ προειρημένα τοῦ Στρατονίκου ἀπομνημονευμάτων οὕτως. Στρατόνικος πρὸς τὸν Χρυσογόνου πατέρα, λέγοντα ὅτι πάν- e τα αὐτῷ ὑπάρχει οἰκεῖα· αὐτὸς μὲν γὰρ ἐργολάβος εἶναι· τῶν δὲ υἱῶν ὁ μὲν διδάξει, ὁ δὲ αὐλήσει. „Προσ- „δεῖ γε, ἔφη ὁ Στρατόνικος, ἔτι ἑνός.“ εἰπόντος δέ, τί- νος; „θεάτρου, ἔφη, οἰκείου.“ Ἑρομένου δέ τινος, διατί [2] τὴν Ἑλλάδα πᾶσαν περινοστεῖ, ἀλλ' οὐκ ἐν μιᾷ πόλει διαμένει· „Παρὰ τῶν Μουσῶν, ἔφη, εἰληφέναι τέλος [3] τοὺς Ἕλληνας ἅπαντας, παρ' ὧν πράττεσθαι μισθὸν ἀμουσίας.“ Τὸν Φάωνα δὲ, ἔφη, αὐλεῖν οὐχ Ἁρμονίαν, ἀλλὰ τὸν Κάδμον. Προσποιουμέ- f νου δὲ εἶναι Φάωνος αὐλητικοῦ, καὶ ἔχειν φέισκοντος

1 δοκῶ εἰσι vulgo. δοκῶ εἶσι corr. Casaub. & sic habet ms. *Ep.* 2 Nude ὅτι edd. cum ms. *A.* τί ὅτι ms. *Ep.* Satis fuerat τί absque ὅτι: sed praestabat διατί. 3 εἰς τέλος corr. Casaub.

tum Stratonicus, *o homines*, inquit, *sunt sane, credo equidem*, (δοκῶ) *Dii: si non sunt, trabes* (δοκοὶ) *sunt.*

43. Post praedicta Stratonici acute responsa idem haecce scripto consignavit. Chrysogoni pater dicebat Stratonico, omnia sibi domi abunde esse: ipsum enim redemtorem esse operum, filiorum autem alterum doc-turum, alterum tibia canturum. *Unum adhuc*, ait ille, *tibi deest.* Et quodnam illud? quaerit alter. *Domesticum theatrum;* respondit Stratonicus. Idem interrogatus, cur universam Graeciam obiret, nec unâ in civitate maneret? *Quoniam*, inquit, *a Musis vectigal accepi Graecos cunctos, ut ab eis mercedem exigam ipsorum imperitiae.* Idem, *Phaonem*, dicebat, *tibiâ canere non harmoniam, sed Cadmum.* Cumque Phaon miram tibiâ canendi peritiam prae se ferret, seque chorum Megaris habere dictitaret:

Μεγαροῖ χορόν· „Ληρεῖς, ἔφη· ἐκεῖ μὲν γὰρ οὐκ „ἔχεις, ἀλλ' ἔχῃ." Μάλιστα δὲ θαυμάζειν, ἔφη, τὴν τοῦ σοφιστοῦ Σατύρου μητέρα, ὅτι, ὃν οὐδεμία πόλις ἐνεγκεῖν οἵα τε δέκα ἡμέρας, ἐκείνη δέκα μῆνας ἤνεγκε. πυνθανόμενος δὲ ἐν Ἰλίῳ ἐπιδημεῖν αὐτὸν ἐν τοῖς a Ἰλιείοις· „Ἀεὶ, ἔφησεν, Ἰλίῳ κακά." Μιννακοῦ [1] δὲ αὐτῷ περὶ μουσικῆς διαμφισβητοῦντος· „Οὐ προσέχειν αὐτῷ, ἔφη, ὅτι ἀνώτερον τοῦ σφυροῦ λέγει." — „Τὸν δὲ φαῦλον ἰατρὸν ἀπαυθημερίζειν, ἔφη, ποιεῖν εἰς ᾅδου τοὺς θεραπευομένους." Ἀπαντήσας δέ τινι τῶν γνωρίμων, ὡς ἴδεν ἐσπογγισμένα τὰ ὑποδήματα καλῶς, συνηχθέσθη [2] ὡς πράττοντι κακῶς· νομίζων „οὐκ ἂν οὕτως ἐσπογγίσθαι καλῶς, εἰ μὴ αὐτὸς ἐσπόγγισεν." Ἐν Τειχιοῦντι δὲ τῆς Μιλήτου μιγάδων οἰκούντων, ὡς b ἑώρα πάντας τοὺς τάφους ξενικοὺς ὄντας· „Ἀπίωμεν, ἔφη, παῖ. ἐνταῦθα γὰρ οἱ ξένοι ἐοίκασιν ἀποθνῄσκειν,

1 Rectius fortaſſe Μυνάκου. 2 συνήσθη ms. *A.* οὐ συνήσθη ms. *Ep.*

Nugaris, inquit; *nec enim habes ibi, ſed haberis.* Satyri ſophiſtae matrem magnopere ſe admirari aiebat; quod, *quem nulla civitas decem dies ferre poſſit, eumdem illa decem geſtaſſet menſes.* Quem ubi audivit, quum ludi Ilienſes celebrarentur, Ilium veniſſe: *Semper*, ait, *Ilio mala!* Minnaco (*ſive* Mynaco) de Muſica cum eo diſceptanti, *Animum ei ſe non advertere*, ait, *quoniam ſupra pedis malleolum diſputaret.* — *Malum medicum*, dicebat, *eodem die ad inferos mittere hos quos curaret.* Obvius factus cuidam ex familiaribus, cum videret calceos eius ſpongia belle deterſos, vicem eius doluit quaſi miſeri; *exiſtimare ſe*, dicens, *non tam diligenter deterſos eum habiturum, niſi ipſe deterſiſſet.* Tichiunte, in finibus Mileſiorum, habitabant homines e variis gentibus mixti: cum igitur monumenta omnia ſepulcralia videret eſſe peregrinorum hominum; *Abeamus*, inquit, *puer: hic enim peregrini videntur mori, civium vero*

τῶν δ' ἀστῶν οὐδείς. " Ζήθου δὲ τοῦ κιθαριστοῦ διεξιόντος περὶ μουσικῆς· „Μονῳ δὴ οὐκ, ἔφη, προσήκειν περὶ μουσικῆς λαλεῖν· ὃς γε τὸ ἀμουσότατον τῶν ὀνομάτων εἴλου, εἰ σεαυτὸν ἀντ' Ἀμφίονος Ζῆθον καλεῖς." Μακεδόνα δέ τινα κιθαρίζειν διδάσκων, ἐκπικρανθεὶς ἐπὶ τῷ μηδὲν αὐτὸν ποιεῖν τῶν δεόντων· „Εἰς Μακεδονίαν!" ἔφη.

XLIV. Stratonici apophthegmata.

Πρὸς βαλανείῳ ψυχρῷ καὶ Φαύλῳ κεκοσμημένον ἰδὼν ἡρῷον λαμπρῶς, ὡς ἐξῆλθε λελουμένος κακῶς· c „Οὐ θαυμάζω, ἔφη, ὅτι πολλοὶ ἀνάκεινται πίνακες. ἕκαστον γὰρ τῶν λουομένων, ὡς σωθέντα, ἀνατιθέναι." — „Ἐν Αἴνῳ δέ, ἔφη, τοὺς μὲν ὀκτὼ μῆνας εἶναι ψύχος, τοὺς δὲ τέτταρας χειμῶνα." — „Τοὺς Ποντικοὺς ἐκ τοῦ πολλοῦ ἥκειν πόντου·" ὥσπερ ἐκ τοῦ ἐλέθρου. Τοὺς δὲ Ῥοδίους ἐκάλει λευκοὺς Κυρηναίους, καὶ [1] μνηστήρων πόλιν· καὶ τὴν δ' Ἡράκλειαν, ἀνδροκόρινθον· καὶ τὸ Βυζάντιον, μασχάλην τῆς Ἑλλάδος·

1 καὶ τὴν Ῥόδον, *μνηστ. πολ.* corrigit Caſ.

nemo. Zethum citharistam audiens de musica differentem, *Uni illi*, inquit, *minime convenire, ut de Musica differat, qui nomen a Musis omnino alieniſſimum ſibi delegiſſet, & Zethum ſe pro Amphione nominaſſet.* Macedonem quemdam quum doceret citharam pulsare, indignatus quod nihil recte faceret, *Ad Macedonas*, inquit, *abi!*

44. Prope malum balneum frigidumque cum fanum videret ſplendide exornatum; poſtquam balneo male lotus egreſſus eſſet, *Nil mirum*, inquit, *multas hic dedicatas eſſe tabulas: quisquis enim hic lavit, is, quod ſalvus exiiſſet, tabulam conſecravit.* Idem, *In Aeno oppido*, aiebat, *octo menſes gelu eſt; quatuor reliquos hyems. Ponticos*, aiebat, *e multo ponto, velut e quodam exitio, advenire* (*in Graeciam.*) *Rhodios* adpellabat *albos Cyrenaeos, & procorum civitatem: Heracleam vero, Androcorinthum: Byzantium, axillam Graeciae:*

d τοὺς δὲ Λευκαδίους, ἑώλους Κορινθίους· τοὺς δὲ Ἀμβρακιώτας, μεμβρακιώτας. Ἐκ τῆς δ' Ἡρακλείας ὡς ἐξῄει τὰς πύλας, καὶ περιεσκόπει, ἐρομένου τινὸς τί περισκοπεῖ; [1] „Αἰσχύνεσθαι, ἔφη, μὴ ὀφθῇ, ὥσπερ ἐκ πορνείου ἐξιών." Ἰδὼν δ' ἐν τῷ κύφωνι δεδεμένους δύω· „Ὡς μικροπολιτικὸν, ἔφη, τὸ μὴ δύνασθαι συμπληρῶσαι." Πρὸς δὲ ἁρμονικόν τινα, κηπουρὸν ὄντα πρότερον, ἀμφισβητοῦντ' αὐτῷ περὶ ἁρμονίας, ἔφη·

Ἄιδοι τὶς, [2] ἣν ἕκαστος εἰδείη τέχνην.

e Ἐν Μαρωνείᾳ δὲ συμπίνων τισίν· „Ἐθέλειν, ἔφη, γνῶναι κατὰ τίνα τόπον ἐστὶ τῆς πόλεως, ἐὰν κατακαλύψαντες ἄγωσιν. εἶθ' ὡς ἦγον, καὶ ἠρώτων· „Κατὰ τὸ καπηλεῖον," ἔφη. ὅτι καπηλεῖα ἐδόκει εἶναι ἡ Μαρώνεια. Τῷ δὲ Τηλεφάνει, [3] ἐπεὶ ἀναφυσᾶν ἤρχετο, παρακατακείμενος· „Ἄνω, [4] ἔφη, ὡς οἱ ἐρυγγά-

1 περισκοπεῖς edd. 2 Ἄρδοι τις coni. Coray. 3 Τὸν δὲ Τηλεφάνη edd. Τὸν δὲ Τηλεφάνην ms. *A*. 4 Ignorant Ἄνω edd.

Leucadios, rancidos Corinthios; Ambraciotas, membraciotas. Heracleae portas egressus, cum circumcirca obtueretur, interroganti cuidam *quid circumspiceret? Pudet* inquit, *si quis me viderit, tamquam e lupanari egredientem.* Duos homines in catasta & collari vinctos conspicatus, *Quam hoc est*, inquit, *exiguae civitatis ingenio dignum, non posse complere!* Homini cuidam, qui cum olitor antea fuisset, musicam nunc profitebatur, de arte harmonica secum disputanti, ait:

Quam artem didicit, eam quisque canat!

Maroneae potans cum nonnullis, dicebat, *Si tectis oculis per urbem duceretur, numquam se, quo loco urbis esset, ignoraturum.* Dein cum illi eum circumducentes interrogarent, ubi esset? *Ad cauponam*, inquit. Nempe *nil nisi cauponam esse Maroneam* censebat. Telephani adcumbens, cum tibiam ille inciperet inflare, *Sursum*; ait, *tamquam*

νοντες." Τοῦ δὲ βαλανέως ἐν Καρδίᾳ ῥύμμα γῆν μοχθηρὰν καὶ ὕδωρ ἁλμυρὸν παρέχοντος· „Πολιορκεῖσθαι, ἔφη, κατὰ γῆν καὶ κατὰ θάλατταν."

XLV. Stratonici apophthegmata.

Νικήσας δ' ἐν Σικυῶνι τοὺς ἀνταγωνιστὰς, ἀνέθηκεν εἰς τὸ Ἀσκληπεῖον τρόπαιον, ἐπιγράψας, f ΣΤΡΑΤΟΝΙΚΟΣ ΑΠΟ ΤΩΝ ΚΑΚΩΣ ΚΙΘΑΡΙΖΟΝΤΩΝ. Ἄισαντος δέ τινος, ἤρετο τὸ μέλος.[1] εἰποντος δὲ, ὅτι Καρκίνου· „Πολύ γε μᾶλλον, ἔφη, ἢ ἀνθρώπου." — „Ἐν Μαρωνείᾳ δὲ, ἔφη, οὐ γίνεσθαι ἔαρ, ἀλλὰ ἀλέαν." Ἐν Φασηλίδι δὲ πρὸς τὸν παῖδα διαμφισβητοῦντος τοῦ βαλανέως περὶ τοῦ ἀργυρίου· (ἦν γὰρ νόμος, πλείονος λούειν τοὺς ξένους·) „Ὦ μιαρὲ, ἔφη, παῖ, παρὰ χαλκοῦν με μικροῦ Φα- a σηλίτην ἐποίησας." Πρὸς δὲ τὸν ἐπαινοῦντα ἵνα λάβῃ τι „Αὐτὸς, ἔφη, μείζων εἶναι πτωχός." Ἐν μικρᾷ δὲ πόλει διδάσκων, ἔφη· Αὕτη οὐ πόλις ἐστὶν,[2] ἀλλὰ

1 Forſ. τίνος τὸ μέλος; 2 Deeſt ἐστὶν edd. & ms. *Ep.*

ruſtantes! Balnearor Cardiae quum detergendo corpori terram inutilem & ſalſam aquam exhiberet; & *mari & terra oppugnari ſe*, dixit.

45. Sicyone quum viciſſet artis aemulos, tropaeum ſtatuit in Aeſculapii fano, hac inſcriptione: STRATONICUS DE MALE PULSANTIBUS CITHARAM. Cum cantaſſet aliquis, quaeſivit ex eo cuius eſſet carmen. Qui quum, *Carcini*, dixiſſet; *Recte*, inquit: *multo quidem magis, quam hominis. Maroneae non eſſe ver*, aiebat; *ſed teporem.* Phaſelide, cum famulo eius rixante balneatore de mercede; (uſu quippe receptum erat, ut maius pretium exigeretur a peregrinis ibi lavantibus:) *O ſceleſte*, inquit, *puer: ob aeneum nummum propemodum Phaſeliten me feciſti.* Cuidam ipſum laudanti ut nonnihil muneris auferret, *maiorem ſe ipſum mendicum eſſe*, dixit. In exiguo oppidulo cum doceret: *Hic locus*, inquit, *non πόλις eſt, ſed*

μόλις." Ἐν Πέλλῃ δὲ πρὸς φρέαρ προσελθὼν, ἠρώτησεν, εἰ πότιμον ἐστίν. εἰπόντων δὲ τῶν ἰμώντων, ἡμεῖς γε τοῦτο πίνομεν· „Οὐκ ἄρ', ἔφη, πότιμον ἐστίν." ἐτύγχανον δὲ οἱ ἄνθρωποι χλωροὶ ὄντες. Ἐπακούσας δὲ τῆς Ὠδῖνος τῆς Τιμοθέου· „Εἰ δ' ἐργολάβον, ἔφη, ἔτικτε, καὶ μὴ θεὸν, ποίας ἂν ἠφίει φωνάς;" Πολυΐδου δὲ σεμνυνομένου, ὡς ἐνίκησε Τιμόθεον ὁ μαθητὴς αὐτοῦ Φιλωτᾶς· „Θαυμάζειν, ἔφη, εἰ ἀγνοεῖς, [1] ὅτι αὐτὸς μὲν ψηφίσματα ποιεῖ, Τιμόθεος δὲ νόμους." Πρὸς Ἄρειον δὲ τὸν ψάλτην, ὀχλοῦντά τι αὐτόν· „Ψάλλ' ἐς κόρακας" ἔφη. Ἐν Σικυῶνι δὲ πρὸς κακοδέψην γεγενημένον, ἐπεὶ ἐλοιδορεῖτό τι αὐτῷ· „Κακόδαιμον κακόδαιμον" ἔφη. Τοὺς δὲ Ῥοδίους αὐτὸς Στρατόνικος σπαταλῶνας καὶ θερμοπότας θεωρῶν, ἔφη· „Αὐτοῦ λευκοὺς εἶναι Κυρηναίους." καὶ αὐτὴν δὲ τὴν Ῥόδον ἐκάλει „μνηστήρων πόλιν." χρώματι μὲν

1 Aut ἀγνοεῖ malles, aut θαυμάζω.

μόλις. Pellae ad puteum accedens, *esset-ne potu salubris aqua* scisitatus est. Responderunt qui hauriebant, *se quidem illam bibere.* Tum ille: *Non est ergo potabilis.* Erant enim lurida facie homines. Cum Timothei carmen cantantem audivisset de Semele Bacchum parturiente: *Atqui, si opificem*, inquit, *peperisset, non Deum; quales voces editura erat?* Gloriante Polyida, quod Philotas discipulus ipsius Timotheum cantu superasset; *Mirari se*, ait, *quod ignoraret ille, ipsum quidem decreta facere, Timotheum vero* (νόμους) *leges.* Areo cantori, cum ei molestus esset, *Ad corvos canta!* ait. Sicyone coriario cuidam conviciis ipsum lacessenti, ait: *κακόδαιμον κακόδαιμον!* (*o miser coriarie!*) Rhodios Stratonicus videns deliciis exsolutos & calidum bibentes; *Ibi albos*, ait, *esse Cyrenaeos:* ipsam vero Rhodum, *procorum civitatem* adpellavit. Nempe, quod ad lu-

εἰς ἀσωτίαν [1] διαλλάττειν ἐκείνων ἡγούμενος αὐτούς· c
ὁμοιότητι δ' εἰς καταφέρειαν ἡδονῆς, τὴν πόλιν μνηστή-
ρων εἰκάζων. [2]

XLVI. Stratonici inventa & mors.

Ζηλωτὴς δὲ τῶν εὐτραπέλων λόγων τούτων ἐγέ-
νετο ὁ Στρατόνικος Σιμωνίδου τοῦ ποιητοῦ, ὡς φησιν
Ἔφορος ἐν δευτέρῳ Περὶ Εὑρημάτων, Σάσκων καὶ Φι-
λόξενον τὸν Κυθήριον περὶ τὰ ὅμοια ἐσπουδακέναι. Φαι-
νίας [3] δὲ ὁ Περιπατητικὸς, ἐν δευτέρῳ Περὶ Ποιητῶν·
„ Στρατόνικος, φησὶν, ὁ Ἀθηναῖος δοκεῖ τὴν πολυχορ-
δίαν εἰς τὴν ψιλὴν κιθάρισιν πρῶτος εἰσενεγκεῖν, καὶ
πρῶτος μαθητὰς τῶν ἁρμονικῶν [4] ἔλαβε, καὶ διά- d
γραμμα συνεστήσατο. ἦν δὲ καὶ ἐν τῷ γελοίῳ οὐκ
ἀπίθανος.“ Φησὶ δὲ, καὶ τελευτῆσαι αὐτὸν διὰ τὴν ἐν
τῷ γελοίῳ παῤῥησίαν ὑπὸ Νικοκλέους τοῦ Κυπρίων

1 Corrigit Casaub. χράματι μόνον, εἰς ἀσωτίαν δὲ οὐδὲν διαλλ.
2 μνηστήρων εἰκάζων βίω. coniectavit Casaub. 3 Φανίας edd.
4 ἁρμενικῶν ms. *A.* ἁρμονιῶν edd. Caret ms. *Ep.*

xuriam pertinet, nonnisi colore a Cyrenaeis differre Rhodios censebat: ob similem vero ad voluptates proclivitatem, cum procorum civitate Rhodum conferebat.

46. Fuerat autem *Stratonicus* in his facete dictis imitator *Simonidis* poëtae, ut scribit Ephorus secundo libro de Inventionibus; ubi *Philoxenum* etiam *Cytherium* eidem generi, ait, studuisse. Phaenias vero Peripateticus, secundo libro de Poëtis, de eodem Stratonico haec scribit: »Stratonicus Athenienſis primum perhibetur in nuda citharae pulsatione instituisse ut plures simul chordae pulsarentur, primusque concentus musicos docuisse, & tabulam musicam descripsisse. Erat vero etiam in ridicule dictis non absurdus.« Scribitque idem auctor, interfectum esse Stratonicum ob suam in dicendo libertatem a Nicocle Cypriorum rege, vene-

βασιλέως, Φάρμακον πιόντα, διὰ τὸ σκώπτειν αὐτοῦ τοὺς υἱούς.

XLVII. Mirum, unde sua hauserit Aristoteles.

Τοῦ δ' Ἀριστοτέλους τεθαύμακα, ὃν πολυθρύλλητον πεποιήκασιν οἱ σοφοὶ οὗτοι, καλέ μου Δημόκριτε, (καὶ εἰ τῶν λόγων [1] αὐτοῦ πρεσβεύεις, ὡς καὶ τῶν ἄλλων φιλοσόφων τε καὶ ῥητόρων) τῆς ἀκριβείας, e πότε [2] μαθὼν, ἢ παρὰ τίνος ἀνελθόντος ἐκ τοῦ βυθοῦ Πρωτέως ἢ Νηρέως, τί ποιοῦσιν οἱ ἰχθύες, ἢ πῶς κοιμῶνται, ἢ πῶς διαιτῶνται. τοιαῦτα γὰρ συνέγραψεν, ὡς εἶναι κατὰ τὸν κωμῳδιοποιὸν „Θαύματα μωροῖς." Φησὶ γὰρ, ὅτι κήρυκες μὲν, καὶ πάντα τὰ ὀστρακόδερμα, ἀνόχευτον αὐτῶν ἐστι τὸ γένος· καὶ, ὅτι ἡ πορφύρα, καὶ ὁ κῆρυξ, μακρόβια. ζῆν γὰρ τὴν πορφύραν ἔτη ἓξ, πόθεν αὐτῷ εἰδέναι; καὶ, ὅτι ἐπὶ πλεῖστον χρόνον ἐν ὀχείᾳ γίγνεται ἡ ἔχιδνα· καὶ, ὅτι μέγιστόν

1 τοὺς λόγους utique videtur legendum. 2 πόθεν aut πῶς malles.

num bibere coactum, quod in filios eius scommata iactitasset.

47. *Aristotelem* vero ego demiror, quem hi sapientes, mi praeclare Democrite, constanter in ore habuerunt; (cuius quidem & tu scripta colis, sicut & aliorum philosophorum oratorumque) illius igitur miror diligentiam, velimque scire, quando, aut a quo vel Proteo vel Nereo ex imo mari adscendente didicerit, quid agant pisces, quo pacto dormiant, quo victu utantur. Talia enim ille scripsit, quae sunt, ut ait comicus poëta, *miracula stultis*. Nam, ut hoc utar, buccina & universum testaceorum genus oriri absque coitu, tradit: longam esse purpurae & buccino vitam; vivere enim purpuram annos sex: quod unde, quaeso, ille cognovit? quemadmodum & ista, plurimum temporis in coitu persistere viperam; aut, maximum trium esse palumbum,

ἐστιν ἡ Φάττα, δεύτερον δὲ ἡ οἰνὰς, ἐλάχιστον δὲ ἡ f
τρυγών. πόθεν δ', ὅτι ὁ μὲν ἄρρην ἵππος ζῇ ἔτη πέντε
καὶ τριάκοντα, ἡ δὲ θήλεια πλείω τῶν τεσσαράκον-
τα; βιῶναι [1] φήσας τινὰ καὶ ἑβδομήκοντα πέντε.
Ἱστορεῖ δὲ, ὅτι καὶ ἐκ τῆς τῶν Θειρῶν ὀχείας αἱ κό-
νιδες γεννῶνται, καὶ ὅτι ἐκ τοῦ σκώληκος μεταβάλ-
λοντος γίνεται κάμπη, ἐξ ἧς βομβυλιὸς, ἀφ' οὗ ὁ
νεκύδαλλος [2] ὀνομαζόμενος. Ἀλλὰ μὴν καὶ τὰς με-
λίσσας βιοῦν φησιν μέχρι ἐτῶν ἓξ, τινὰς δὲ [3] καὶ
ἑπτά. οὐκ ὤφθαι δὲ, φησὶν, οὔτε μέλισσαν, οὔτε κη-
φῆνα ὀχεύοντας, ὅθεν οὐκ εἶναι διϊδεῖν πότερα αὐτῶν a
ἄρρενα ἢ θήλεα. [4] Πόθεν δὲ, ὅτι οἱ ἄνθρωποι ἧσσονες
μελισσῶν· ἀεὶ γὰρ αὗται τὴν ἰσότητα τοῦ βίου τηροῦ-
σιν, οὐ μεταβαλλόμεναι, ἀλλ' ἀγείρουσαι, καὶ ἀδι-
δάκτως ποιοῦσαι· οἱ δ' ἄνθρωποι ἧσσονες μελισσῶν,
καὶ πλήρεις οἰήσεως, ὡς ἐκεῖναι μέλιτος· πόθεν διετή-

1 βιῶσαι edd. 2 νεκύδαλος edd. 3 τινὰ δὲ edd. 4 θήλεια edd.

minorem vinaginem, minimam turturem? Unde vero illi compertum, equum marem annos vivere triginta quinque, foeminam vero amplius quadraginta? fuisse etiam aliquam, ait, quae septuagesimum quintum attigerit. Narrat idem, ex pediculorum coitu generari lendes; & e mutato verme erucam, ex hac bombylium, tum ex hoc rursus eum qui necydallus vocatur. Porro apes, ait, vivere ad sex annos, nonnullas etiam septem. Apes vero aut vespas numquam visas esse coëuntes: quare nec discerni, quaenam earum sint mares, quae foeminae. Unde vero, quod homines inferiores sint apibus; ut quae vitae perpetuam aequabilitatem absque mutatione servent, perpetuo mel colligentes, idque facientes a nullo edoctae magistro; quibus tanto inferiores sint homines, quod sint opinatione referti, sicut illae melle; unde ista observavit? In libro vero de

ρησεν; Ἐν δὲ τῷ Περὶ Μακροβιότητός φησιν, ὅτι ὦπταί τις μυῖα ἔτη ἑξ ἢ ἑπτὰ ζήσασα. τίς γὰρ τούτων ἡ ἀπόδειξις;

XLVIII. Aristotelis observata.

Ποῦ δὲ εἶδεν ἐκ κέρατος ἐλάφου κισσὸν ἀναφῦντα; Γλαῦκες δέ, φησὶ, καὶ κόρακες [1] ἡμέρας ἀδυνατοῦσι b βλέπειν· διὸ νύκτωρ τὴν τροφὴν ἑαυτοῖς θηρεύουσιν· καὶ οὐ πᾶσαν νύκτα, ἀλλὰ τὴν [2] ἀρχέσπερον. Καὶ τὰς ἰδέας δὲ τῶν ὀφθαλμῶν αὐτῶν οὐκ ἐμφερεῖς εἶναι. τοῖς μὲν γὰρ γλαυκαὶ, τοῖς δὲ μέλαιναι, τοῖς δὲ χαροποί. [3] Ἀνθρώποις δ' ὅτι παντοῖος ὁ ὀφθαλμὸς, ἠθῶν τε διαφορὰς εἶναι περὶ τοὺς ὀφθαλμοὺς λέγει. τοὺς μὲν γὰρ αἰγωποὺς τῶν ἀνθρώπων, πρὸς ὀξύτητα μὲν ὄψεως εὖ πεφυκέναι, τὰ δ' ἤθη βελτίστους εἶναι. καὶ τῶν ἄλλων τοὺς μὲν ἐκτὸς ἔχειν τοὺς ὀφθαλμοὺς, τοὺς δὲ c ἐντὸς, ἄλλους δὲ μέσως. καὶ τοὺς μὲν ἐντὸς, [4] ὀξυωπεστάτους εἶναι· τοὺς δὲ ἐκτὸς, κακοηθεστάτους· οἱ δὲ

1 Immo νυκτικόρακες. 2 τὸν ed. Caſ. 3 χαροποὶ edd. & ms. *Ep.* 4 Carent ἐντὸς edd.

Longaevitate ait, viſam eſſe muſcam, quae ſex aut ſeptem vixerit annos: quo vero documento id probavit?

48. Ubi porro vidit e cervi cornu enatam hederam? Noctuis vero & nycticoracibus, ait, interdiu hebetes eſſe oculos, ac propterea noctu ſibi quaerere cibum, non quidem totâ, ſed ineunte veſperâ. Oculorum vero ipſorum diſſimiles eſſe ſpecies: aliis enim animantibus eſſe glaucos oculos, aliis nigros, aliis caeſios. Hominibus vero multifarios eſſe oculos; & in illis morum ingeniique certa ineſſe indicia. Quibus enim hominibus caprini ſint oculi, iis acutum naturâ viſum eſſe, moresque probiſſimos. Caeterum aliis extrorſum prominere oculos, aliis introrſum condi, aliis medio ſitu collocari: & illos quidem, quibus introrſum conduntur, eſſe perſpicaciſſimos; quibus eminent, eos peſſimo eſſe inge-

μέσως, φησὶν, ἔχοντες, ἐπιεικεῖς. εἶναι δέ τινας καὶ σκαρδαμυκτικοὺς, τοὺς δ' ἀτενεῖς, τοὺς δὲ μέσους· [1] ἀναιδεῖς δ' εἶναι τοὺς σκαρδαμυκτικοὺς, ἀβεβαίους δ' εἶναι τοὺς ἀτενεῖς· [2] τοὺς δὲ μέσους, βελτίστων ἠθῶν. Μονον τε ἄνθρωπον τῶν ζώων τὴν καρδίαν ἔχειν [3] ἐν τοῖς ἀριστεροῖς μέρεσι, τὰ δ' ἄλλα ζῶα ἐν τῷ μέσῳ. Καὶ τοὺς ἄρρενας τῶν θηλειῶν πλείονας ὀδόντας ἔχειν. τετηρῆσθαι δέ φησι τοῦτο καὶ ἐπὶ προβάτου, καὶ ἐπὶ συὸς, καὶ ἐπὶ αἰγός. Τῶν δὲ ἰχθύων οὐδένα γενᾶσθαι ὄρχεις ἔχοντα. μαστοὺς δὲ οὔτ' ἰχθὺν ἔχειν, οὔτε ὄρνιθας. d δελφῖνα δὲ μόνον οὐκ ἔχειν χολήν. ἔνιοι δὲ, φησὶν, ἐπὶ μὲν τῷ ἥπατι οὐκ ἔχουσι χολὴν, ἀλλὰ πρὸς τοῖς ἐντέροις, ὡς ἔλλοψ, καὶ συναγρὶς, καὶ σμύραινα, καὶ ξιφίας, καὶ χελιδών. ἡ δὲ ἀμία παρ' ὅλον τὸ ἔντερον παρατεταμένην ἔχει τὴν χολήν· ἱέραξ δὲ καὶ ἴκτινος

1 Desunt sex verba editis. 2 Perperam permutatae sunt sedes vocabulorum ἀναιδεῖς & ἀβεβαίους. 3 Carent ἔχειν edd.

nio; qui medio situ locatos habent, his mitia, ait, ingenia esse. Esse porro aliis nictitantes oculos, aliis rigidos & intentos, aliis medii generis: esseque naturâ impudentes [*immo*, inconstantes] eos, quibus sint oculi nictitantes; inconstantes vero, [*immo*, impudentes vero,] quibus sint rigidi; optimos autem mores polliceri hos, quibus sint oculi generis medii. Porro uni homini ex omnibus animantibus cor situm esse in parte sinistra; caeteris in medio. Maribus plures esse dentes, quam foeminis: animadversum vero id esse, ait, etiam in ove, & in sue, & in caprâ. Piscium nullum generari, qui testiculos habeat. Nulli item pisci mammas esse, sicut nec avibus. Delphinum solum fel non habere. Quidam vero, ait, fel non iecori iunctum habent, sed intestinis; ut ellops, synagris, muraena, xiphias, & hirundo piscis: in amia vero secundum totum intestinum extenditur. Accipiter

πρὸς τῷ ἥπατι καὶ τοῖς ἐντέροις· ὁ δὲ αἰγοκέφαλος πρὸς τῷ ἥπατι καὶ τῇ κοιλίᾳ· περιστερὰ δὲ καὶ ὄρτυξ καὶ χελιδὼν, οἱ μὲν πρὸς τοῖς ἐντέροις, οἱ δὲ πρὸς τῇ κοιλίᾳ.

XLIX. Alia eiusdem obſervata.

e Τὰ δὲ μαλακόδερμα, φησὶ, καὶ τὰ ὀστρακόδερμα, καὶ τὰ σελαχώδη, καὶ τὰ ἔντομα, πλείονα χρόνον ὀχεύειν. δελφῖνα δὲ, καί τινας τῶν ἰχθύων παρακατακλινομένους ὀχεύειν· καὶ εἶναι τῶν μὲν δελφίνων βραδεῖαν τὴν μίξιν, τῶν δὲ ἰχθύων ταχεῖαν. Ἔτι ὁ λέων, φησὶ, στερέμνια ἔχει τὰ ὀστᾶ, καὶ κοπτομένων αὐτῶν, ὥσπερ ἐκ τῶν λίθων, πῦρ ἐκλάμπει. [1] δελφὶς δὲ ὀστᾶ μὲν ἔχει, καὶ οὐκ ἀκανθαν· τὰ δὲ σελάχη, καὶ χόνδρον καὶ ἄκανθαν. Τῶν δὲ ζώων [2] τὰ μὲν εἶναι χερσαῖα, τὰ δὲ ἔνυδρα, τὰ δὲ πυριγενῆ. εἶναι δέ τινα [3]
f καὶ ἐφήμερα καλούμενα, ἃ μίαν μόνον ἡμέραν ζῆν. τὰ δὲ ἀμφίβια εἶναι, ὡς τὸν ποτάμιον ἵππον, καὶ

1 ἐκλάμπειν edd. 2 τῶν δ' ἰχθύων vulgo. 3 δέ τινα ζῶα ed. Caſ.

vero & milvus iecori & inteſtinis iunctum fel habent: aegocephalus (capriceps) iecori & ventri: columba vero & coturnix & hirundo, aliae inteſtinis, aliae ventri.

49. Porro molluſca, ait, & teſtacea, & cartilaginea, & inſecta, plus temporis in coëundo conſumere: delphinum vero, & piſcium nunnullos, adplicantes ſeſe ad foeminam coire: & delphinorum quidem coitum abſolvi tardius, piſcium vero celerius. Porro leo, inquit, oſſa habet ſolida & tam dura, ut, ſi collidantur, veluti colliſis lapidibus, emicet ignis. Delphin oſſa quidem habet, nec vero ſpinam: cartilaginea autem & ſuam habent cartilaginem & ſpinam. Animantium alia eſſe terreſtria, alia aquatilia, alia etiam in igne generari. Eſſe porro nonnulla, quibus vita uno die finitur; quae idcirco *ephemera* dicantur. Eſſe item alia amphibia; ut fluviatilem equum, & crocodilum, & lutram. Omnibus

κροκόδειλον, καὶ ἔνυδριν. Πάντα τε τὰ ζῶα δύο ἡγεμόνας ἔχειν πόδας, καρκῖνον δὲ τέσσαρας. ὅσα δ' ἔναιμά ἐστι, φησὶ, τῶν ζώων, ἢ ἄποδά ἐστιν, ἢ δίποδα, ἢ τετράποδα· ὅσα δὲ τῶν τεσσάρων πλείονας ἔχει πόδας, ἄναιμά ἐστι. διὸ καὶ πάντα τὰ κινούμενα τέτταρσι σημείοις κινεῖται· ἄνθρωπος μὲν δύο ποσὶ καὶ χερσὶ δύο, ὄρνις δὲ δύο ποσὶ καὶ δύο πτέρυξι, ἔγχελυς καὶ γόγγρος δύο πτερυγίοις καὶ δύο καμπαῖς. Ἔτι τῶν ζώων τὰ μὲν ἔχει χεῖρας, ὡς ἄνθρωπος· τὰ δὲ δο- a κεῖ, ὡς πίθηκος. οὐδὲν γὰρ τῶν ἀλόγων ζώων δίδωσι καὶ λαμβάνει, πρὸς ἅπερ αἱ χεῖρες ὄργανα δέδονται. [1] πάλιν τῶν ζώων τὰ μὲν ἔχει ἄρθρα, [2] ὡς ἄνθρωπος, ὄνος, βοῦς· τὰ δὲ ἄναρθρά ἐστιν, οἷον ὄφεις, ὄστρεα, πλεύμονες. [3] Πολλά τε τῶν ζώων οὐ κατὰ πᾶσαν ὥραν φαίνεται, οἷον τὰ φωλεύοντα. καὶ ὅσα δὲ μὴ

1 δίδονται ed. Baſ. & Caſ. 2 τὰ μὲν ἔναρθρα edd. 3 πνεύμονες edd.

animantibus duos pedes veluti duces eſſe ingreſſus, cancro vero quatuor. Quae ſanguine praedita ſunt animantia, eorum aliis, ait, nulli ſunt pedes, aliis duo, aliis quatuor: quotquot vero plures quatuor pedes habent, exſanguia eſſe. Itaque quaecunque moventur, ea quaternis notis moventur: homo, duobus pedibus manibusque duabus; avis, duobus pedibus & alis duabus; anguilla & conger, duabus pinnis dorſualibus & duplici corporis flexu. Porro alia animantia manus habent; ut homo: alia videntur habere; ut ſimia. Nullum enim animantium rationis expertium aut dat aliquid aut accipit; quem in uſum, veluti inſtrumenta, datae ſunt manus. Rurſus animantium alia articulata membra habent; ut homo, aſinus, bos: alia inarticulata ſunt; ut ſerpentes, oſtrea, pulmo marinus. Porro, animalia nonnulla non quovis anni tempore conſpiciuntur; velut ea quae latitant. Atque etiam quae

φωλεύει, οὐκ ἀεὶ φαίνεται· [1] οἷον χελιδόνες, καὶ πελαργοί.

L.

Aristoteles pharmacopola.

Πολλὰ δὲ ἔχων ἔτι λέγειν περὶ ὧν ἐλήρησεν ὁ
b Φαρμακοπώλης, παύομαι· καί τοι εἰδὼς καὶ Ἐπίκουρον τὸν Φιλαληθέστατον ταῦτ' εἰπόντα περὶ αὐτοῦ, ἐν τῇ Περὶ Ἐπιτηδευμάτων Ἐπιστολῇ, ὅτι καταφαγὼν τὰ πατρῷα ἐπὶ στρατείαν ὥρμησε, καὶ ὅτι ἐν ταύτῃ κακῶς πράττων ἐπὶ τὸ Φαρμακοπωλεῖν ἦλθεν· εἶτα ἀναπεπταμένου τοῦ Πλάτωνος περιπάτου, φησὶ, παραβαλὼν ἑαυτὸν προσεκάθισε τοῖς λόγοις, οὐκ ὢν ἀφυής. καὶ κατὰ μικρὸν εἰς τὴν θεωρουμένην ἐξῆλθεν. Οἶδα δὲ, ὅτι ταῦτα μόνος Ἐπίκουρος εἴρηκεν κατ' αὐ-
c τοῦ, οὔτε δ' Εὐβουλίδης, ἀλλ' οὐδὲ Κηφισόδωρος τοιοῦτόν τι ἐτόλμησεν εἰπεῖν κατὰ τοῦ Σταγειρίτου, καί τοι καὶ συγγράμματα ἐκδόντες κατὰ τ' ἀνδρός. Ἐν δὲ τῇ

1 Malles, τούτων ἕνια οὐκ ἀεὶ φαίν.

non latitant, non ſemper adparent; ut hirundines, & ciconiae.

50. Quamquam vero plurima inſuper verba facere poſſem de his quae nugatus eſt ille pharmacopola, finem hîc facio. Caeterum non ſum neſcius, Epicurum etiam, qui veritatis fuit amantiſſimus, haec de eo ſcripſiſſe in Epiſtola De Inſtitutis: abſumto patrimonio eum militiae ſe tradidiſſe, in qua quum parum proſpere res ſuas egiſſet, ad vendenda medicamenta ſe contuliſſe. Deinde poſtquam ſcholam patefecit Plato, ad eam accedens, inquit, adſidebat ſermonibus illius dans operam, ab ingenio minime deſtitutus: atque inde paullatim ad contemplativam philoſophiam progreſſus eſt. Novi vero etiam, unum eſſe Epicurum qui hoc dixerit; neque vero Eubulidem, ac ne Cephiſodorum quidem tale quid dicere auſos eſſe adverſus Stagiritam, quamvis etiam libros adverſum eum ediderint. Novi vero et-

Protagoras, e baiulo philoſophus,

αὐτῇ Ἐπιστολῇ ὁ Ἐπίκουρος, καὶ Πρωταγόραν, φησὶ, τὸν σοφιστὴν ἐκ φορμοφόρου καὶ ξυλοφόρου, πρῶτον μὲν γενέσθαι γραφέα Δημοκρίτου· θαυμασθέντα δ' ὑπ' ἐκείνου ἐπὶ ξύλων τινῶν ἰδίᾳ συνθέσει, ἀπὸ ταύτης τῆς ἀρχῆς ἀναληφθῆναι ὑπ' αὐτοῦ· καὶ διδάσκειν ἐν κώμῃ τινὶ γράμματα, ἀφ' ὧν ἐπὶ τὸ σοφιστεύειν ὁρμῆσαι. Κἀγὼ δὲ, ἄνδρες συνδαιταλεῖς, ἀπὸ τῶν πολ- d λῶν τούτων λόγων τὴν ὁρμὴν ἔχω ἐπὶ τὸ ἤδη γαστρίζεσθαι. Εἰπόντος οὖν τινος, ἔτι παρασκευάζεσθαι τοὺς μαγείρους, διὰ τὴν πολλὴν τῶν λόγων ἑστίασιν, ἵνα μὴ ψυχρὰ παρατιθῶσιν· οὐδεὶς γὰρ ἂν φάγοι ψυχρῶν· ὁ Κύνουλκος ἔφη· Κατὰ τὸν Ἀλέξιδος τοῦ κωμῳδιοποιοῦ Μίλκωνα „Ἐγὼ, φησὶν,

κἂν μὴ [1] παραθῶσι θερμά. Τἀγαθὸν Πλάτων
ἀπανταχοῦ φησ' ἀγαθὸν εἶναι. μανθάνεις;

1 Vulgo ἐγώ φησιν ἐὰν μὴ παραθῶσι θερμὰ τἀγαθὸν Πλάτωνα πανταχοῦ φὴς ἀγαθὸν εἶναι &c. Rectius fortaſſe fuerit, Ἐγὼ φημι· Κἂν μὴ &c.

iam in eàdem epiſtolâ Epicurum ſcripſiſſe, Protagoram ſophiſtam e baiulo lignorum faſciculos geſtante amanuenſem primo factum eſſe Democriti; qui quum eius in disponendis lignis nonnullis ſolertiam eſſet admiratus, ab hoc initio eum apud ſe receperat. Deinde literas eum in vico quodam docuiſſe; & inde ad Sophiſtae profeſſionem eſſe progreſſum. Sed iam & ego, viri Convivae, ab his multis ſermonibus ad explendum ventrem progredi velim. Cui quum diceret aliquis, adhuc curare coquos, ne ob prolixas ſermonum epulas frigida adponantur fercula; neminem enim frigida comeſturum: At, inquit Cynulcus, ut cum Alexidis comici Milcone loquar, *Ego vero* (comedam,)

etiamſi minime calida adponant. Bonum, ut ait
Plato, ubique bonum eſt: audis-ne?

τὸ δ' ἡδὺ πάντως ἡδύ, κἀκεῖ κἀνθάδε.

e Οὐκ ἀχαρίστως [1] δὲ καὶ Σφαῖρον, [2] τὸν συσχολάσαντα μὲν Χρυσίππῳ παρὰ Κλεάνθει, μετάπεμπτον δὲ γενόμενον εἰς Ἀλεξάνδρειαν ὑπὸ τοῦ βασιλέως Πτολεμαίου, κηρίνων ποτὲ ἐν τῷ δείπνῳ παρατεθεισῶν ὀρνίθων, ἐκτείναντα τὰς χεῖρας ἐπισχεθῆναι ὑπὸ τοῦ βασιλέως „ὡς ψεύδει συγκατατιθέμενον." Τὸν δ' εὐστόχως ἀποφήνασθαι, εἰπόντα „Οὐ τούτῳ συγκατατίθεσθαι, ὅτι εἰσὶν ὄρνεις, ἀλλ' ὅτι εὔλογόν ἐστι ταύτας ὄρνεις εἶναι. διαφέρειν δὲ τὴν καταληπτικὴν φαν- f τασίαν, τοῦ εὐλόγου· τὴν μὲν γὰρ ἀδιάψευστον εἶναι, τὸ δ' εὔλογον ἄλλως ἀποβαίνειν." Καὶ ἡμῖν οὖν κατὰ τὴν καταληπτικὴν φαντασίαν καὶ τῶν κηρίνων [3] περιενεχθήτω, ἵνα κἂν κατὰ τὴν ὄψιν πλανᾶσθαι δυνώμεθα, ἵνα μὴ πάντα λαλῶμεν. Sphaerus Stoicus.

a Καὶ μελλόντων ἤδη δειπνεῖν, ἐπισχεῖν ἐκέλευσεν [4] LI.

1 ἀχαρίτως ed. Caſ. 2 φασὶ hic videtur inſerendum. 3 τῶν κηρίναν τι deſiderabam. 4 ἐκέλευεν edd.

Et ſuave perinde ſuave, cum hic, tum illic.

Nec inſcitum eſt quod Sphaerus dixiſſe fertur, Chryſippi apud Cleanthem condiſcipulus, a Ptolemaeo rege Alexandriam arceſſitus. Adpoſitae in coena erant gallinae e cera effictae; ad quas quum ille manum extenderet, inhibitus eſt a rege dicente, *caveret ne falſo adſentiretur.* Cui ille perapte reſpondit: *non ſe adſentiri eſſe has gallinas, ſed eſſe probabile has eſſe gallinas: differre autem viſum comprehenſibile a probabili; illud enim non poſſe eſſe falſum, hoc vero mendax ſaepe eſſe & inane.* Igitur & nobis comprehenſibili viſo vel cerina quaedam circumferantur, quo adſpectus ſaltem nos fallat, ne perpetuo ſermones caedamus.

51. Iamque in eo erant ut coenae darent operam,

Piſcium vires, ex Diphilo.

ὁ Δάφνος, ἐπειπὼν τὸ ἐκ Μαμμακύθου ἢ Αὐρῶν Μεταγένους ἰαμβεῖον·

Ὥσπερ, ἐπειδὰν δειπνῶμέν που,
τότε πλεῖστα λαλοῦμεν ἅπαντες.

κἀγὼ φημι ἐνδεῶς εἰρῆσθαι τὸν περὶ ἰχθύων λόγον, πολλὰ εἰρηκότων καὶ Ἀσκληπιαδῶν παίδων, Φιλοτίμου λέγω, ἐν τοῖς Περὶ Τροφῆς· καὶ Μνησιθέου τοῦ Ἀθηναίου· ἔτι δὲ Διφίλου τοῦ Σιφνίου. Οὗτος γὰρ ἐν τῷ ἐπιγραφομένῳ Περὶ τῶν Προσφερομένων τοῖς νοσοῦσι καὶ τοῖς ὑγιαίνουσι, φησὶν, ὅτι „Τῶν θαλασσίων b ἰχθύων οἱ μὲν πετραῖοί εἰσιν εὔφθαρτοι, εὔχυλοι, σμηκτικοὶ, κοῦφοι, ὀλιγότροφοι· οἱ δὲ πελάγιοι δυσφθαρτότεροι, πολύτροφοι, δυσοικονόμητοι. Καὶ τῶν πετραίων ὁ φυκὴν, [1] καὶ ἡ φυκὶς, ἀπαλώτατα ἰχθύδια ὄντα, ἄβρομα καὶ εὔφθαρτα ἐστίν· [2] ἡ δὲ πέρκη, τούτοις

1 Forſ. ὁ φύκης. 2 Forſ. εὐφθαρτότατα ἐστίν.

cum inhibuit eos Daphnus: qui prolato e Mammacytho ſive Auris Metagenis verſiculo,

Sicuti quum coenamus alicubi,
plurima tunc verba miſcemus:

Et ego, inquit, aio nondum ſatis adcurate nobis diſputatum de piſcibus eſſe, quandoquidem multa ſuperſunt quae de eis differuerunt medicorum filii: Philotimum dico, in libris DE Alimentis, & Mneſitheum Athenienſem, itemque DIPHILUM *Siphnium*. Hic enim in libro qui inſcribitur DE Cibo & Potu Aegrororum & bene Valentium: »Ex marinis piſcibus, ait, ſaxatiles eſſe concoctu faciles, boni ſucci, detergentes, leves, parum nutrientes: pelagios vero concoctu difficiliores, multum nutrientes, digeſtu difficiles. Porro, e ſaxatilibus, inquit, phycen [*ſive*, phyces] & phycis tenerrimi ſunt piſciculi, nec virus omnino reſipiunt, & concoctu inprimis ſunt faciles: perca vero, illorum ſimilis, non-

προσεοικυῖα, κατὰ τόπους ὀλίγῳ διαλλάττει. οἱ δὲ κωβιοὶ ἀναλογοῦσι τῇ πέρκῃ· ὧν οἱ μικροὶ καὶ οἱ λευκοὶ ἀπαλοί εἰσιν, ἄβρομοι, εὔχυλοι, εὔπεπτοι· οἱ δὲ
c χλωροὶ (καλοῦνται δὲ καυλίναι) ξηροί εἰσιν καὶ ὀλιπεῖς. αἱ δὲ χάιναι, ἀπαλόσαρκοι· σκληρότεραι δὲ τῆς πέρκης. Ὁ δὲ σκάρος ἀπαλόσαρκος, ψαθυρὸς, γλυκὺς, κοῦφος, εὔπεπτος, εὐανάδοτος, εὐκοίλιος. τούτων δὲ ὁ πρόσφατος ὕποπτος, ἐπειδὴ τοὺς θαλαττίους λαγὼς θηρεύοντες, σιτοῦνται· διὸ καὶ τὰ ἐντὸς χολέρας ποιητικὰ ἔχει. Ἡ δὲ καλουμένη κηρὶς, ἀπαλόσαρκος, εὐκοίλιος, εὐστόμαχος· ὁ δὲ χυλὸς αὐτῆς παχύνει [1]
d καὶ σμήχει. Ὀρφὸς ἢ ὀρφὼς, εὔχυλος, πολύχυλος, γλίσχρος, δύσφθαρτος, πολύτροφος, οὐρητικός. τὰ δὲ πρὸς τῇ κεφαλῇ αὐτοῦ, γλίσχρα, εὔπεπτα· τὰ δὲ

1 Suspectum verbum doctis. Forſ. πραΰνει: aut παραπλύνει: aut παρυγραίνει.

nihil tamen differt pro locorum diverſitate. Gobii ſimilis naturae ſunt cum percis: quorum minores, iidemque albi, molli ſunt carne, nec virus olent, bonum ſuccum gignunt, & concoquuntur facile: qui ſunt lutei coloris, quos *caulinas* vocant, duram habent carnem minimeque pinguem. Channae mollem carnem habent, duriorem tamen quam perca. Scarus molli carne eſt, friabilis, dulcis, levis, concoctu digeſtuque facilis, per alvum facile deſcendit: verumtamen recens captus ſuſpectus eſt, quia lepores marinos venantur hi piſces, eisque veſcuntur: quare & partes interiores ſubinde choleram morbum gignunt. *Ceris* quae vocatur, molli carne eſt, ventriculo commoda, per alvum facile deſcendens: ſuccus eius vero pinguefacit, [*immo*, emollit, aut eluit,] & detergit. Orphus (graece ὀρφὸς & ὀρφὼς) boni & multi ſucci eſt, glutinoſus, concoctu difficilis, multum alens, urinam ciens. Partes quidem capiti proximae, glutino-

σαρκώδη, δύσπεπτα, βαρύτερα· [1] ἀπαλώτερον δὲ τὸ οὐραῖον· φλέγματος δ' ἐστὶ δραστικὸς ὁ ἰχθῦς, καὶ δύσπεπτος. Αἱ δὲ σφύραιναι τῶν γόγγρων εἰσὶ τροφιμώτεραι. ἡ δὲ λιμνία ἔγχελυς, τῆς θαλασσίας ἐστὶν ἀστομωτέρα [2] καὶ πολυτροφωτέρα. τῷ δὲ μελανούρῳ ἀναλογεῖ ὁ χρύσοφρυς. σκορπίοι δὲ οἱ πελάγιοι καὶ κιρρὸὶ τροφιμώτεροι τῶν τεναγωδῶν τῶν ἐν τοῖς αἰγιαλοῖς τῶν μεγάλων." e

LII. Piſcium vires, ex Diphilo.

„Σπάρος δὲ, δριμὺς, ἀπαλόσαρκος, ἄβρομος, εὐστόμαχος, οὐρητικὸς, οὐκ ἄπεπτος· [3] ταγηνιστὸς δὲ, δύσπεπτος. Τρίγλη, εὐστόμαχος, [4] παραστύφουσα, [5] σκληρόσαρκος, δύσφθαρτος, ἐφεκτικὴ κοιλίας, καὶ μάλιστα ἡ ἐξ ἀνθράκων· ἡ δὲ ἀπὸ τηγάνου, βαρεῖα καὶ δύσπεπτος· κοινῶς δὲ πᾶσα, αἵματος ἐκκριτική.

1 Corrigunt docti: τὰ δὲ πρ. τ. κεφ. αὐτοῦ, γλίσχρα, δύσπεπτα, βαρύτερα· τὰ δὲ σαρκώδη, εὔπεπτα. 2 εὐστομωτέρα ms. *Ep.* id eſt, *ſuavior.* 3 Corrigunt, ὁ μὲν οὖν ἔφθὸς, εὔπεπτος. 4 εὔστομος malles. 5 παραστρύφουσα ms. *A.*

ſae, concoctu faciles: carnoſae vero, difficiles concoctu & graviores; tenerior vero cauda: caeterum pituitam gignit hic piſcis, & concoctu difficilis eſt. Sphyraenae, ſive ſudes, plus nutriunt quam congri. Anguilla paluſtris inſuavior eſt marinâ, & largius nutrit. Melanuro adfinis eſt chryſophrys. Scorpii pelagii & fulvi plus alimenti praebent, quam magni litorales coenoſa loca habitantes. «

52. »Sparus vero acer eſt, molli carne, virus non redolens, ventriculo commodus, urinam ciens, concoctu non difficilis: ſed in ſartagine frixus, concoctu difficilis. Mullus, ventriculo commodus, leviter adſtringens, duriore carne, tardius concoquitur, alvum moratur, praeſertim in pruna aſſus: at in ſartagine frixus, gravior & concoctu difficilior: omnis vero in univerſum vim habet ſanguinem excernendi. Synodon & charax

Συνόδους καὶ χάραξ τοῦ μὲν αὐτοῦ γένους εἰσί· διαφέρει δὲ ὁ χάραξ. Φάγρος γίνεται μὲν καὶ ποτάμιος,
f καλλίων δ' ἐστὶν ὁ θαλάττιος. Καπρίσκος καλεῖται μὲν καὶ μῦς· [1] βρομώδης δ' ἐστὶ καὶ σκληρὸς, κιθάρου δ' ἐστὶ δυσπεπτότερος· δέρμα δὲ ἔχει εὔστομον. ῥαφὶς ἢ βελόνη, καλεῖταί γε καὶ ἀβλεννὴς, δύσπεπτος, ὑγρὸς, εὐκοίλιος. [2] θρίσσα, καὶ τὰ ὁμογενῆ, χαλκὶς καὶ ἐρέτιμος, [3] εὐανάδοτος. Κεστρεὺς δὲ γίνεται μὲν καὶ θαλάσσιος, καὶ λιμναῖος [4] καὶ ποτάμιος.
a οὗτος δὲ, φησὶ, καλεῖται καὶ ὀξύρυγχος· κορακῖνος δ' ὁ ἐκ τοῦ Νείλου. ἥττων δ' ὁ μέλας τοῦ λευκοῦ, καὶ ὁ ἔφθος τοῦ ὀπτοῦ· οὗτος γὰρ καὶ εὐστόμαχος καὶ εὐκοίλιος. Σάλπη, σκληρὰ, ἄστομος. κρείσσων δὲ ἐν Ἀλεξανδρείᾳ, καὶ ἡ ἐν τῷ Φθινοπώρῳ γινομένη· ὑγρόν τι γὰρ καὶ λευκὸν, ἔτι δὲ καὶ ἄβρομον ἀνίησιν. ὁ

1 σῦς corrigunt viri docti. 2 Temere εὔχυλος edd. 3 ἐρίτιμος corrigunt. 4 καὶ ὁ λιμναῖος edd.

eiusdem quidem sunt generis; sed praestat charax. Pagri sunt & fluviatiles; meliores vero marini. Capriscus vocatur etiam *mus*: olet autem virus, & durus est, difficiliorque concoctu quam citharus: caeterum cutem habet ori gratam. Acus, graece ῥάφις & βελόνη dicta eademque ἀβλεννὴς, concoctu difficilis, humida, alvo commoda. Thrissa, (alosa,) & quae sunt eiusdem generis, chalcis & eretimus, digestu faciles. Cestreus partim marinus est, partim lacustris, partim fluviatilis: hic vero, ait, *oxyrynchus* vocatur; qui vero in Nilo capitur, *coracinus*. Est autem niger inferior albo, & elixus inferior asso; hic enim & ventriculo utilis est, & facile per alvum labitur. Salpa dura est, & insuavis: melior autem quae Alexandriae & quae autumno capitur; humidum enim quidpiam, & album, idque non virosum, emittit.

γρύλλος [1] ὅμοιος μέν ἐστιν ἐγχέλει, ἄστομος δέ. ὁ δὲ ἱέραξ, σκληροσαρκότερος μὲν κόκκυγος, τοῖς δ' ἄλλοις ὅμοιος· καὶ ὁ κόραξ ἱέρακος σκληρότερος. οὐρανοσκόπος δέ, καὶ ὁ ἄγνος [2] καλούμενος, ἢ καὶ καλλιώνυμος, βαρεῖς. Βῶξ δὲ ἐφθὸς, εὔπεπτος, εὐανάδοτον ὑγρὸν b ἀνιεὶς, [3] εὐκοίλιος· ὁ δ' ἀπ' ἀνθράκων, γλυκύτερος καὶ ἀπαλώτερος. Βάκχος, εὔχυλος, πολύχυλος, εὔτροφος. τράγος οὐκ εὔχυλος, ἄπεπτος, βρομώδης. Ψῆττα, βούγλωσσοι, [4] εὔτροφοι καὶ ἡδεῖαι. τούτοις ἀναλογεῖ καὶ ὁ ῥόμβος. Γλαυκίσκοι, [5] κέφαλοι, κεστρεῖς, μύξινοι, κολῶνες, [6] ὅμοιοί εἰσι κατὰ τὴν προσφοράν· τοῦ δὲ κεφάλου καταδεέστερός ἐστιν ὁ κεστρεὺς, ἥσσων δὲ ὁ μύξινος, τελευταῖος ὁ κόλων."

LIII. „Θυννὶς δὲ καὶ θύννος βαρεῖς καὶ πολύτροφοι.

1 Temere γρίλλος ed. Casaub. 2 Corrigunt ὁ καὶ ἄγνος καλ. 3 εὐαπόδοτος, ὑγρὸν ἀνιεὶς edd. 4 βούγλωσσος edd. 5 Λευκίσκοι videtur legendum cum Casaub. 6 χελῶνες ed. Cas.

Gryllus anguillae quidem similis est, sed insuavis. Accipiter (*vel milvus*) piscis duriore quidem carne est quam cuculus, caeterum ei similis: corvus vero durior milvo. Uranoscopus, & qui *agnos* vocatur aut etiam *callyonymus*, graves sunt. Boax vero elixus, concoctu digestuque facilis est, humidum emittens facile per alvum descendens: super prunis assus, dulcior & mollior. Bacchus, boni multique succi est, & bene nutrit. Tragus (*hirsus*) nec bonum succum praebet, nec facile concoquitur, & virus olet. Passer & soleae bene nutriunt, & ori suaves sunt. His etiam adfinis est rhombus. Glaucisorum, [*sive*, Leucisorum,] cephalorum, cestreorum (*seu mugilum*,) myxinorum, colonum, in cibo eadem fere ratio est: cephalo tamen cedit cestreus, cestreo inferior myxinus, postremus vero est colon."

53. »Thynnis & thynnus, graves largiterque nutrien-

ὁ δὲ καλούμενος ἀκαρνὰν, γλυκύς ἐστι καὶ παρα- Piſcium
c στύφων, τροφιμος δὲ καὶ εὐέκκριτος. Ἡ δὲ ἀφύη, vires, ex Diphilo.
βαρεῖά ἐστι καὶ δύσπεπτος· ὧν ἡ λευκὴ καλεῖται κω-
βῖτις. καὶ ὁ ἐψητὸς δὲ, τὸ μικρὸν ἰχθύδιον, τοῦ αὐτοῦ
γένους ἐστί. Τῶν δὲ σελαχίων ὁ μὲν βοῦς, πρεώδης· ὁ
δὲ γαλεὸς κρείσσων, ὁ ἀστερίας λεγόμενος· ὁ δὲ ἀλω-
πεκίας, ὅμοιός ἐστι τῇ γεύσει τῷ χερσαίῳ ζώῳ, διὸ
καὶ τοῦ ὀνόματος ἔτυχε. καὶ ἡ βατὶς δὲ εὔστομος, ἡ
δὲ ἀστερία βατὶς ἁπαλωτέρα καὶ εὔχυλος· ὁ δὲ λειό-
βατος, δυσκοιλιώτερος καὶ βρομώδης. Ἡ δὲ νάρκη δύσ-
d πεπτος οὖσα, τὰ μὲν κατὰ τὴν κεφαλὴν ἁπαλά τε
καὶ εὐστόμαχα ἔχει, ἔτι δὲ εὔπεπτα, τὰ δ' ἄλλα
οὔ. κρείττονες δέ εἰσιν αἱ μικραὶ, καὶ μάλιστα αἱ λι-
τῶς ἑψόμεναι. Ἡ δὲ ῥίνη, καὶ αὐτὴ [1] τῶν σελαχίων
οὖσα, εὔπεπτός ἐστι καὶ κούφη· ἡ δὲ μείζων, καὶ τρό-

[1] καὶ αὕτη edd.

tes. Qui vero *acarnan* vocatur, dulcis eſt, & leviter adſtringens; caeterum multum nutrit, & facile egeritur. Apua gravis eſt, & concoctu difficilis: quo de genere quae alba eſt, ea *cobitis* vocatur. Etiamque hepſetus, parvus ille piſciculus, ad idem genus pertinet. E cartilagineis, bos carnoſior; galeus vero melior, is qui *aſterias* (*ſtellatus*) vocatur: alopecias autem guſtum habet vulpis terreſtris, unde & nomen invenit. Et batis (*raia*) ori grata eſt; ſtellata vero raia mollior & boni ſucci: leiobatus autem (*raia laevis*) alvum difficilius permeat, & virus redolet. Torpedo, concoctu quidem difficilis, partes tamen capiti proximas molles habet, & ventriculo commodas, atque etiam concoctu faciles; reliquas vero non item. Meliores ſunt autem quae minores; & praeſertim quae ſimpliciter elixae. Squatina vero, & ipſa ex cartilagineorum genere, facilis concoctu, & levis eſt; quae ſi grandior, uberius etiam nu-

φιμωτέρα. Κοινῶς δὲ πάντα τὰ σελάχια, φυσώδη ἐστὶ, καὶ κρεώδη, καὶ δυσκατέργαστα, πλεοναζόμενά τε τὰς ὄψεις ἀμβλύνει. Ἡ δὲ σηπία καὶ ἑψομένη μὲν ἀπαλὴ καὶ εὔστομος καὶ εὔπεπτος, ἔτι δ' εὐκοίλιος· ὁ δ' ἀπ' αὐτῆς χυλὸς λεπτυντικός ἐστιν αἵματος, καὶ κινητικὸς τῆς δι' αἱμορροΐδων ἐκκρίσεως. Τευθὶς δὲ εὐπεπτοτέρα καὶ τρόφιμος, καὶ μᾶλλον ἡ μικρά· ἡ δὲ ἐφθὴ, σκληροτέρα [1] ἐστὶ, καὶ οὐκ εὔστομος. Ὁ δὲ πώλυψ συνεργεῖ μὲν ἀφροδισίοις, σκληρὸς δέ ἐστι καὶ δύσπεπτος· ὁ δὲ μείζων, τροφιμώτερος. παρυγραίνει δὲ καὶ κοιλίαν ἑψόμενος ἐπὶ πλεῖον, καὶ τὸν στόμαχον ἵστησιν. Ἐμφανίζει δὲ καὶ Ἄλεξις ἐν Παμφίλῃ τοῦ πολύποδος τὸ χρήσιμον, λέγων ὧδε·

Ἐρῶντι δὲ, Κτήσων, [2] τί μᾶλλον συμφέρει
ὧν νῦν φέρων πάρειμι; κήρυκας, κτένας,

1 Decem verba deerant editis. 2 Ἐρᾶν τί δ' ἐκτήσω; edd. id eſt: *Cum ames, quid cibi ergo comparaſti?*

trit. Omnino vero cartilaginei piſces omnes, flatulenti ſunt, & carnoſi, & concoctu digeſtuque difficiliores, & ſatietatem cito adferentes; iidemque, largius ſi comedantur, viſum hebetant. Sepia vero, ubi elixa eſt, mollis fit, & ori grata, & concoctu facilis, atque etiam alvo commoda: ſuccus vero eiusdem attenuat ſanguinem, & purgationem ſanguinis per mariſcas provocat. Loligo vero concoctu facilior eſt, & nutriens, praeſertim ſi parva ſit: cocta vero durior, & ori parum grata. Polypus ad venerem inertes iuvat; eſt autem durus, & concoctionis difficilis. Grandior quidem, magis nutrit: diutius autem ſi elixus fuerit, humectat alvum, & ſtomachum ſiſtit. Declarat vero polypi uſum etiam Alexis in Pamphila, cum ait:

Amanti vero, mi Cteſon, quid magis conducat,
quam quae ego nunc adfero? buccina, pectines,

f βολβοὺς, μέγαν τε πουλύπουν, ἰχθῦς θ' ἁδρούς. [1] Ἡ δὲ πηλαμὺς, [2] πολύτροφος μέν ἐστι, καὶ βαρεῖα, οὐρητικὴ δὲ, καὶ δύσπεπτος· ταριχευθεῖσα δὲ καλλυβίῳ [3] ὁμοίως εὐκοίλιος καὶ λεπτυντική. ἡ δὲ μείζων, συνοδοντὶς καλεῖται. ἀναλογῶν μέντοι ὁ χελιδονίας τῇ πηλαμύδι, σκληρότερός ἐστιν. ἡ δὲ χελιδὼν, ἡ τῷ πουλύπῳ [4] ἐοικυῖα, ἔχει τὸ ἀΦ' αὑτῆς [5] ὑγρὸν εὔχροιαν
a ποιοῦν, καὶ κινοῦν αἷμα. ὁ δὲ ὄρκυνος, [6] βορβορώδης· καὶ ὁ μείζων προσέοικε τῷ χελιδονίᾳ κατὰ τὴν σκληρότητα· τὰ δὲ ὑπογάστρια αὐτοῦ καὶ ἡ κλεὶς, εὔστομα καὶ ἁπαλά. οἱ δὲ κοσταὶ λεγόμενοι, ταριχευθέντες εἰσὶ μέσοι. ξανθίας [7] δ' ἐπὶ ποσὸν βρομώδης ἐστὶ, καὶ ἁπαλώτερος τοῦ ὀρκύνου." Ταῦτα μὲν οὖν ὁ Δίφιλος εἴρηκεν.

LIV. Ὁ δὲ Ἀθηναῖος Μνησίθεος, ἐν τῷ Περὶ Ἐδεστῶν·

1 πολύπουν, ἰχθύας θ' ἁδρούς. edd. 2 πηλαμὶς edd. & paulo poſt πηλαμίδι. 3 καλλιβίῳ edd. χυβίῳ corr. Rond. An καὶ χιβίῳ? 4 πολύπῳ edd. 5 ἀπ' αὐτῆς ms. *Ep.* 6 ὄρχυνος edd. 7 ξιφίας conjectarunt viri docti.

bulbos, polypumque grandem, & piſces maximos.

Pelamys multum nutrit, ventriculo gravis eſt, urinam ciet, aegre concoquitur: ſale vero condita, ſicut callybium, [*ſive*, callicybium?] alvo commoda eſt, & attenuandi vim habet. Maior vero, *ſynodontis* vocatur. Pelamydi adfinis eſt chelidonias, ſed durior. Chelidon vero, (*id eſt*, *hirundo piſcis*) quae polypo ſimilis eſt, hoc habet, ut ſuccus ipſius bonum colorem efficiat, & ſanguinem moveat. Orcynus vero coenum redolet: qui ſi grandior, non minus durus eſt quam chelidonias; abdomen autem eius & clavicula, ori grata & mollia ſunt. Qui vero *coſtae* dicuntur, ii ſale conditi mediam quamdam rationem habent. Xanthias nonnihil virus ſapit, eſt vero mollior orcyno. « Haec igitur DIPHILUS docuit.

54. MNESITHEUS vero *Athenienſis*, in libro DE EDULIIS,

Mneſithei praecepta de Piſcibus.

„Τῶν μειζώνων, φησὶν, ἰχθύων γένος, ὑφ' ὧν μὲν καλεῖσθαι τμητὸν, ὑπ' ἄλλων δὲ πελάγιον· οἷον, χρυσόφρυς καὶ γλαύκους καὶ φάγρους. εἰσὶ δὲ καὶ δυσκατέργαστοι· κατεργασθέντες δὲ πολλαπλασίαν τροφὴν παρέχουσι. Τὸ δὲ τῶν λεπιδωτῶν [1] γένος, οἷον θύννων, σκόμβρων, θυννίδων, γόγγρων, καὶ τῶν τοιούτων, συμβαίνει τούτοις καὶ ἀγελαίοις εἶναι. [2] τὰ μὲν οὖν μήτε καθ' αὑτὰ φαινόμενα, μήτ' ἐν ταῖς ἀγέλαις ἐκφερόμενα, μᾶλλόν ἐστιν εὔπεπτα· οἷον γόγγροι καὶ καρχαρίαι, καὶ τὰ τοιαῦτα. τὰ δὲ ἀγελαῖα γένη τῶν ἰχθύων τούτων, τὴν μὲν ἐδωδὴν ἡδεῖαν ἔχει, (πίονα γὰρ ἐστί·) βαρεῖαν δὲ καὶ δυσκατέργαστον. διὸ καὶ ταριχεύεσθαι δύναται μάλιστα, καὶ ἔστι τῶν ταριχηρῶν βέλτιστα γένη ταῦτα. χρήσιμοι δ' εἰσὶν ὀπτοί· τήκεται γὰρ τὸ πιμελῶδες αὐτῶν. Τὰ δὲ καλούμενα

1 Negationem deſiderabat Gesnerus. 2 Aut omiſſum aut turbatum aliquid h. l. videtur.

ait: »Maiorum piſcium genus ab aliis vocari *ſectile*, ab aliis vero *pelagium*; ut chryſophryes, glaucos, pagros. Sunt autem hi concoctu difficiles; concocti vero, alimentum praebent uberrimum. Squamoſorum piſcium (τῶν λεπιδωτῶν) genus, ut thynnorum, ſcombrorum, thynnidum, congrorum, & ſimilium; habent hi fere hoc, ut ſint gregarii. Caeterum qui neque ſolitarii adparent, nec gregatim proficiſcuntur, hi concoquuntur facilius; ut congri, & carchariae, & horum ſimiles. Gregalia vero genera horum piſcium, grata quidem in cibo ſunt, quippe pinguia; ſed gravant ventriculum, & aegre concoquuntur. Quare & ad ſalſamenta maxime idonea ſunt; optimumque ſalſamenti genus ex his paratur. Sunt vero inprimis utiles aſſi; quia liqueſcit eorum pinguedo. Quae vero ἁρτὰ vocantur genera,

δαρτὰ, τὸ μὲν ὅλον, ἐστὶν ὅσα τραχεῖαν ἔχει τὴν ἐπίφυσιν τοῦ δέρματος, οὐ λεπίσιν, ἀλλ' οἷον ἔχουσιν αἱ βατίδες καὶ ῥῖναι. ταῦτα δὲ πάντα ἐστὶ μὲν εὔθρυπτα, οὐκ εὐώδη δέ· καὶ τροφὰς ἐμποιεῖ τοῖς σώμασιν ὑγράς, ὑπάγει δὲ καὶ τὰς κοιλίας μάλιστα πάντων τῶν ἑψομένων ἰχθύων. τὰ δὲ ὀπτώμενα χείρονα. Τὸ δὲ τῶν μαλακίων γένος, οἷα πολυπόδων τε καὶ σηπιῶν καὶ τῶν τοιούτων, τὴν μὲν σάρκα δύσπεπτον ἔχει· διὸ καὶ d πρὸς ἀφροδισιασμοὺς ἀρμόττουσιν. αὐτοὶ μὲν γάρ εἰσι πνευματώδεις· ὁ δὲ τῶν ἀφροδισιασμῶν καιρὸς πνευματώδους προσδεῖται διαβέσεως. Βελτίω δὲ ταῦτα γίνεται ἑψηθέντα. τὰς γὰρ ὑγρότητας ἔχει πονηράς· ἰδεῖν γοῦν ἐστιν οἷας ἀφίησι πλυνόμενα. ταύτας οὖν ἡ ἕψησις [1] ἐκκαλεῖται τῆς σαρκός. μαλακῆς γὰρ τῆς πυρώσεως, καὶ μεθ' ὑγροῦ διδομένης, οἱονεὶ πλύσις τις αὐτῶν γίνεται. τὰ δ' ὀπτώμενα καταξηραίνει τὰς ὑγρό-

1 Perperam ὄψησις edd.

(quaſi dicas, *excoriabilia*) in univerſum ea ſunt, quae aſperam cutem habent, non ſquamis aſperam, ſed qualis eſt raiae & ſquatinae. Haec vero omnia friabili carne ſunt, ſed odore parum grato; nutrimentumque praebent corporibus humidum, & maxime omnium elixorum piſcium alvum ducunt: aſſa vero, deteriora ſunt. Molluſcorum genus vero, ut polyporum, ſepiarum, & ſimilium, carnem habet concoctu difficilem: quare etiam ad venerem conducunt. Sunt enim ipſi flatulenti: & veneris tempus flatuoſam deſiderat adfectionem. Meliora autem haec fiunt elixa. Habent enim humores pravos: cernere quippe licet quales emittant cum lavantur. Illos igitur e carne elicit elixatio. Lento enim adhibito igne, & adfuſâ aquâ, peragitur eorum veluti quaedam elutio. In aſſis vero ſiccantur humores: quare,

τητας· ἔτι δὲ καὶ τῆς σαρκὸς αὐτῶν φύσει σκληρᾶς οὔσης, κατὰ λόγον οὕτως ἔχει [1] γίγνεσθαι αὐτά." e

LV. Mneſithei praecepta de Piſcibus.

„Ἀφύαι δὲ, καὶ μεμβράδες, καὶ τριχίδες, καὶ τ' ἄλλα ὅσων συγκατεσθίομεν τὰς ἀκάνθας, ταῦτα πάντα τὴν πέψιν φυσώδη ποιεῖ, τὴν δὲ τροφὴν δίδωσιν ὑγράν. τῆς οὖν πέψεως οὐχ ὁμαλιζούσης, ἀλλὰ τῶν μὲν σαρκῶν ἄγαν ταχὺ πεττομένων, [2] τῆς δὲ ἀκάνθης σχολῇ διαλυομένης· (καὶ γὰρ ἅμα αἱ ἀφύαι καθ' αὑτὰς ἀκανθώδεις·) ἐμποδισμὸς αὐτῶν ἑκατέρου γίνεται περὶ τὴν κατεργασίαν, εἶτα φύσαι μὲν ἀπὸ τῆς πέψεως, ὑγρασίαι δὲ ἀπὸ τῆς τροφῆς συμβαίνουσι. βελτίω δ' ἐστὶν ἐψόμενα, τῆς δὲ κοιλίας ἐστὶν ἀνωμάλως ὑπακτικά. Τὰ δὲ καλούμενα πετραῖα, κωβιοὶ, καὶ σκορπίοι, καὶ ψῆτται, καὶ τὰ ὅμοια, τοῖς τε σώμασιν ἡμῶν [3] ξηράν τε δίδωσι τροφὴν, εὔογκα δ' ἐστὶ καὶ τρόφιμα, καὶ πέττεται ταχέως, καὶ οὐκ f

1 δεῖ pro ἔχει desiderabam. 2 πεπτομέναν edd. Et paulo poſt, πέπτεται iidem. 3 Aut corrupta vox ἡμῶν eſt, aut intercidit aliquid.

quum ſuâ etiam naturâ dura ſit caro, magis talem pro portione fieri eam neceſſe eſt. «

55. » Apuae, & membrades, & trichides, & quoscumque alios piſciculos cum ipſis ſpinis comedimus, haec omnia genera concoctionem faciunt flatulentam, nutrimentum autem praebent humidum. Quum igitur concoctio ſit inaequalis, quoniam nimis cito concoquitur caro, ſpina vero aegre diſſoluta conficitur; (etenim apuae etiam per ſe ſpinoſae ſunt;) alterius concoctionem interturbat alterum: unde flatus exiſtunt, & humorum copia ex nutrimento colligitur. Sunt autem meliora haec elixa; alvum vero inaequali ratione ſubducunt. Qui *ſaxatiles* vocantur, gobii, ſcorpii, paſſeres, & horum ſimiles, [ſalubre] corporibus & ſiccum alimentum praebent, ventriculum non gravant, bene nutriunt, cito conco-

ἐγκαταλείπει περιττώματα πολλὰ, πνευμάτων τε οὐκ ἔστι περιποιητικά. Γίνεται δ' εὐπεπτότερον ἅπαν ὄψον, ταῖς σκευασίαις ἁπλῶς ἀρτυθέν· τὰ δὲ πετραῖα καὶ τῇ ἡδονῇ ἁπλῶς σκευασθέντα. Τούτοις δ' ὅμοιόν ἐστι γένος τὸ καλούμενον μαλακόσαρκον, κίχλαι καὶ κόσσυφοι, καὶ τὰ ὅμοια. ἔστι δὲ ὑγρότερα μὲν ταῦτα
a ἐκείνων, πρὸς δὲ τὰς ἀναλήψεις, ἀπόλαυσιν ἔχει πλείω. τῆς μὲν κοιλίας καὶ τῆς οὐρήσεως ὑπακτικώτερα ταῦτ' ἐστὶν ἐκείνων, διὰ τὸ καὶ τὰς σάρκας ὑγροτέρας καὶ πλείους ἔχειν τῶν προειρημένων. χρὴ δὲ ἐὰν μὲν τὴν κοιλίαν βούληταί τις ὑπάγειν, ἕψοντα διδόναι· μετρίως δὲ ἐχούσης, ὀπτηθέντα γίνεται τρόφιμα. πρὸς δὲ τὰς οὐρήσεις, ἀμφοτέρως σκευασθέντα χρήσιμα."

LVI. Mneſitheus de Piſcibus.

„Οἱ δὲ τόποι τῆς θαλάσσης, ὅπου ποταμοὶ καὶ λίμναι συμβάλλουσιν, ἔτι δὲ πελάγη [1] μεγάλα καὶ κόλποι θαλάττης εἰσὶν, ἐνταῦθα μὲν πάντες οἱ ἰχθύες

1 τενάγη corr. Caſaub. *ubi ſunt magnae paludes.*

quuntur, nec multa excrementa relinquunt, nec flatus generant. Fit autem facilius concoctu omne piſcium genus, ſimplici conditura (*ſive*, nude cum aceto) paratum: praeſertim vero ſaxatiles ſimpliciſſimo parati condimento. His ſimile genus eſt illud, quod a *carnis mollitie* nomen habet, quo referuntur turdi piſces, & merulae, hisque ſimiles. Sunt autem hi humidiores ſuperioribus; & ad vires reficiendas plus conferunt nutrimenti. Alvumque etiam & urinam magis, quam illi, cient, hoc ipſo quod carnem humidiorem & copioſiorem habent. Oportet autem, cum volumus alvum ciere, elixos dare: ubi vero moderata alvus eſt, aſſi commode nutriunt. Ad urinam autem ciendam utiles ſunt utrovis modo parati. «

56. »Iis in locis maris, ubi flumina aut ſtagna influunt, aut ubi ſinuoſi ſunt receſſus, in quibus profundum [*ſive?* minus profundum] mare, piſces omnes humidioris

εἰσὶν ὑγρότεροι, καὶ μᾶλλον πίονες ὑπάρχουσι· καὶ b
ἐσθίεσθαι μέν εἰσιν ἡδίους, πρὸς δὲ τὴν πέψιν καὶ τρο-
φὴν γίνονται χείρους. ἐν δὲ τοῖς αἰγιαλοῖς τοῖς κειμέ-
νοις πρὸς τὰ πέλαγη, καὶ λίαν ἀναπεπταμένοις, σκλη-
ροὶ καὶ λεπτοὶ καὶ κυματοπλῆγές [1] εἰσιν οἱ πλείους.
περὶ δὲ τοὺς ἀγχιβαθεῖς, ἐν οἷς μὴ λίαν ἔγκειται με-
γάλα πνεύματα, πρὸς δὲ [2] τούτοις εἴ που καὶ πόλεις [3]
σύνεγγύς εἰσιν, ἐνταῦθα δ' ἔστι τὰ πλεῖστα γένη τῶν
ἰχθύων ὁμαλῶς ἄριστα καὶ πρὸς ἡδονὴν, καὶ πρὸς εὐ-
πεψίαν, [4] καὶ πρὸς τὴν τροφὴν τοῦ σώματος. δύσπε-
πτοι δὲ, καὶ βαρύτατοι τῶν θαλασσίων εἰσὶν, οἱ μετ- c
εκβαίνοντες [5] ἐκ τῆς θαλάσσης εἴς τε ποταμοὺς καὶ
λίμνας· οἷον κεστρεὺς, καὶ συλλήβδην τῶν ἰχθύων ὅσοι
δύνανται βιοτεύειν ἐν ἀμφοτέροις τοῖς ὕδασι. τῶν δὲ τε-
λείως ἐν τοῖς ποταμοῖς καὶ λίμναις βιοτευόντων, ἀμεί-

1 κυματοπληγεῖς edd. cum ms. *A*. 2 δὴ edd. 3 πόλει edd.
4 Tria verba desunt ed. Cas. 5 Temere *μεταβαίνοντες* edd.
Iidem mox *εἰς ποταμοὺς* absque *τε*.

naturae sunt, & magis pingues: suntque etiam in cibo suaviores; sed ad concoctionem & nutritionem deteriores. At in litoribus iuxta vastum mare extensis & latius patentibus, duriores sunt plerique, & tenuiores, fluctuumque percussu macilentiores. In locis vero litori vicinis, quae satis altam habent aquam, nec tamen vehementibus ventis nimis agitantur, ad haec in oppidorum propinquitate, plurima reperiuntur piscium genera, pariter & ad suavitatem in cibo, & ad concoctionis facilitatem, & ad commodam nutritionem praestantium. Difficillimae vero concoctionis & graviſſimi e piscibus marinis ii sunt, qui ex mari in flumina & in lacus transeunt; ut cestreus: & omnino quicumque pisces in utrisque aquis vivere possunt. Ex iis vero qui prorsus & unice in fluminibus aut in lacubus vivunt,

νους εἰσὶν οἱ ποτάμιοι· σῆψις γὰρ ὕδατος τὸ λιμναῖόν ἐστι. καὶ τῶν ποταμίων δὲ αὐτῶν βέλτιστοί εἰσιν οἱ ἐν τοῖς ὀξυτάτοις τῶν ποταμῶν ὄντες, οἵ τε πυροῦντες· [1] οὗτοι γὰρ οὐ γίνονται, ἐὰν μὴ ποταμὸς ὀξὺς ᾖ καὶ ψυχρὸς, διαφέρουσι δὲ τῶν ποταμίων ἰχθύων εὐπεψίᾳ."

d Ταῦτα καὶ παρ' ἡμῶν ἔχετε, ἄνδρες φίλοι, ὀψωνησάντων κατὰ δύναμιν τὴν ἑαυτῶν ὑγιεινῶς. κατὰ γὰρ τὸν Ἀντιφάνους Παράσιτον, LVII.

Ἐγὼ περὶ τὴν ὀψωνίαν μὲν οὐ πάνυ [2]
ἐσπούδακ'· οὐδ' αὖ συνέτεμον [3] λίαν πάνυ,
ὡς ἄν τις ἄλλως ἐξενεχθεῖσιν
ὅπου τοῦ διαλάβοι κραιπάλην Ἑλληνικῶς. [4]

Ἀλλὰ μὴν οὐδὲ οὕτως εἰμὶ φίλιχθυς, ὡς ὁ παρὰ τῷ

1 ὡς οἱ πυροῦντες, malebat Gesn. *truttas* intelligens. οἵ τε ἐπὶ ῥοῦν ἰόντες corr. Casaub. 2 Vulgo πάνυ τι. 3 Corrigunt docti, οὐδ' αὖ συνετά μοι λίαν πάνυ, aut συνετός εἰμι λίαν πάνυ. Mallem, ni postrema vox longius a vulgato abesset, συντεμὼν λίαν νοᾶ. aut, συνετός εἰμι ἐγὼ λίαν. 4 Duos postremos versus sic refingebam:

πῶς ἄν τις ἄλλων, ἐξενεχθεὶς τοῦ πότου
αὐτὸς, διαβάλοι κραιπάλην Ἑλληνικῶς.

meliores sunt qui in fluviis: nam putrescens est aqua palustris. E fluviatilibus porro optimi, qui sunt in velocissimis amnibus, & inprimis pyruntes: hi enim non nisi in rapidis & gelidis fluviis reperiuntur, & omnibus fluviatilibus piscibus facilitate concoctionis praestant. "

57. Haec etiam a nobis habete, amici viri, obsonia conferentibus quoad nobis licuit saluberrima. Nam, quod ait Antiphanis Parasitus:

Non ego obsonandi in arte admodum
laboravi: &, ut praecise dicam, nescio,
quo pacto, qui ipse e compotatione elatus fuerit,
aliorum culpare crapulam Graeco more queat.

Sed nec ita sum piscium amans, ut ille apud eumdem

αὐτῷ ποιητῇ ἐν Βουταλίωνι· ὅπερ δρᾶμα τῶν Ἀγροίκων ἐστὶν ἐνὸς διασκευή. φησὶ γάρ·

Helenae & Hecatae cibi.

Α. Καὶ μὴν ἑστιάσω τήμερον ὑμᾶς ἐγώ· e
σὺ δ' ἀγοράσεις ἡμῖν, λαβών, πιστὲ,
ἀργύριον. [1] Β. Ἄλλως γὰρ οὐκ ἐπίσταμαι
χρηστῶς ἀγοράζειν. Φράζε δὴ φιλούμενον [2]
ὄψῳ τίνι χαίρεις; Α. Πᾶσι. Β. Καθ' ἕκαστον λέγε,
ἰχθῦν τίν' ἡδέως φάγοις ἄν; Α. Εἰς ἀγρὸν 6
ἦλθεν φέρων ποτ' ἰχθυοπώλης μαινίδας
καὶ τριγλίδας· καὶ, νὴ Δί', ἥρεσεν [3] σφόδρα
ἡμῖν ἅπασιν. Β. Εἶτα καὶ νῦν, εἰπέ μοι,
τούτων φάγοις ἄν; Α. Κἂν τις ἄλλος μικρὸς ᾖ. 10
τοὺς γὰρ μεγάλους τούτους ἅπαντας νενόμικα f
ἀνθρωποφάγους ἰχθῦς. Β. Τί φῄς, ὦ φίλτατε;

1 Tres priores verſus ſic corrigit Iacobs:
Α. Καὶ μὴν - - - - ἑστιάσω τήμερον
ὑμᾶς ἐγώ· σὺ δ' ἀγοράσεις ἡμῖν. Β. Λαβάν γ'
ἅλις ἀργύριον· ἄλλως γὰρ &c.
2 φιλού μενε deſiderabam. φιλουμένῳ corr. Caſ. φίλ', εἰ μὲν οὖν Iacobs. 3 Forſ. ἤρεσαν.

poëtam in Butalione: quod drama emendata editio eſt unius ex eiusdem Ruſticis. Dicit enim:

A. *Ego vero convivio vos hodie volo excipere.*
Tu vero nobis cibos emes, acceptâ, o fide,
hac pecuniâ. B. (*Recte:*) *alioquin enim non poſſum*
commode emere. Dic igitur, dilecte,
obſonio quonam delectaris? A. *Quolibet.* B. *Dic ſigillatim,*
piſcem quem libenter comedas? A. *In agrum*
venit aliquando piſcarius, maenidas adferens
& triglidas: &, per Iovem, placebant valde
nobis omnibus. B. *Ergo etiam nunc, dic mihi,*
his tu veſcereris? A. *Immo; ac ſi quis alius minutus*
piſciculus.
Nam maiores illos cunctos ſtatuo ego
anthropophagos eſſe. B. *Quid ais? cariſſime!*

A. Ἀνθρωποφάγους. πῶς ὡς ἂν [1] ἄνθρωπος φάγοι;
B. Δῆλον ὅτι [2] ταῦτα δ' ἐστὶν Ἑλένης βρώματα,
ἃ φησιν οὗτος, [3] μαινίδας καὶ τριγλίδας.
Ἐν δὲ τῷ Ἀγροίκῳ „Ἑκάτης βρώματα, ἔφη, τὰς μαινίδας εἶναι, καὶ τὰς τριγλίδας.“ Ἐκφαυλίζων δὲ καὶ Ἔφιππος [4] τοὺς μικροὺς τῶν ἰχθύων, ἐν Φιλύρᾳ, φησίν·

— A. Παπία, [5] βούλει δραμὼν
a εἰς τὴν ἀγορὰν καταγοράσαι μοι; B. Φράζε τί;
A. Ἰχθῦς φρονοῦντας, ὦ πάτερ· μή μοι βρέφῃ.
B. Οὐκ οἶσθ', ὅτι [6] ταὐγύριον ἔστ' ἰσάργυρον. [7]

LVIII. Obsonia diminutiva.

Ἥδιστος δέ ἐστι καὶ ὁ παρὰ τῷ αὐτῷ ποιητῇ ἐν τοῖς Ὀβελιαφόροις νεανίσκος, καταμικρύνων ἅπαντα τὰ περὶ τὴν ὀψωνίαν, καὶ λέγων ὧδε·

— A. Ἀλλ' ἀγόρασον εὐτελῶς·

1 ἂν deest Msto, ex quo correcta alia quae ab editoribus turbata erant. 2 Forsan interpungendum post Δηλονότι. 3 Prius hemistichium deest edd. 4 Φίλιππος h. l. edd. & ms. A. 5 Rectius fuerit Παππία. 6 ὅ τι vulgo. 7 εἰς ἄργυρον vulgo.

A. *Anthropophagos: quare quo pacto homo eos comederet?*
B. *Recte: nempe hi sunt Helenae cibi,*
quos dicit hic, maenides & triglides!

In Rustico vero *Hecates cibos* dixerat esse *maenidas & triglidas*. Similiter vero & Ephippus minutos pisces contemnit, in Philyra, ubi ait:

A. *Vis - ne in forum, patercule,*
abiens mercari mihi? B. *Dic, sodes, quid?*
A. *Pisces, at prudentes, pater: ne mihi infantes!*
B. *Nescis tu, pecuniam argentum precio aequare.*

58. Lepidissimus etiam apud eumdem poëtam, in Obeliaphoris, (*id est*, Panes tostos in Bacchi pompa ferentibus,) iuvenis est, omnia ad obsonationem pertinentia diminutivis vocibus efferens. Verba haec sunt:

— A. *Sed eme frugaliter:*

ἅπαντα γὰρ ἱκανὸν ἐστί. [1] Β. Φράζε δή ποτε.
Α. Μὴ πολυτελῶς, ἀλλὰ καθαρείως. [2] ὅ τι ἂν ᾖ,
ὀσίας ἕνεκ', ἀρκεῖ. τευθίδια, σηπίδια· b
κἂν κάραβός τις ᾖ λαβεῖν, εἰς ἀρκέσει. 5
ἡδὺ ἐπὶ τὴν τράπεζαν ἐγχελίδια·
Θήβηθεν [3] ἐνίοτ' ἔρχεται, ἐκ τούτων [4] λάβε.
ἀλεκτρυόνιον, Φάττιον, περδίκιον,
τοιαῦτα. δασύπους ἂν δέ τις [5] ἐπέλθῃ, Φέρε. 9
Β. Ὡς μικρολόγος εἶ. Α. Σὺ δέ γε [6] λίαν πολυτελής.
πάντως κρέα ἡμῖν [7] ἐστίν. Β. Πότερ' ἔπεμψέ τις;
Α. Οὐκ, ἀλλ' ἔθυσεν ἡ γυνὴ [8] τὸ μοσχίον
τὸ τῆς Κορώνης· αὔριον [9] δειπνήσομεν.
Ὁ δὲ παρὰ Μνησιμάχῳ ἐν τῷ ὁμωνύμῳ δράματι c
Δύσκολος, Φιλάργυρος ὢν σφόδρα, πρὸς τὸν ἀσωτευόμενον νεανίσκον φησίν·

1 ἱκανά γ' ἐστι corr. Caſ. ἱκανάζει Grot. 2 καθαρίας edd. 3 Θήβη μὲν vulgo. 4 τούτου edd. 5 ἐάν τις vulgo. 6 σὺ λέγε vulgo. 7 χρὴς ἡμῖν Ms. χρέ' ἡμῖν Grot. 8 εὐθὺς ἔνη γυνή. vulgo. 9 Β. Αὔριον δειπν. Grot.

nam quidvis ſatis eſt. B. *Dic aperte quomodo.*
A. *Non ſumtuoſe, ſed munde. Quidquid ſit,*
dicis cauſſa, ſufficit. Loligiunculae, ſepiolae:
ſin locuſta adſit, una licet, ſuffecerit.
Eſt quoque ſuus anguillulis in menſa decor.
Thebis ſubinde adveniunt; ex his tu ſumſeris.
Gallinulam, palumbulum, perdiculam,
tale quidpiam. Cuniculus ſi adſit, hunc adfer.
B. *Quam parcus es tu!* A. *Quin tu nimium prodigus.*
Abunde eſt nobis carnium. B. *An quis adtulit?*
A. *Nemo: ſed uxor nempe mactavit vitulum,*
illum Cornicis, quem cras coenabimus.

Moroſus autem ille apud Mneſimachum, in cognomine fabula, avarus idem admodum, luxurioſum iuvenem ſic alloquitur:

Α. Ἀλλ' ἀντιβολῶ σ' ἐπίταττέ μοι μὴ πολλ' ἄγαν,
μήδ' ἄγρια λίαν, μήδ' ἐπηργυρωμένα,
μέτρια δὲ, τῷ θείῳ σεαυτοῦ. Β. Πῶς ἔτι
μετριώτερ', ὦ δαιμόνιε; Α. Πῶς; σύντεμνε, καὶ
ἐπεξαπάτα με. τοὺς μὲν ἰχθῦς μοι κάλει 5
d ἰχθύδιον· ὄψον δ' ἂν λέγῃς ἕτερον, κάλει
ὀψάριον. ἥδιον γὰρ ἀπολοῦμαι πολύ.

LIX. Coronistae: cornici stipem rogantes.

Ἐπεὶ δὲ κατὰ θεὸν ἐν τοῖς προκειμένοις, Φίλτατε Οὐλπιανὲ, ἢ ὑμεῖς γραμματικῶν παῖδες, εἴπατέ μοι, τίνι ἐννοίᾳ ὁ Ἔφιππος ἐν τοῖς προειρημένοις ἔφη,

— τὸ μοσχίον
τὸ τῆς Κορώνης αὔριον δειπνήσομεν.

ἐγὼ γὰρ οἶομαι ἱστορίαν τινὰ εἶναι, καὶ ποθῶ μαθεῖν. Καὶ ὁ Πλούταρχος ἔφη, Ῥοδιακὴν εἶναι λεγομένην ἱστορίαν, ἣν ἐπὶ τοῦ παρόντος ἀποστοματίζειν οὐ δύνα-
e σθαι, τῷ πάνυ πρὸ πολλοῦ ἐντετυχηκέναι τῷ ταῦτα

Α. *Ne res iniunge, quaeſo, nimis multas mihi,*
nec quod ſit aſperum, aut argentatum nimis,
ſed modica: patruum me memento. B. O optime!
quî poſſim modiciora? A. Dic minutius
ſaltem, mihique impone: dic, pro piſcibus,
piſciculos: aliud ſi petis obſonium,
dic obſoniolum: ſic peribo ſuavius.

59. Quoniam vero forte fortuna in ſuperioribus Ephippus dixit,

— *cras Cornicis vitulum coenabimus:*

explicetis velim nobis, Ulpiane cariſſime, aut vos Grammaticorum filii, quid ſpectans poëta iſtud dixerit. Videtur enim mihi hiſtoria quaedam ſubeſſe, quam ſcire equidem cupio. Tum Plutarchus, ferri aliquam, ait, hiſtoriam eo pertinentem, quae Rhodiaca eſſe perhibeatur: ſe vero in praeſens memoriter eam enarrare non poſſe, quod nimis longum ſit tempus ex quo librum

περιέχοντι βιβλίῳ. οἶδα δὲ Φοίνικα τὸν Κολοφώνιον, ἰαμβοποιὸν, μνημονεύοντά τινων ἀνδρῶν ὡς ἀγειρόντων τῇ κορώνῃ, καὶ λέγοντα [1] ταῦτα·

Ἐσθλοὶ, κορώνῃ χεῖρα πρόσδοτε κριθῶν,
τῇ παιδὶ τοῦ Ἀπόλλωνος, ἢ λέκος [2] πυρῶν,
ἢ ἄρτον, ἢ ἥμαιβον, [3] ἢ ὅ τι τις χρῄζει·
δότ', ὦ γαθοὶ, τὶ τῶν ἕκαστος ἐν χερσὶν
ἔχει, κορώνῃ. καὶ ἅλα λήψεται χόνδρον.
Φιλεῖ γὰρ αὕτη πάγχυ ταῦτα δαίνυσθαι.
ὁ νῦν ἅλας δοὺς, αὖθι κηρίον δώσει.
Ὦ παῖ, θύρην ἄγκλινε. Πλοῦτος ἤκουσε,
καὶ τῇ κορώνῃ παρθένος φέρει σῦκα. [4]
Θεοὶ, γένοιτο πάντ' ἄμεμπτος [5] ἡ κούρη,
κἀφνειὸν ἄνδρα κὠνομαστὸν ἐξεύροι·
καὶ τῷ γέροντι πατρὶ κεῦρον εἰς χεῖρας,

1 λεγόντων edd. cum ms. *Ep.* 2 λέχος edd. 3 ἦγε ψαιστὸν corr. Ruhnk. *aut libum.* 4 σύκα vulgo. 5 μετάπεμπτος edd.

legisset, qui illam contineret. Memini vero, inquit, Phoenicem Colophonium, poëtam iambicum, mentionem facientem hominum nonnullorum, *Cornici* stipem colligentium, haec dicere:

Cornici date, o boni! manipulum hordei,
Apollinis filiae, aut scutellam tritici,
aut panem, aut semiobolum, aut quidquid volueritis,
o boni, eorum quae sunt cuique ad manus,
date cornici. Etiam salis grumum accipit.
Ista enim omnia libenter illa comedit.
Qui hodie salem dat, is favum aliâs dabit.
O puer, fores aperi! — Exaudivit Plutus:
&, ecce, virgo ficos Cornici impertit.
O Dii! sit ab omni noxa immunis puella,
& opulentum maritum illustremque inveniat:
& seni patri puellum in manus,

καὶ μητρὶ κούρην εἰς τὰ γοῦνα κατθείη,
a θάλος, τρέφειν γυναῖκα τοῖς κασιγνήτοις.
Ἐγὼ δ', ὅκου πόδες φέρουσιν ὀφθαλμοὺς,
ἀμείβομαι Μούσαισι πρὸς θύραις ἄδων
καὶ δόντι καὶ μὴ δόντι. πλείονα τῶν γ' ἐῶ.

Καὶ ἐπὶ τέλει δὲ τοῦ ἰάμβου φησίν·

Ἀλλ', ὦ 'γαθοὶ, ἐπορέξαθ' ὧν μυχὸς πλουτεῖ
[δόμου.] [2] δὸς, ὦναξ, [3] καὶ σὺ, πολλά [4] μοι, νύμφη.
Νόμος, κορώνῃ χεῖρα δοῦναι [5] ἐπαιτούσῃ.
εἰδὼς τοιαῦτα, [6] δός τι, καὶ καταχρήσει.

b Κορωνισταὶ δὲ ἐκαλοῦντο, οἱ τῇ κορώνῃ ἀγείροντες, ὡς φησι Πάμφιλος ὁ Ἀλεξανδρεὺς ἐν τοῖς Περὶ Ὀνομάτων· καὶ τὰ ἀιδόμενα [7] δὲ [8] ὑπ' αὐτῶν κορωνίσματα καλεῖται, ὡς ἱστορεῖ Ἀγνοκλῆς [9] ὁ Ῥόδιος ἐν Κορωνισταῖς.

1 τῶν γε edd. 2 Deeſt vulgo δόμου. 3 δὸς, ὦναξ, δὸς, Ms. 4 πόντα corr. Ilgen. 5 δ' οὖν vulgo. 6 τοιαῦτα εἰδὼς vulgo. 7 διδόμενα apud Heſych. 8 τι vulgo. Deeſt coniunctio ms. *Ep.* 9 Ἀγνοκλῆς ed. Caſaub.

& matri puellam inter genua deponat
ex ſe natam, quam alat uxorem cognatis.
Ego vero, quocumque pedes portant meos oculos,
alternis cano Muſis ad aedium portas,
tam danti, quam non danti. Plura nunc mitto.

Dein ſub finem carminis ait:

At, o boni! porrigite eorum quidpiam quibus abundat penus.
Da, domine! da mihi & tu multa, matrona!
Fas eſt, Cornici manum praebere roganti.
Hoc quum tu ſcias, da quidpiam: & ſufficiet.

Vocabantur autem *Coroniſtae*, qui Cornici ſtipem colligebant, ut docet Pamphilus Alexandrinus in libris De Nominibus: & quae ab illis canuntur, vocantur *coronismata*, ut ſcribit Hagnocles Rhodius, in Coroniſtis.

LX. Καὶ χελιδονίζειν δὲ καλεῖται παρὰ Ῥοδίοις ἀγερμός τις [1] ἄλλος, περὶ οὗ Θέογνίς φησιν ἐν δευτέρῳ Περὶ τῶν ἐν Ῥόδῳ Θυσιῶν, γράφων οὕτως· „Εἶδος δέ τι τοῦ ἀγείρειν, χελιδονίζειν οἱ Ῥόδιοι καλοῦσιν, ὃ γίνεται τῷ Βοηδρομιῶνι μηνί. χελιδονίζειν δὲ λέγεται διὰ τὸ εἰωθὸς ἐπιφωνεῖσθαι·

Chelidonistae.

C

Ἦλθ', ἦλθε χελιδών, καλὰς ὥρας
ἄγουσα καὶ καλοὺς ἐνιαυτούς,
ἐπὶ γαστέρα λευκὰ, καὶ ἐπὶ νῶτα μέλαινα.
Παλάθαν οὐ προκυκλεῖς
ἐκ πίονος οἴκου,
οἴνου τε δέπαστρον,
τυροῦ τε κάνιστρον,
καὶ πυρῶν;
Ἀ [2] χελιδὼν καὶ λεκιθίταν
οὐκ ἀπωθεῖται.

1 ἀγειρμός τις edd. 2 Articulus deeſt edd.

60. Etiam χελιδονίζειν (*hirundinare*) apud Rhodios eſt aliqua ſtipis collectio; de qua Theognis loquitur ſecundo libro De Sacris quae Rhodi celebrantur, ubi ſic ſcribit: »Rationem aliquam colligendi ſtipem *hirundinare* adpellant Rhodii, quae fit menſe Boëdromione. Habet autem nomen ex eo, quod ſolent adclamare:

Venit, venit Hirundo, pulcra tempora
pulcrosque annos reducens,
in ventre candida, ſed in tergo nigra.
Ficuum offam non-ne expromis
pinguibus ex aedibus?
vinique pocillum, caſeique caniſtrum,
triticique?
Hirundo nec placentulam
aſpernabitur.

Πότερ' ἀπίωμες; ἢ λαβώμεθα;
Εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐκ ἐάσομες, [1]
ἢ τὰν θύραν φέρωμες, ἢ τὸ ὑπέρθυρον,
ἢ τὰν γυναῖκα τὰν ἔσω καθημέναν·
d μικρὰ μέν ἐστι, ῥᾳδίως μὶν οἴσομες.
Ἄν δὴ φέρῃς τι, μέγα [γε] [2] δή τι καὶ φέροις.
Ἄνοιγ', ἄνοιγε τὰν θύραν χελιδόνι.
οὐ γὰρ γέροντες ἐσμὲν, ἀλλὰ παιδία.

Τὸν δὲ ἀγερμὸν τοῦτον κατέδειξε πρῶτος Κλεόβουλος ὁ Λίνδιος, ἐν Λίνδῳ χρείας γενομένης συλλογῆς χρημάτων.

LXI. Phoenices Rhodo excedunt.

Ἐπεὶ δὲ Ῥοδιακῶν ἱστοριῶν ἐμνήσθημεν, ἰχθυολογήτων καὶ αὐτὸς ὑμῖν ἔρχομαι ἀπὸ τῆς καλῆς Ῥόδου, ἣν εὐΐχθυν εἶναί φησιν ὁ ἥδιστος Λυγκεύς. Ἔρe γείας [3] οὖν ὁ Ῥόδιος, ἐν τοῖς Περὶ τῆς [4] πατρίδος, προ-

1 ἐάσομεν vulgo. 2 γε deeſt vulgo. Forſan vero legendum:
Ἄν δὴ φέρῃς τι μέγα, μέγα δή τι καὶ φέροις.
Si magnum quid impertis, magnum quid tu quoque feres.
3 Ἔργίας ms. *Ep.* Alibi Ἐρξίας, ſi modo idem. 4 Artic. deeſt edd.

Abibimus-ne? an accipiemus?
Si dederis, abibimus: ſi nihil, non deſiſtemus:
quin ianuam abſtulerimus, aut limen ſuperius,
aut tuam intus ipſam ſedentem uxorculam;
parva eſt, facillime quidem aſportabimus.
Si quid nobis impertis, haud exiguum illud ſit.
Aperi, aperi fores! non ſperne hirundinem!
Nec ſenes enim, ut vides; immo pueri ſumus.

Huius rationis ſtipem petendi primus auctor fuerat Cleobulus Lindius, cum in Lindiorum civitate neceſſitas exſtitiſſet colligendae pecuniae.

61. Quoniam vero in Rhodiacarum hiſtoriarum incidimus mentionem, etiam ego de piſcibus aliquid vobis narrabo pulcrâ ex *Rhodo*, quam *piſcibus abundantem* ſuaviſſimus Lynceus adpellavit. Ergias igitur Rhodius,

εἰπὼν τινὰ περὶ τῶν κατοικησάντων τὴν νῆσον Φοινίκων, φησὶν, ὡς „Οἱ περὶ Φάλανθον ἐν τῇ Ἰαλυσῷ [1] πόλιν ἔχοντες ἰσχυροτάτην τὴν Ἀχαΐαν [2] καλουμένην, καὶ δαιτὸς ἐγκρατεῖς ὄντες, χρόνον πολὺν ἀντεῖχον Ἰφίκλῳ πολιορκοῦντι. [3] ἦν γὰρ αὐτοῖς καὶ θέσφατον ἐν χρησμῷ τινι λελεγμένον, [4] ἕξειν τὴν χώραν, ἕως κόρακες λευκοὶ γένωνται, καὶ ἐν τοῖς κρατῆρσιν ἰχθύες φανῶσιν. ἐλπίζοντες οὖν τοῦτ' οὐδέ ποτε ἔσεσθαι, καὶ τὰ πρὸς τὸν πόλεμον ῥαθυμοτέρως εἶχον. Ὁ δ' Ἴφικλος, πυθόμενος παρά τινος [5] τὰ τῶν Φοινίκων λόγια, καὶ ἐνεδρεύσας τοῦ Φαλάνθου πιστόν τινα πορευόμενον ἐφ' ὕδωρ, ᾧ ὄνομα ἦν Λάρκας, καὶ πίστεις πρὸς αὐτὸν ποιησάμενος, θηρεύσας ἰχθύδια ἐκ τῆς κρήνης, καὶ ἐμβαλὼν εἰς ὑδρεῖον, ἔδωκε τῷ Λάρκᾳ, καὶ ἐκέλευσε φέροντα τὸ ὕδωρ τοῦτο ἐκχέαι εἰς τὸν κρατῆρα, ὅθεν τῷ f

Piſces in cratere, & albi corvi.

1 Rectius fortaſſe ἐν Ἰαλυσίᾳ apud Diodor. 2 Ἀχαΐδα ms. *Ep.* 3 Deeſt πολιορκ. edd. & ms. *A.* 4 λεγόμενον edd. 5 παρά τινων ms. *Ep.*

in libris quos de Patria edidit; poſtquam de Phoenicibus, inſulam olim incolentibus, nonnihil ante narravit: »Phalanthus, ait, oppidum in Ialyſo [*ſive*, Ialyſia] tenens munitiſſimum, cui *Achaia* nomen, commeatu non carens, diu reſtiterat Iphiclo obſidenti. Oraculum enim a Deo olim eis fuerat redditum, *fore ut obtinerent regionem, donec albi conſpicerentur corvi, & piſces in crateribus adparerent.* Sperantes igitur illi, numquam id eventurum, ſecurius remiſſiusque adminiſtrabant bellum. Iphiclus vero, cognito per neſcio quem reſponſo Phoenicibus divinitus dato, aliquem ex eis quibus fidem Phalanthus habuerat, Larcam nomine, aquatum euntem intercepit per inſidias; cum eoque de proditione, interpoſitâ fide, egit. Piſciculos e fonte captos iniecit urnae, Larcaeque dedit; iubens aquam illam in craterem infundere, e quo

Φαλάνθῳ ὠνοχοεῖτο. καὶ ὁ μὲν ἐποίησε ταῦτα· ὁ δὲ Ἰφικλος κόρακας θηρεύσας, καὶ ἀλείψας γύψῳ,
a ἀφῆκεν. Φαλανθος δ' ἰδὼν τοὺς κόρακας, ἐπορεύετο καὶ ἐπὶ τὸν κρατῆρα. [1] ὡς δὲ καὶ τοὺς ἰχθῦς ἴδεν, ὑπέλαβε τὴν χώραν οὐκ ἔτι αὐτῶν εἶναι, καὶ ἐπεκηρυκεύσατο πρὸς τὸν Ἰφικλον, ὑπόσπονδος ὑπεξελθεῖν ἀξιῶν μετὰ τῶν σὺν αὐτῷ. Συγκαταθεμένου δὲ τοῦ Ἰφίκλου, ἐπιτεχνᾶται ὁ Φάλανθος τοιόνδέ τι. καταβαλὼν ἱερεῖα καὶ τὰς κοιλίας ἐκκαθάρας, ἐν ταύταις ἐπειρᾶτο ἐξάγειν χρυσίον καὶ ἀργύριον. αἰσθόμενος δὲ ὁ Ἰφικλος, διεκώλυσε. προσφέροντός τε τοῦ Φαλάνθου τὸν ὅρκον,
b ὃν ὤμοσεν ἐάσειν ἐξάγεσθαι ὅ τι κατὰ γαστρὸς αἴρονται· [2] ἀντισοφίζεται, πλοῖα αὐτοῖς διδοὺς ἵνα ἀποκομισθῶσι, παραλύσας τὰ πηδάλια καὶ τὰς κώπας καὶ τὰ ἱστία· ὀμόσαι φήσας πλοῖα παρέξειν, ἄλλο

1 τοὺς κρατῆρας edd. 2 κατὰ γαστρὶ αἴρωνται ms. *A*. Probum foret, ὅ τι ἂν ἐν γαστρὶ αἴρωνται.

vinum hauriretur Phalantho. Id dum facit Larcas, Iphiclus captos corvos gypso oblinit, dimittitque. Phalanthus conspicatus corvos, ad craterem properat: quem ubi piscibus vidit repletum, iam non amplius sua in potestate fore regionem ratus, legatos de pace ad Iphiclum misit, petens ut sibi liceret incolumi cum suis abire. Quod cum pollicitus Iphiclus esset, fraudem talem machinatus est Phalanthus. Mactatis victimis, exemtis visceribus, in earum ventribus abditum aurum argentumque conabatur auferre. At sentiens fraudem Iphiclus, prohibuit. Cui quum iusiurandum obiiceret Phalanthus, quo pollicitus erat ille, se asportari passurum quidquid in ventre illi auferrent; fraudem ipse contra molitus est, navigia illis dans quibus proficiscerentur, sed demtis gubernaculis remisque & velis: iurasse se quidem, aiens, navigia illis daturum, sed praeterea nihil.

δὲ οὐδέν. ἐν ἀπορίᾳ δὲ οἱ Φοίνικες ἐχόμενοι, πολλὰ μὲν τῶν χρημάτων κατώρυσσον, ἐπισημαινόμενοι τοὺς τόπους, ἵνα ὕστερόν ποτε ἀνέλωνται ἀφικόμενοι· πολλὰ δὲ τῷ Ἰφίκλῳ κατέλειπον. Ἀπαλλαγέντων οὖν τούτῳ τῷ τρόπῳ ἐκ τῆς χώρας τῶν Φοινίκων, κατέσχον τὰ πράγματα οἱ Ἕλληνες." Τὰ δ' αὐτὰ ἱστορήσας c καὶ Πολύζηλος ἐν τοῖς Ῥοδιακοῖς· „Τὰ περὶ ἰχθύων, φησὶ, καὶ τῶν κοράκων μόνοι ἤδεσαν ὁ [1] Φάκας, καὶ ἡ θυγάτηρ αὐτοῦ Δορκία. [2] αὕτη δ' ἐρασθεῖσα τοῦ Ἰφίκλου, καὶ συνθεμένη περὶ γάμου διὰ τῆς τροφοῦ, ἔπεισε τὸν φέροντα τὸ ὕδωρ, ἰχθῦς ἀγαγεῖν καὶ ἐμβαλεῖν εἰς τὸν κρατῆρα, καὶ αὐτὴ [3] δὲ τοὺς κόρακας λευκάνασα ἀφῆκεν."

LXII. Ephesi conditores.

Κρεώφυλος δ' ἐν τοῖς Ἐφεσίων Ὥροις· [4] „Οἱ τὴν Ἔφεσον, φησὶ, κτίζοντες, καὶ πολλὰ ταλαιπωρηθέντες [5] ἀπορίᾳ τόπου, τὸ τελευταῖον πέμψαντες εἰς d

1 Deeſt artic. edd. 2 Δερκία ed. Ven. Baſ. & Caſ. 3. 3 αὕτη edd. 4 ὅροις vulgo. 5 περιπλανηθέντες ms. *Ep.* in contextu.

Ita quum nihil proficerent Phoenices, magnam pecuniarum partem defoderunt, locorum certa ſigna ſibi notantes, ut poſthac alio tempore reverſi, eruere poſſent; magnam vero partem Iphiclo reliquerunt. Quibus tali modo ex inſula profectis, Graeci rerum potiti ſunt.« Eamdem vero rem narrans Polyzelus in Rhodiacis, ait: »Oraculum de piſcibus & de corvis Phalantho datum, uni notum fuerat Phacae, eiusque filiae Dorciae. Haec vero, Iphicli amore capta, & huic intercedente nutrice deſponſata, perſuaſerat ei qui aquam ferebat, ut piſces adferret & in craterem iniiceret: corvos autem ipſa, a ſe dealbatos, dimiſit.«

62. Creophylus vero, in Epheſiorum Annalibus haec ſcribit: »Epheſi conditores, diu multas moleſtias paſſi inopiâ loci, poſtremo ad Dei oraculum miſerunt ſciſci-

ne ulla quidem corona eſt pro foribus,
nullus victimarum nidor ſummas ferit nares,
cum ſint Amphidromia? quibus moris eſt
aſſare caſei Cherſonneſii fruſtum,
& elixare oleo ſplendentem braſſicam,
ſub teſtuque ſuffocare agnorum pinguium pectora,
& columbas deplumare, turdosque cum fringillis,
ſimulque cum loliginibus ſepiolas vorare,
& gnaviter implere ventrem polyporum cirris,

πίνειν τε πολλὰς κύλικας εὐζωρεστέρας.

Ἀντιφάνης δ', ἐν Παρασίτῳ, ὡς εὐτελοῦς βρώματος,
e τῆς κράμβης μέμνηται, ἐν τούτοις·

— Οἷα δ' ἔστιν, οἶσθα [σὺ] [1]
γύναι, [2] σκόροδα, τυρὸς, πλακοῦντες, πράγματα [3]
ἐλευθέρι'· οὐ [4] τάριχος, οὐδ' ἡδύσμασιν
ἀρνεῖα καταπεπλησμέν', οὐδὲ [5] θρυμματὶς
τεταραγμένη, καὶ λοπάδες ἀνθρώπων φθοραί.
Καὶ μὴν ῥαφάνους γ' ἐψοῦσι λιπαρὰς, ὦ θεοὶ,
ἔτνος θ' ἅμ' [6] αὐτοῖς πίσινον. —

Δίφιλος δ', ἐν Ἀπλήστῳ·

Ἥκει φερόμεν' αὐτόματα [7] πάντα τἀγαθά·
f ῥάφανος λιπαρὰ, σπλαγχνίδια πολλὰ, σαρκία [8]
ἀπαλώτατ'. οὐδὲν μὰ Δία τοῖς ἐμοῖς . . . [9]

1 Deeſt σὺ Ms. & ed. Ven. & Baſ. 2 τοῖς inſerit Ms. 3 πέμματα corr. Caſaub. cum recentioribus msstis. 4 ἐλευθερίου τάριχος vulgo. 5 καταπεπλησμένου δὲ vulgo. 6 Θαῦμ. Ms. & editt. vett. 7 Ἥκει φέρομεν αὐτὸ μετὰ edd. 8 σαρκίδια vulgo. 9 Forſ. οὐδένα, μὰ Δία, τοῦσι τοῖς ἐμοῖς.

calicesque multos meraciores bibere.

Antiphanes vero, in Paraſito, braſſicae ut vilis cibi meminit, ubi ait:

— *Qualia vero ſint haec, noſti tu,*
uxor: allia, caſeus, placentae, res
libero dignae: non ſalſamentum, non condimentis
repleta agnina, neque intritum ex variis rebus
confuſum, aut patinae hominum pernicies.
Porro & braſſicas utique elixant unctas, proh Dii!
pultemque inſuper ex piſis.

Diphilus vero, in Inſatiabili:

Adferuntur nobis ſponte bona omnia:
braſſica uncta, viſcerula multa, carunculae
tenerrimae. Nullae, per Iovem, hiſce meis

καὶ τοῖς [1] ὅμοια πράγματ', [2] οὐδὲ ταῖς [ἐμαῖς] [3] θλασταῖς ἐλάαις.

Ἀλκαῖος, Παλαίστρᾳ·

Ἤδη δ' ἤψε χύτραν ῥαφάνων.

Πολύζηλος δ' ἐν Μουσῶν γοναῖς, κράμβας αὐτὰς ὀνομάζων, φησίν·

Ὑψιπέταλοί τε κράμβαι συχναί.

XI. Betae.

ΣΕΥΤΛΑ. Τούτων, φησὶν ὁ Θεόφραστος, εὐχυλότερον εἶναι τὸ λευκὸν τοῦ μέλανος, καὶ ὀλιγοσπερμότερον, καὶ καλεῖσθαι Σικελικόν. ἡ δὲ σευτλὶς ἕτερον, φησὶ, τοῦ τεύτλου ἐστί. διὸ καὶ Δίφιλος ὁ κωμῳδιοποιὸς, [4] ἐν Ἥρωϊ δράματι, ἐπιτιμᾷ τινι, ὡς κακῶς λέγοντι, καὶ τὰ τεῦτλα τευτλίδας [5] καλοῦντι. [6] Εὔδημος δ' ἐν τῷ Περὶ Λαχάνων „τέσσαρα γένη φησὶν εἶναι τεύτλων· σπαστὸν, [7] καυλωτὸν, λευ- a

1 καυτοῖς vel καύστοις coni. Villebr. An βλίτοις? 2 πέμματ' ed. Caſ. 3 Deeſt ἐμαῖς vulgo. 4 καμαδεποιὸς edd. 5 τουταίνας mssti cum ed. Ven. & Baſ. 6 καλᾶν vulgo. 7 παστὸν edd.

[*blitis*] *ſimiles res ſunt, neque meis tuſis olivis.*

Alcaeus, Palaeſtrâ:

Iam coxit ollam braſſicarum.

Polyzelus vero, in Muſarum generationibus, *crambas* nominans, ſic ait:

Altis foliis frequentibusque crambae.

11. BETAE. (Graece σεῦτλα, vel τεῦτλα.) »Ex his, Theophraſtus ait, melioris ſucci eſſe albam quam nigram, paucioraque ſemina habere, & Siculam vocari. *Seutlis* vero, inquit, aliud eſt atque *teutlon*.« Quare etiam Diphilus comicus poëta, in fabula Heroë, reprehendit quemdam ut prave loquentem, cum *teutlidas* nominaret, quae *teutla* (*betas*) dicere debebat. Eudemus vero, in libro de Oleribus »quatuor genera ait eſſe betarum, vulſilem, in caulem erectam, albam, vul-

κὸν, πάνδημον· τοῦτο δ' εἶναι τῇ χρόᾳ φαιόν." Δίφιλος δ' ὁ Σίφνιος „τὸ σευτλίον, φησὶν, εὐχυλότερον εἶναι τῆς κράμβης, καὶ θρεπτικώτερον μετρίως· ἐκζεστὸν δὲ, καὶ λαμβανόμενον μετὰ νάπυος, λεπτυντικώτερον εἶναι, καὶ [1] ἑλμίνθων φθαρτικόν. εὐκοιλιώτερον δὲ τὸ λευκὸν, τὸ δὲ μέλαν οὐρητικώτερον. ὑπάρχειν δὲ αὐτῶν καὶ τὰς ῥίζας εὐστομωτέρας καὶ πολυτροφωτέρας."

ΣΤΑΦΥΛΙΝΟΣ. „Οὗτος δριμύς ἐστι, φησὶν ὁ Δίφιλος, ἱκανῶς δὲ θρεπτικὸς, καὶ εὐστόμαχος μέσως, διαχωρητικός τε, καὶ πνευματώδης, δύσπεπτος, εὐρητικὸς, ἱκανῶς διεγερτικὸς πρὸς ἀφροδίσια· διὸ καὶ ὑπ' ἐνίων φίλτρον καλεῖται." Νουμήνιος δ' ἐν τῷ Ἁλιευτικῷ φησί·

XII. Paſtinaca.

Φύλλων δ' ὅσσ' ἄσπαρτα, τά τ' ἐρρίζωται ἀρούραις,
χείματος, ἠδ' ὁπόταν πολυάνθεμον εἶαρ ἵκηται,

1 Deeſt καὶ edd.

garem: eſſe autem hanc colore fuſcam. « Diphilus vero Siphnius ſcribit: » betam meliorem ſuccum, quam braſſicam, gignere, & paulo magis nutrire: in aquâ vero fervidâ elixam, & cum ſinapi ſumtam, magis attenuare, & lumbricos interficere. Alvo autem commodiorem eſſe albam, nigram urinas magis ciere: eſſe vero etiam radices earum guſtu gratiores & plus alimenti praebere. «

12. Pastinaca. » Haec acris eſt, ait Diphilus, ſatis nutriens, ſtomacho mediocriter commoda, alvum pellit, flatus gignit, concoctu difficilis, urinam ciet, ad venerem ſatis ſtimulat: quare etiam a nonnullis philtrum vocatur. « Numenius vero in Halieutico ait:

Foliorum quaecumque vel ſponte creſcunt, vel cultis in arvis,
hieme, aut quum floribus abundans acceſſerit ver,

αὐχμηρὴν σκόλυμόν τε, καὶ ἀγριάδα σταφυλῖνον,
ῥάφιν τ' [1] ἔμπεδον, καὶ καυλίδα τ' [2] ἀγροιῶτιν.

Νίκανδρος δ' ἐν δευτέρῳ Γεωργικῶν φησίν·

Ἐν δ' ἔτι [3] καὶ μαράθου [4] καυλὸς βαθὺς, ἐν δ' ἔτι [5] ῥίζαι
πετραίου, [6] σὺν δ' αὐτὸς ἐπ' αὐχμείην [7] σταφυλῖνος,
σμυρνίον, σόγκος τε, κυνόγλωσσός τε, σέρις τε.
Σὺν καὶ ἄρου θριμεῖα καταψήχοιο πέτηλα,
ἠδ' ὅπερ ὄρνιθος κλύεται [8] γάλα. —

Μνημονεύει τοῦ σταφυλίνου καὶ Θεόφραστος. Φαινίας [9] δ' ἐν πέμπτῳ Περὶ Φυτῶν γράφει οὕτως· „Κατὰ δὲ τὴν αὐτοῦ τοῦ σπέρματος φύσιν ὁ καλούμενος σὴψ, καὶ τὸ τοῦ σταφυλίνου σπέρμα.“ κἀν τῷ πρώτῳ δὲ φησί· „Πετασώδη τὴν τῶν σπερμάτων ἀπείληφε φύσιν, ἄννισον, [10] μάραθον, σταφυλῖνος, καυ-

1 ῥάφυν τ' corr. Casaub. 2 ἐμπέδιον καὶ καυκαλίδ' lego cum Casaub. 3 Ἐν δέ τι vulgo. 4 μαράτου ed. Casaub. 5 οὐδέ τι vulgo. ἠδ' ἔτι corr. Cas. 6 πετρίου vulgo. 7 ἔτ' αὐχμήεις corr. Casaub. 8 καλίεται vulgo. 9 Φανίας edd. 10 ἄνησον Ms.

aridum carduum, & agreſtem paſtinacam,
& lampſanam campeſtrem, ſylveſtremque daucum.

Nicander vero, ſecundo Georgicorum, ait:

In his etiam feniculi caulis craſſus, nec non radices
ſaxoſi, & ſponte in aridâ terrâ creſcens paſtinaca,
ſmyrnium, & ſonchus, & cynogloſſum, & cichorium.
Simul & ari acria contundas folia,
& herbae quae lac audit gallinae.

Meminit paſtinacae etiam Theophraſtus. Phaenias vero, quinto libro de Plantis, ſic ſcribit: »Quod ad ipſius ſeminis naturam, is qui vocatur ſeps, & ſemen paſtinacae. « In primo libro vero ait: »Umbellatam ſeminum formam habent aniſum, feniculum, pa-

καλὶς, κώνειον,[1] κόριον, σκιὰς,[2] ἣν ἔνιοι μυηφόνον." [3]
Ἐπεὶ δὲ ἄρου ἐμνημόνευσεν ὁ Νίκανδρος, προσαπο- Arum.
δοτέον ὅτι καὶ Φαινίας [4] ἐν τῷ προειρημένῳ βιβλίῳ
γράφει οὕτως· „Δρακόντιον, ὃ ἔνιοι ἄρον ἀρωνία." [5]
Τὸν δὲ σταφυλῖνον Διοκλῆς, ἐν πρώτῳ Ὑγιεινῶν,
ε ἀσταφύλινον καλεῖ. Τὸ δὲ καρωτὸν [6] καλούμενον, μέ- Carota.
γας δ' ἐστὶ καὶ εὐαυξὴς [7] σταφυλῖνος, εὐχυλότερόν
ἐστι τοῦ σταφυλίνου, καὶ μᾶλλον θερμαντικώτερον,
οὐρητικώτερον, εὐστόμαχον, εὐοικονόμητον, ὡς ὁ Δί-
φιλος ἱστορεῖ.

Κεφαλωτόν. Τοῦτο καὶ πράσιον καλεῖ- XIII.
σθαί φησιν ὁ αὐτὸς Δίφιλος, καὶ εὐχυλότερον [8] εἶναι Porrum.
τοῦ καρτοῦ. [9] εἶναι δὲ καὶ αὐτὸ μέσως λεπτυντικὸν,
θρεπτικόν τε, καὶ πνευματῶδες. Ἐπαίνετος δ', ἐν

1 κάνειον Ms. 2 Forſ. ἀκοντιὰς. 3 μιηφόνον edd. μυιοσόβην corr. Scalig. Rectius fuerit μυοφόνον. 4 Φανίας h. l. Ms. cum edd. 5 Suſpecta vox extrema. ἄκορον coni. Soping. 6 κάρτον edd. 7 εὐαξὴς vulgo. 8 εὐχυλώτερον ed. Caſ. 9 κάρτου vulgo.

ſtinaca, daucus, cicuta, coriandrum, ſcias, [*forſ.* acontias,] quam vocant nonnulli muricidam. Quoniam vero *ari* mentionem fecit Nicander; adiiciendum eſt etiam, Phaeniam in praedicto libello ſic ſcribere: »Dracontium, quod nonnulli aron aronia.« Paſtinacam vero Diocles, primo libro Salubrium, non, ut vulgo Graeci, *ſtaphylinum*, ſed *aſtaphylinum*, nominat. Quae vero *carota* vocatur (eſt autem ea, magna & laeti incrementi paſtinaca) melioris quam paſtinaca ſucci eſt, magis calefacit, & urinas validius ciet, ſtomacho commoda, & digeſtu facilis; ut tradit Diphilus.

13. Porrum capitatum. Graece non modo *cephaloton*, ſed & *praſium* dici, ait idem Diphilus; eſſeque melioris ſucci quam *tonſile porrum*: eſſe vero & ipſum mediocriter attenuans, & nutriens, & flatuoſum. Epae-

Ὀψαρτυτικῷ, τὰ κεφαλωτὰ καλεῖσθαί φησιν γηθυλλίδας. [1] τοῦτο δὲ τὸ ὄνομα μνήμης εὑρίσκω τετυχηκὸς παρὰ μὲν Εὐβούλῳ ἐν Πορνοβοσκῷ, οὕτως· f

Οὐκ ἂν δυναίμην ἐμφαγεῖν ἄρτον τινά·
παρὰ Γναθαινίῳ γὰρ ἄρτι κατέφαγον,
ἑψοῦσαν [2] αὐτὴν καταλαβὼν γηθυλλίδας. [3]

Οἱ δὲ τὸ γήθυον [4] καλούμενον τοῦτό φασιν εἶναι, οὗ μνημονεύει Φρύνιχος ἐν Κρόνῳ. ὅπερ ἐξηγούμενος δρᾶμα Δίδυμος, ὁμοιά φησιν εἶναι τὰ γήθυα τοῖς λεγομένοις ἀμπελοπράσοις, τὰ δ' αὐτὰ καὶ ἐπιθυλλίδας [5] λέγεσθαι. Μνημονεύει τῶν γηθυλλίδων καὶ Ἐπίχαρμος ἐν Φιλοκτήτῃ, οὕτως·

Ἐν δὲ σκόροδα δύο, καὶ γαθυλλίδας [6] δύο. a

Ἀριστοφάνης, Αἰολοσίκωνι δευτέρῳ·

1 τηθυλλίδας h. l. ms. *A.* καὶ τηθυλλίδας ἢ γηθυλλίδας ms. *Ep.* 2 ἔψευσαν Ms. & ed. Ven. & Baſ. ἔψευσα δ' ed. Caſ. 3 γηθυλλίδα edd. 4 τὸ γήθιον edd. & deinde τὰ γήθια. 5 γηθυλλίδας corrigunt viri docti. 6 γηθυλλίδας edd.

netus vero, in Arte Coquinaria, cephalota ait *gethyllidas* vocari. Quod nomen ego memoratum reperio apud Eubulum, in Pornoboſco, (*i. e.* Lenone,) ubi ait:

Non poſſem nunc panem comedere ullum:
nam apud Gnathaenium modo comedebam,
quam offenderam gethyllidas elixantem.

Sunt vero qui *gethyum* hoc eſſe dicant, cuius Phrynichus meminit in Saturno. Quam fabulam interpretans Didymus, ſimilia ait eſſe gethya ampeloprafis, (i. e. porris quae in vinetis naſcuntur,) eademque etiam *epithyllidas* [ſive, *gethyllidas*] vocari. Meminit vero gethyllidum etiam Epicharmus in Philoctete, ubi ait;

In his allia duo, & duas gethyllidas.

Ariſtophanes, Aeoloſicone poſteriore:

— τῶν δὲ γηθύων

ῥίζας, ἐχούσας σκοροδομίμητον [1] φύτιν.

Πολέμων δ' ὁ περιηγητὴς, ἐν τῷ Περὶ Σαμοθρᾴκης, καὶ κιττῆσαι, φησὶ, τῆς γηθυλλίδος τὴν Λητὼ, γράφων οὕτως· „Διατέτακται παρὰ Δελφοῖς τῇ θυσίᾳ τῶν Θεοξενίων, ὃς ἂν κομίσῃ γηθυλλίδα μεγίστην τῇ Theoxenia. Λητοῖ, λαμβάνειν μοῖραν ἀπὸ τῆς τραπέζης. ἑώρακά τε καὶ αὐτὸς οὐκ ἐλάττω γηθυλλίδα γογγυλίδος καὶ b τῆς στρογγύλης ῥαφανίδος. ἱστοροῦσι δὲ, τὴν Λητὼ κύουσαν τὸν Ἀπόλλωνα κιττῆσαι γηθυλλίδος· διὸ δὴ τῆς τιμῆς τετυχηκέναι ταύτης."

XIV. Cucurbitae.

Κολοκύντη. Χειμῶνος δὲ ὥρᾳ ποτὲ [2] κολοκυντῶν ἡμῖν περιενεχθεισῶν, πάντες ἐθαύμαζον, νεαρὰς εἶναι νομίζοντες· καὶ ὑπομιμνησκόμεθα [3] ὧν ἐν Ὥραις ὁ χαρίεις Ἀριστοφάνης εἶπεν, ἐπαινῶν τὰς καλὰς Ἀθήνας ἐν τούτοις·

1 σκοροδόμητον vulgo. 2 τότε legebam. 3 Forſ. ὑπεμιμν.

Gethyorum radices, allii fere naturam habentes.

Polemon vero, orbis enarrator, in libro de Samothracia, ſcribit etiam, Latonam picâ laborantem adpetiviſſe gethyllidem. Cuius verba haec ſunt: »Apud Delphos, in ſacrificio quod *Theoxenia* vocant, ſancitum eſt, ut, qui Latonae maximam gethyllidem obtulerit, is de ſacra menſa portionem accipiat. Et vidi ipſe ego gethyllidem haud minorem rapâ aut rotundo raphano. Narrant autem, Latonam, Apollinem utero gerentem, cum ciborum aliorum faſtidio laboraret, adpetiviſſe gethyllidem: & eâ de cauſſâ hunc honorem ei eſſe tributum."

14. Cucurbita. Quum vero hyberno tunc tempore cucurbitae nobis circumferrentur, mirabantur cuncti, recentes eſſe exiſtimantes; & recordabamur eorum quae feſtivus Ariſtophanes in Horis ait, pulcras Athenas laudans his verbis:

Atticae felix temperies.

Β. Ὄψει δὲ χειμῶνος μέσου
σικυοὺς, βότρυς, ὀπώραν,
— — [1] στεφάνους ἴων,
κονιορτὸν ἐκτυφλοῦντα.
οὗτος δ' ἀνὴρ πωλεῖ κίχλας,
ἀπίους, σχαδόνας, ἐλάας, c
πύον, χόρια, χελιδόνας, [2]
τέττιγας, ἐμβρύεια· [3]
ὑρισοὺς [4] δ' ἴδοις ἂν νιφομένους [5]
σύκων ὁμοῦ τε μύρτων·
ἔπειτα κολοκύντας ὁμοῦ
ταῖς γογγυλίσιν ἀροῦσιν. [6]
ὥστ' οὐκ ἔτ' οὐδεὶς οἶδ' ὁπη-
νίκ' [7] ἐστι τοὐνιαυτοῦ.
Α. Μέγιστον ἀγαθὸν, εἴπερ ἐ-
στὶ δι' ἐνιαυτοῦ τοῦτο, [8]
ὅτου τὶς ἐπιθυμεῖ, λαβεῖν.
Β. Κακὸν μὲν οὖν μέγιστον.

1 Interciderunt duo verba. 2 χελιδόνα vulgo. 3 νέβρεια corrigunt. 4 ὑρισοὺς vulgo. 5 στιφομένους corr. Villebr. 6 χαροῦσιν coni. Caſ. *cum rapis capitatis.* 7 οἶδε πηνίκ' ms. *Ep.* 8 ἐνιαυτοῦ τοῦ vulgo. Nude ἐνιαυτοῦ ms. *Ep.*

Β. *Videbis mediâ hyeme cucumeres, uvas, poma,*
— — *violarum coronas, pulverem excaecantem:*
idemque homo vendit turdos, pyra, favos, olivas,
coloſtrum, choria, hirundines, cicadas, vulvas:
& ſportas videas nive conſperſas, quae ſimul ſint ficis & myrti baccis refertae:
deinde cucurbitas ſerunt ſimul cum rapis:
ut iam nemo amplius ſciat, qua parte vivat anni.
Α. *Maximum hoc bonum eſt, ſi licet toto anno id ipſum, quod quisque cupit, habere.* Β. *Immo malum maximum.*

εἰ μὴ γὰρ ἦν, οὐκ ἂν ἐπεθύ-
μουν, οὐδ' ἂν ἐδαπανῶντο.
Ἐγὼ δὲ τοῦτ', [1] ὀλίγον χρόνον
φυτῶν, [2] ἀφειλόμην ἄν·
κἄγωγε ταῖς ἄλλαις πόλεσι
δρῶ [3] ταῦτα πλὴν Ἀθηνῶν. [4]
d τούτοις ὑπάρχει ταῦτ', ἐπει-
δὴ τοὺς θεοὺς σέβουσιν.
A. Ἀπέλαυσαν ἄρα σέβοντες ὑ-
μᾶς, ὡς σὺ φῂς, τί ἢ τί [5]
Αἴγυπτον αὐτῶν τὴν πόλιν
πεποίηκας [6] ἀντ' Ἀθηνῶν.

Ἐθαυμάζομεν οὖν τὰς κολοκύντας μηνὶ Ἰανουαρίῳ ἐσθίοντες· χλωραί τε γὰρ ἦσαν, καὶ τὸ ἴδιον ἀπεδίδοσαν τοῦ χυμοῦ. ἐτύγχανον δὲ οὖσαι τῶν συντεθειμένων [7] ὑπὸ τῶν τὰ τοιαῦτα μαγγανεύειν εἰδότων ὀψαρτυτῶν. Ἐζήτει οὖν ὁ Λαρήνσιος, εἰ καὶ τὴν χρῆσιν ταύ- Cucurbitae in hyemem conditae.

1 τοῦτον vulgo. 2 φῶσας vulgo. φυσήσας corr. Caſ. 3 δρᾶν vulgo. 4 Ἀθηναίων vulgo. 5 ὅτιὴ δὴ legebam. 6 πεποιήκασ' ms. *Ep.* 7 ἀποτεθειμένων coni. Dalec.

Nam, ſi non eſſent iſta, nemo cuperet, nec tantos ſumtus eſſent facturi.
At ego haec, paulisper ſpirans, auferre poſſem:
idque ego facio aliis civitatibus, exceptis Athenis.
Hi vero haec habent, quoniam Deos reverentur.
A. *Nacti ſunt igitur quia vos colunt, ut tu ais, hoc quod*
Aegyptum feceris civitatem eorum pro Athenis.

Mirabamur igitur cucurbitas eſitantes menſe Ianuario: nam & virides erant, & nativum propriumque cucurbitarum ſaporem habebant. Erant autem ita paratae ab iis hominibus, qui lenocinio artis talia ſcitamenta parare norunt. Quaeſivit igitur Larenſius, an veteribus

τὴν ἠπίσταντο οἱ ἀρχαῖοι. καὶ ὁ Οὐλπιανὸς ἔφη· Νίκανδρος ὁ Κολοφώνιος, ἐν τῷ δευτέρῳ τῶν Γεωργικῶν, e μνημονεύει ταύτης τῆς χρήσεως, σικύας ὀνομάζων τὰς κολοκύντας. οὕτως γὰρ ἐκαλοῦντο, ὡς πρότερον εἰρήκαμεν. λέγει δ' οὕτως·

Αὐτὰς μὲν [1] σικύας τμήττων [2] ἀνὰ κλώσμασι [3] πείρας,
ἠέρι δὲ ξήρανον, ἐπεγκρεμάσαιο δὲ καπνῷ,
χείμασιν ὄφρ' ἂν δμῶες ἅλις περιχανδέα χύτρον
πλήσαντες ῥοθέωσιν ἀεργέες. ἔνθα τε μέτρῳ [4] f
ὄσπρια πανσπερμηδὸν ἐπεγχεύησιν ἀλετρίς. 5
τῇ ἔνι μὲν σικύης ὅρμους βάλοι ἐκπλύναντες·
ἐν δὲ μύκην σίρας τε [5] πάλαι λαχάνοισι πλακείσας,
αὐλοτέροις [6] καυλοῖς τε μιγήμεναι † εὐφαορίζῃ. [7]

1 μὲν mssti. 2 τμητῶν vulgo: τμητὰς corr. Casaub. 3 ἀνακλάσμασι edd. & ms. *A.* ἀνὰ κλώμασι ms. *Ep.* 4 μέτρια ed. Ven. & Bas. cum Mis. 5 Forf. σειρᾶς τε. 6 οὐλοτέροις corr. Dalecamp. 7 Non liquet.

etiam iſte uſus fuerit cognitus? Et reſpondit Ulpianus: Nicander Colophonius, ſecundo Georgicorum, huius uſus meminit; non *colocyntas* vocans cucurbitas, ſed *ſicyas*. Sic enim olim vocabantur, ut ſupra memoravimus. Loquitur autem in hunc modum:

Sicyas ſectas filis transfige conſereque;
tum in aëre ſiccatas, ad fumum ſuſpende;
ut hyeme ſatis patentem ollam fabuli
impleant ſorbeantque feriantes: ibique iuſta menſura
legumina omnis generis infundat molitrix.
In eam ſicyae monilia, poſtquam lavarunt, iniiciant;
[*ac fungos, praetereaque faſciculos olerum dudum complicatos,*
cum braſſicis criſpis, quas probe domeſticis miſceat.]

a Ὄρνεις. Ἐπεὶ δὲ καὶ ὄρνεις ἐπῆσαν ταῖς κολοκύνταις καὶ ἄλλοις κνιστοῖς λαχάνοις· (οὕτω δ' εἴρηκεν Ἀριστοφάνης, ἐν Δηλίᾳ, τὰ σύγκοπτα λάχανα· „κνιστὰ, ἢ στέμφυλα.“) ὁ Μυρτίλος ἔφη· Ἀλλὰ μὴν καὶ ὄρνιθας καὶ ὀρνίθια νῦν μόνως [1] ἡ συνήθεια καλεῖ τὰς θηλείας, ὧν ὁρῶ περιφερομένων πλῆθος· (καὶ Χρύσιππος δ' ὁ Φιλόσοφος, ἐν τῷ πέμπτῳ Περὶ τοῦ Καλοῦ καὶ τῆς Ἡδονῆς, γράφει οὕτως· „Καθαπερ τινες, [2] τὰς λευκὰς ὄρνιθας τῶν μελαινῶν b ἡδίους εἶναι μᾶλλον.“) ἀλεκτρυόνας δὲ καὶ ἀλεκτορίδας, [3] τοὺς ἄῤῥενας· τῶν ἀρχαίων δὲ [4] τὸ ὄρνις καὶ ἀρσενικῶς καὶ θηλυκῶς λεγόντων ἐπ' ἄλλων ὀρνέων, οὐ περὶ τούτου τοῦ ἰδικοῦ, περὶ οὗ φησιν ἡ συνήθεια, ὄρνιθας ὠήσασθαι. Ὅμηρος μὲν οὖν φησίν·

Ὄρνιθες δέ τε πολλοὶ ὑπ' αὐγὰς ἠελίοιο.

1 μόνον ed. Cas. 2 τινὲς φασὶ ms. Ep. 3 ἀλέκτορας corr. H. Steph. Forf. ἀλεκτορίδια, aut ἀλεκτόρια. 4 δὲ malebam.

XV. GALLINAE. De vocab. Ὄρνις grammaticalia.

15. GALLINAE. Quoniam vero gallinae impositae erant cucurbitis & aliis concisis (κνιστοῖς) oleribus; (sic enim Aristophanes, in Delia, vocat concisa olera: »Κνιστὰ, *aut fraces.*«) Myrtilus ait: At nostrâ quidem aetate ὄρνιθας & ὀρνίθια nonnisi gallinas feminas dicere consuevimus, quarum magnam video circumferri multitudinem: similiter vero etiam Chrysippus philosophus, quinto libro de Honestate & Voluptate; ubi sic scribit: »Quemadmodum nonnulli aiunt, albas gallinas (ὄρνιθας) suaviores esse nigris.« Mares vero (gallos gallinaceos) ἀλεκτρυόνας & ἀλεκτορίδας vocamus. At vocabulo ὄρνις, cum masculine, tum foeminine, usi sunt veteres de aliis avibus, non de hoc privatim genere, quod vulgo intelligimus, cum dicimus, ὄρνιθας (*gallinas*) *emere*. Homerus quidem ait:

Ὄρνιθες δέ τε πολλοὶ (*Alites sane multi*) *sub radiis solis.*

καὶ ἀλλαχόθι θηλυκῶς·

Ὄρνιθι λιγυρῇ. — καί·

Ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρησι
μάσταν', ἐπεί κε λάβῃσι, κακῶς δέ τε οἱ πέλει
αὐτῇ.

Μένανδρος δ' ἐν Ἐπικλήρῳ πρώτῃ, σαφῶς τὸ ἐπὶ τῆς c
συνηθείας φησὶν, ἐμφανίζων οὕτως·

— Ἀλεκτρυών τις ἐκεκράγει μέγα.
οὐ σοβήσετ' ἔξω, φησὶ, τὰς ὄρνιθας ἀφ' ἡμῶν; καὶ πάλιν·

Αὕτη πετ' ἐξεσόβησε τὰς ὄρνεις μόλις.

Ὀρνίθια δ' εἴρηκε Κρατῖνος ἐν Νεμέσει, οὕτως·

τ' ἄλλα πάντ' ὀρνίθια.

Ἐπὶ δὲ τοῦ ἀρσενικοῦ οὐ μόνον ὄρνιν, ἀλλὰ καὶ ὄρνιθα. [1] ὁ αὐτὸς Κρατῖνος, ἐν τῷ αὐτῷ δράματι· d

1 οὐ μόνον ὄρνιθα, ἀλλὰ καὶ ὄρνιν edd. cum ms. *A*.

Et alibi, foeminino genere:

Ὄρνιθι λιγυρῇ. (*Avi ſtridulae.*) Et

Quemadmodum ὄρνις (*avis*) *implumibus pullis adfert eſcam, poſtquam cepit: male autem eſt ei ipſi.*

Menander vero, in priore Epiclero, (Orba-haerede) perſpicue id uſurpat quod nunc in uſu eſt, & ſic declarat:

— *Gallus quidam gallinaceus* (Ἀλεκτρυών τις) *alta voce clamaverat.*

Nonne foras abigetis, inquit, gallinas (τὰς ὄρνιθας) *a nobis?*

Et rurſus:

Aegre tandem iſta abegit gallinas. (τὰς ὄρνεις.)

Ὀρνίθια vero dixit Cratinus, in Nemeſi, ubi ait:

Et alia omnia ὀρνίθια. (*Alias omnes aviculas.*)

Masculino vero genere & ὄρνιν & ὄρνιθα dixerunt. Idem Cratinus, in eadem fabula:

Ὄρνιθα φοινικόπτερον.

καὶ πάλιν·

Ὄρνιθα τοίνυν δεῖ σε γίνεσθαι μέγαν.

καὶ Σοφοκλῆς, Ἀντηνορίδαις·

Ὄρνιθα, καὶ κήρυκα καὶ διάκονον.

Αἰσχύλος, Καβείροις·

Ὄρνιθα δ' οὐ ποιῶ σε τῆς ἐμῆς ὁδοῦ.

Ξενοφῶν δ' ἐν δευτέρῳ Παιδείας· „ἐπὶ μὲν τοὺς ὄρνιθας τῷ ἰσχυροτάτῳ χειμῶνι.“ Μένανδρος, Διδύμαις·

ὄρνεις Φέρων ἐλήλυθα.

καὶ ἐξῆς „ὄρνιθας ἀποστέλλει“ φησίν. Ὅτι δὲ καὶ ἐπὶ τοῦ πληθυντικοῦ ὄρνεις λέγουσιν, πρόκειται τὸ Μενάνδρειον μαρτύριον· ἀλλὰ καὶ Ἀλκμάν που φησί·

Λῦσαν δ' ἄπρακτα νεανίδες,

ὥς τ' ὄρνεις ἱέρακος ὑπερπταμένου.

1 ὄρνιθος Ms.

Ὄρνιθα φοινικόπτερον. *Puniceis alis avem.*

Et rurſus:

Ὄρνιθα (*Alitem*) *igitur oportet te eſſe magnum.*

Et Sophocles, in Antenoridis:

Ὄρνιθα, (*Alitem,*) *& praeconem & miniſtrum.*

Aeſchylus, Cabiris:

Ὄρνιθα (*Alitem*) *te non facio mei itineris.*

Xenophon, ſecundo libro Inſtitutionis: »Contra aves (τοὺς ὄρνιθας) aſperrima hyeme.« Menander, in Sororibus Gemellis:

Ὄρνεις (*Aves*) *adferens veni.*

Idem vero paulo poſt »ὄρνιθας (*aves*) *mittit*« ait. Igitur plurali numero ὄρνεις dixiſſe veteres, oſtendit Menandri teſtimonium modo citatum. Sed & Alcman alicubi ait:

Re infecta diſceſſere puellae,

ſicut aves (ὄρνεις) *ſupervolante accipitre.*

καὶ Εὔπολις, ἐν Δήμοις·

Οὐ δεινὸν οὖν κριοὺς ἐμ' [1] ἐκγενναῖν τέκνα,
ὄρνεις δ' ὁμοίους [2] τοὺς νεοττοὺς τῷ πατρί.

XVI.

Τὸν δ' ἀλεκτρυόνα ἐκ τῶν ἐναντίων οἱ ἀρχαῖοι καὶ θηλυκῶς εἰρήκασι. Κρατῖνος, Νεμέσει·

Ἀλεκτρυών, gallus & gallina.

Λήδα, σὸν ἔργον. δεῖ σ' ὅπως εὐσχήμονος [3]
ἀλεκτρυόνος μηδὲν διοίσεις τοὺς τρόπους,
ἐπὶ τῷδ' ἐπώζουσ', [4] ὡς ἂν ἐκλέψῃς καλὸν
ἡμῖν τι καὶ θαυμαστὸν ἐκ τοῦδ' ὄρνεον. f

Στράττις, Ψυχασταῖς·

Αἱ δ' ἀλεκτρυόνες ἅπασαι,
καὶ τὰ χοιρίδια τέθνηκε,
καὶ τὰ μικρὰ ὀρνίθια.

Ἀναξανδρίδης, Τηρεῖ·

— — Ὀχευομένους δὲ τοὺς κάπρους,

1 χρείους μ' vulgo. 2 θ' ὁμοίως vulgo. 3 εὐσχημόνως vulgo. 4 ἐπωάζουσαν edd. ἐπωάζουσα Ms.

Et Eupolis, in Populis:

Nonne durum est, ferocem ingratumque me generasse filium, cum aves tamen similes patrum generent pullos!

16. Vocabulum ἀλεκτρυὼν, e contrario, etiam in foeminino genere usurparunt, *gallinam* dicentes. Cratinus, Nemesi:

Leda, tuum hoc munus est. Oportet id agere, ut a verecundâ gallinâ nil differas moribus, ovo huic incubans; ut excludas pulcrum nobis & admirabilem ex eo pullum.

Strattis, in Psychastis: (*i. e.* Frigus-captantibus:)

Gallinae (αἱ ἀλεκτρυόνες) vero cunctae, & porcelli perierunt, & parvae aviculae.

Anaxandrides, Tereo:

— *Coëuntes vero porcos,*

καὶ τὰς ἀλεκτρυόνας θεωρεῦσ' [1] ἄσμενοι.

Ἐπεὶ δὲ τοῦ κωμικοῦ τούτου ἐμνήσθην, καὶ οἶδα τὸ δρᾶμα τὸν Τηρέα αὐτοῦ μὴ κεκριμένον ἐν τοῖς πρώτοις, a ἐκθήσομαι ὑμῖν, ἄνδρες Φίλοι, εἰς κρίσιν ἃ εἴρηκε περὶ αὐτοῦ Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν ἕκτῳ Περὶ Κωμῳδίας, γράφων ὧδε· „Ἀναξανδρίδης διδάσκων ποτὲ διθύραμβον Ἀθήνησιν, εἰσῆλθεν ἐφ' ἵππου, καὶ ἀπήγγειλέν τι τῶν ἐκ τοῦ ἄσματος. ἦν δὲ τὴν ὄψιν καλὸς καὶ μέγας, καὶ κόμην ἔτρεφε, καὶ ἐφόρει ἀλουργίδα καὶ κράσπεδα χρυσᾶ. πικρὸς δ' ὢν τὸ ἦθος, ἐποίει τι τοιοῦτον περὶ τὰς κωμῳδίας. ὅτε γὰρ μὴ νι- b κήσῃ, λαμβάνων ἔδωκεν εἰς τὸν λιβανωτὸν κατατεμεῖν, καὶ οὐ μετεσκεύαζεν ὥσπερ οἱ πολλοί. καὶ πολλὰ ἔχοντα κομψῶς τῶν δραμάτων ἠφάνιζε, δυσκολαίνων Anaxandrides comicus.

1 Θεωρούσιν vulgo.

itemque gallinas (τὰς ἀλεκτρυόνας) *adſpiciunt libenter.*

Quoniam vero in huius comici mentionem incidi, neque ignoro non in principibus cenſeri eius fabulam Tereum; veſtro iudicio, dilecti viri, ſubiiciam quae de ea fabula ſcripſit Chamaeleon Heracleotes ſexto libro de Comoedia, ubi ait: »*Anaxandrides* aliquando cum Athenis dithyrambum doceret, equo inſidens prodibat, & partem ſui carminis aliquam recitabat. Erat autem adſpectu formoſus & procerus, comamque alebat, & veſtem geſtabat purpuream cum aureis fimbriis. Acerbo autem cum eſſet ingenio, comoediis ſuis tali quodam modo uti conſueverat: ſi quando victoriam non eſſet adeptus, ſumebat chartam, & in forum, ubi thus & odores venduntur, mittebat diſcerpendam: non, ut vulgo alii, retractabat fabulam corrigebatque. Atque ea ratione multas e ſuis fabulis, ſatis eleganter compoſitas, e medio ſuſtulit, ſpectatoribus iratus ob ſenilem mo-

τοῖς θεαταῖς διὰ τὸ γῆρας. λέγεται δ' εἶναι τὸ γένος Ῥόδιος ἐκ Καμίρου. [1] θαυμάζω οὖν πῶς [2] ὁ Τηρεὺς περιεσώθη, μὴ τυχὼν νίκης, καὶ ἄλλα δράματα τῶν ὁμοίων τοῦ αὐτοῦ." Καὶ Θεόπομπος δ', ἐν Εἰρήνῃ, ἐπὶ τῆς θηλείας ἔταξε τὸν ἀλεκτρυόνα, λέγων οὕτως·

— Ἄχθομαι δ' ἀπολωλεκὼς
ἀλεκτρυόνα τίκτουσαν ὠὰ πάγκαλα.

καὶ Ἀριστοφάνης, Δαιδάλῳ· c

Ὠὸν μέγιστον τέτοκεν, ὡς ἀλεκτρυών.

καὶ πάλιν·

[Ἐνίοτε] [3] πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ
ὑπηνέμια τίκτουσιν ὠὰ πολλάκις.

Ἐν δὲ Νεφέλαις διδάσκων τὸν πρεσβύτην περὶ ὀνόματος διαφορᾶς, φησί·

— Α. Νῦν δὲ πῶς με χρὴ καλεῖν;
Β. Ἀλεκτρύαιναν· τὸν δ' ἕτερον, ἀλέκτορα.

1 Καμείρου edd. Καμήρου Ms. 2 πῶς καὶ ὁ Τηρ. edd. 3 Deeſt vulgo vox Ἐνίοτε, βίᾳ vero poſt ὑπηνέμια reiicitur.

roſitatem. Dicitur autem genere fuiſſe Rhodius ex Camiro. Quare miror quo pacto ſervatus ſit eius *Tereus*, aliaeque nonnullae ſimiles eiusdem fabulae, quibus victoriam non reportavit. *a* Iam vero & Theopompus, in Pace, ἀλεκτρυόνα de *gallina* dixit, his verbis:

— *Doleo me perdidiſſe*
ἀλεκτρυόνα ova parientem perpulcra.

Et Ariſtophanes, Daedalo:

Ovum peperit maximum, ſicut ἀλεκτρυών.

Rurſusque:

Multae gallinarum (τῶν ἀλεκτρυόνων) *invitae*
ſaepe pariunt ova ventoſa & irrita.

In Nubibus vero, docens ſenem differentiam nominis, ait:

— A. *Nunc ergo quomodo nominare debeo?*
B. Ἀλεκτρύαιναν, *hanc; alterum vero*, ἀλέκτορα.

d Λέγεται δὲ καὶ ἀλεκτορὶς, καὶ ἀλέκτωρ. Σιμωνίδης „ἱμερόφων' [1] ἀλέκτωρ" ἔφη. Κρατῖνος, „Ὥραις· „Ὥσπερ ὁ Περσικὸς ὥραν πᾶσαν καναχὼν ὁλόφωνος [2] ἀλέκτωρ. Εἴρηται δ' οὕτως, ἐπειδὴ καὶ ἐκ τοῦ λέκτρου ἡμᾶς διεγείρει. Οἱ δὲ Δωριεῖς, λέγοντες ὄρνιξ, τὴν γενικὴν διὰ τοῦ χ λέγουσιν, ὄρνιχος. Ἄλκμὰν δὲ διὰ τοῦ σ τὴν εὐθεῖαν ἐκφέρει·

— Ἀλιπόρφυρος εἴαρος ὄρνις.

καὶ τὴν γενικὴν οἶδα· [3] „δι' ὀρνίχων ὅμως πάντων."

Ἀλέκτωρ.

Ὄρνις, Dorice ὄρνιξ.

ΔΕΛΦΑΞ. Ἐπίχαρμος τὸν ἄῤῥενα χοῖρον οὕτως e καλεῖ, ἐν Ὀδυσσεῖ Αὐτομόλῳ·

Δέλφακά τε τῶν γειτόνων
τοῖς Ἐλευσίνοις φυλάσσων,
δαιμονίως ἀπώλεσα, [4]

XVII. PORCELLUS.

1 ἡμερόφων' corr. viri docti: i. e. *diei praenuncium.* 2 ὁλόφωνος edd. ὁ λοφωτὸς corr. Palm. 3 In ed. Baf. & Caf. iunguntur οἶδα δι' ὀρν. 4 ἀπώλεσας vulgo. Videtur autem κοὐχ deinde pro οὐχ legendum.

Dicitur vero & ἀλεκτορὶς & ἀλέκτωρ. Simonides quidem »*ſuavi cantu* ἀλέκτωρ« dixit. Cratinus, in Horis: »*Sicut Perſicus quâvis tempeſtate canens totus vocalis* ἀλέκτωρ.« Nomen autem habet eo, quod e lecto etiam nos evigilat. Dores vero, cum ὄρνιξ dicant, genitivum per χ literam formant, ὄρνιχος. Alcman vero caſum rectum per σ literam effert:

— *Purpureus veris ales.* (ὄρνις.)

Novi vero genitivum ſic formatum: »*Per aves* (δι' ὀρνίχων) *tamen omnes.*«

17. PORCELLUS. (Δέλφαξ.) Epicharmus δέλφακα vocat porcum marem, in Ulyſſe Transfugâ:

Porcumque (δέλφακα) *vicinorum*
Eleuſiniis deſtinatum cuſtodiens, forte perdidi,

οὐχ ἑκών· καὶ ταῦτα δή με
συμβολατεύειν [1] ἔδη
τοῖς Ἀχαιοῖσιν, προδιδόμεν τ' [2]
ὤμνυέ με τὸν δέλφακα.

Καὶ Ἀναξίλας δ', ἐν Κίρκῃ, καὶ ἀρσενικῶς εἴρηκε τὸν δέλφακα, καὶ ἐπὶ τοῦ τελείου τέθεικε τοὔνομα, εἰπών·

Τοὺς μέν, ὀρεινόμους ὑμῶν ποιήσει δέλφακας ὑλη- f
βάτας· [3]
τοὺς δὲ, πάνθηρας· ἄλλους, ἀγρώστας λύκους,
λέοντας.

Ἐπὶ δὲ τῶν θηλειῶν τοὔνομα τάττει Ἀριστοφάνης, Ταγηνισταῖς·

ἢ δέλφακος ὀπωρίνης ἠτριαῖον. [4]

καὶ ἐν Ἀχαρνεῦσιν·

Νέα γάρ ἐστιν· ἀλλὰ δελφακουμένα
ἕξει μεγάλην τε καὶ παχεῖαν κἠρυθράν.

1 συμβολαιεύειν coni. Salmaſ. 2 προδιδόμην τ' vulgo. προδιδόμεναί τε corr. Caſaub. 3 ἁλιβάτους edd. ὑλιβάτους ms. *A.* ὑληβάτας ms. *Ep.* 4 Alibi apud Noſtrum ἠτριαίαν.

invitus: & hoc ſcilicet me pignus dediſſe ait
Achivis, prodidiſſeque me iuravit porcum.

Sed & Anaxilas, in Circe, ſimiliter δέλφακα maſculino genere dixit, & de adulto porco uſurpavit, cum ait:

Alios e vobis, porcos faciet, (δέλφακας,) montibus
ſylvisque inerrantes;
alios, pantheras; alios, feros lupos leonesque.

De foemina vero nomen illud uſurpavit Ariſtophanes, in Tageniſtis:

Et porcelli (δέλφακος) autumnalis ſumen.

Et in Acharnenſibus:

Iuvencula eſt enim: ſed quum in ſuculam excreverit, (δελφακουμένα,)
habebit (caudam) magnam craſſamque & rubram.

a ἀλλ' αἰ τράφεν λῇς, ἄδε τοι χοῖρος κάλά.

καὶ Εὔπολις, ἐν Χρυσῷ γένει. καὶ Ἱππώναξ δὲ ἔφη· „ὡς Ἐφεσίη δέλφαξ." Κυρίως δ' αἱ θήλειαι οὕτω λεχθεῖεν ἂν, αἱ δελφύας ἔχουσαι. οὕτως δὲ αἱ μῆτραι καλοῦνται, καὶ οἱ ἀδελφοὶ ἔνθεν ἐτυμολογοῦνται. Περὶ δὲ τῆς ἡλικίας τοῦ ζώου Κρατῖνός φησιν ἐν Ἀρχιλόχοις· Nomen ἀδελφὸς unde?

— ἤδη δέλφακες, χοῖροι δὲ τοῖσιν ἄλλοις.

Ἀριστοφάνης δ' ὁ Γραμματικὸς, ἐν τῷ Περὶ Ἡλικιῶν, φησί· „Τῶν δὲ συῶν τὰ μὲν ἤδη συμπεπηγότα, δέλ-
b φακες· τὰ δ' ἁπαλὰ καὶ ἔνικμα, χοῖροι." Ἔνθεν τὸ Ὁμηρικὸν σαφὲς γίνεται·

— Τά τε δμῳῆσσι πάρεστι
χοίρεα, ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσι.

Πλάτων δ' ὁ κωμῳδιοποιὸς, ἐν Ποιητῇ, ἀρρενικῶς ἔφη·

Sin educare volueris, erit tibi pulcra porcus.

Item Eupolis, in Aurea aetate. Atque etiam Hipponax ait: *ſicut Epheſia delphax.* Proprie autem foeminae ſic dicentur; quae nempe δελφύας habent: ſic autem vocantur *uteri* vel *vulvae;* unde etiam *fratres* (ἀδελφοὶ) nomen invenerunt. De aetate autem horum animalium loquitur Cratinus in Archilochis, cum ait:

[*His quidem*] *iam* δέλφακες, *reliquis vero* χοῖροι.

Et Ariſtophanes Grammaticus, in libro De Aetatibus, ait: » Ex ſuibus hae quae iam compactae ſunt, δέλφακες vocantur: quae autem molles [etiamnum] & humoris plenae, χοῖροι.« Unde lucem accipit id quod eſt apud Homerum:

— *Famulis quidem adponitur*
χοίρεα, [*porcina:*] *at ſaginatas ſues proci comedunt.*

Plato vero comicus, in Poëtâ, masculino genere dixit:

Τὸν δέλφακ' ἀπῆγε σιγῇ.

Ἦν δὲ καὶ παλαιὸς νόμος, ὥς φησιν Ἀνδροτίων, τῆς ἐπιγονῆς ἕνεκα τῶν θρεμμάτων, [1] μὴ σφάττειν πρόβατον ἄπεκτον ἢ ἄτοκον· διὸ τὰ ἤδη τέλεια ἤσθιον.

— Ἀτὰρ σιάλους γε σύας μνηστῆρες ἔδουσι. c

καὶ νῦν δὲ τὴν τῆς Ἀθηνᾶς ἱέρειαν οὐ θύειν [2] ἀμνὴν, [3] οὐδὲ τυροῦ γεύεσθαι. Καὶ, κατὰ χρόνον δέ τινα ἐκλιπόντων τῶν βοῶν, φησὶν ὁ Φιλόχορος νομοθετηθῆναι διὰ τὴν σπάνιν ἀπέχεσθαι αὐτοὺς τῶν ζώων, συναγαγεῖν [4] βουλομένους καὶ πληθύσαι τῷ μὴ καταθύεσθαι.

Ὃ καὶ ὁ Χοῖρον δὲ Ἴωνες καλοῦσι τὴν θήλειαν, ὡς Ἱππῶναξ· [5] χοίρος.

(Ἐν) [6] σπονδῇ τε, καὶ σπλάγχνοισιν ἀγρίας χοίρου.

καὶ Σοφοκλῆς, Ἐπὶ Ταινάρῳ [σατυρικῷ· d

— Τοιγαροῦν

ἔδει φυλάξαι χοῖρον ὥς τε δεσμίαν.]? [7]

1 τῶν ἑκατὸν θρεμμ. edd. ἑκατῶν ms. *A*. Ignorat ms. *Ep*. 2 ἔθος οὐ θύειν corr. Caſ. 3 ἀμνεῖον ms. *Ep*. 4 συνάγειν edd. 5 Ἱππῶναξ ms. *A*. 6 Vox Ἐν extra verſum. 7 Vulgo: καὶ Σοφοκλῆς

Porcellum [Τὸν δέλφακα] *abegit tacite.*

Eſt autem vetus inſtitutum, ut Androtion ait, quo proli gregum conſuleretur, pecudem non mactare intonſam, aut quae nondum peperiſſet: quare iam adultas comedebant.

— *At ſaginatas ſues proci comedunt.*

Atque etiam nunc obtinet, ut Minervae ſacerdos non immolet agnam, nec caſeum guſtet recentem. Quumque aliquando deficerent boves, lege cautum fuiſſe ait Philochorus, ut propter penuriam iis abſtinerent; greges quippe comparare augereque volebant eo, quod non caederentur. Iones vero χοῖρον vocant *porcam*; ut Hipponax,

Inter libamina & viſcera ferae porcae. (ἀγρίας χοίρου.)

& Sophocles, in Hercule in Taenaro, fabulâ Satyricâ:

[*Itaque cuſtodire oportet, velut porcam vinctam.*]?

Πτολεμαῖος δ' ὁ τῆς Αἰγύπτου βασιλεὺς, ἐν τῷ ἐνάτῳ τῶν Ἀπομνημονευμάτων· „Εἰς Ἄσσον, φησὶν, ἐπιδημήσαντί μοι οἱ Ἄσσιοι παρέστησαν χοῖρον,[1] ἔχοντα τὸ μὲν ὕψος δύο καὶ ἡμίσους πήχεων, ὅλον δ' ἄρτιον πρὸς τὸ μῆκος, τῇ χροιᾷ χιόνινον.[2] ἔφασάν τε, τὸν βασιλέα Εὐμένη τὰ τοιαῦτα ἐπιμελῶς ὠνεῖσθαι παρ' αὐτῶν, διδόντα τοῦ ἑνὸς δραχμὰς τετρακισχιλίας." Αἰσχύλος δὲ φησίν·

e Ἐγὼ δὲ χοῖρον καὶ μάλ' εὐθηλούμενον
τόνδ' ἐν γναθοῦντι[3] κριβάνῳ θήσω. τί γὰρ
ὄψον γένοιτ' ἂν ἀνδρὶ τοῦδε βέλτιον;

καὶ πάλιν·

Α. Λευκός; Β. Τί δ' οὐχί; καὶ καλῶς ἠφευμένος
ὁ χοῖρος. Α. Ἕψου, μηδὲ λυπηθῇς[4] πυρί.

ἐπὶ Ταιναρίοις τοιγαρώδη φύλαξαι χοῖρος ὥς τε δεσμίαν. Sophoclis verſum ſic corrigit Toup: Ὧδι φυλάξω χοῖρον ὥστε δεσμίαν. 1 χοῖρον υἱὸν ἔχοντα edd. cum ms. *A*. Forſ. χοῖρον ὕειον, ἔχοντα &c. 2 χιόνιον ex ſuo ms. *Ep*. laudat Caſaub. 3 ἐν νοθοῦντι vulgo. 4 λυπηθεὶς edd. An λυπηθῇ?

Ptolemaeus vero, Aegypti rex, nono libro Commentariorum, ſic ſcribit: »Cum Aſſi verſaremur, obtulerunt nobis Aſſii porcum, cui erat altitudo duorum cubitorum cum dimidio, & totum corpus congruens illi ſtaturae, color autem niveus. Narrabantque, Eumenem haec talia animantia ſtudioſe apud ipſos emere, & quater mille drachmas pro unoquoque ſolvere.« Aeſchylus vero ait:

Ego vero porcellum hunc optime nutritum
in crepitantem furnum inſeram. Quodnam enim
obſonium, quam hoc, melius eſſe viro poſſit?

Et rurſus:

A. *Albus-ne eſt?* B. *Quidni? & recte aduſtus*
porcellus. A. *Elixa nunc; nec tibi ignis ſit moleſtus.* [ſive, *nec vero laedatur ab igne.*]

καὶ ἔτι·

Θύσας δὲ χοῖρον τόνδε, τῆς αὐτῆς ὑὸς,
ἣ πολλά γ' ἐν δόμοισιν εἴργασται κακὰ,
δονοῦσα καὶ τρέπουσα τύρβ' ἄνω κάτω.

Ταῦτα δὲ παρέβετο Χαμαιλέων ἐν τῷ Περὶ Αἰσχύλου. f

XVIII. Sus religiose culta apud Cretenses.

Περὶ δὲ ὑῶν, ὅτι ἱερόν ἐστι τὸ ζῶον παρὰ Κρησὶν, Ἀγαθοκλῆς ὁ Βαβυλώνιος, ἐν πρώτῳ Περὶ Κυζίκου, φησὶν οὕτως· „Μυθεύουσιν ἐν Κρήτῃ γενέσθαι τὴν Διὸς τέκνωσιν ἐπὶ τῆς Δίκτης, ἐν ᾗ καὶ ἀπόῤῥητος γίνεται θυσία. λέγεται γὰρ ὡς ἄρα Διὶ [1] θηλὴν ὑπέσχεν a ὗς· καὶ τῷ σφετέρῳ γρυσμῷ περισιχνέουσα [2] τὸν κυζηθμὸν [3] τοῦ βρέφους ἀνεπαίστον τοῖς παροῦσιν [4] ἐτίθει. διὸ πάντες τὸ ζῶον τοῦτο περίσεπτον ἡγοῦνται, καὶ οὐ, φησὶ, [5] τῶν κρεῶν δαίσαιντο. Πραίσιοι δὲ καὶ

1 Deeſt Διΐ edd. 2 περιϊχνεῦσα edd. cum ms. *A.* περιοιχνεῦσα ms. *Ep.* 3 κνυζισμὸν ms. *A.* cum edd. 4 παριοῦσιν Euſtath. 5 καὶ οὗς φησιν Ms. & ed. Ven. & Baſ. Inde καὶ ὑός φησιν ed. Caſ. & dein οὐ δαίσαιντο.

& iterum:

Mactans hunc porcellum, eâdem ſue natum,
quae multa in aedibus mala fecit,
quatiens vertensque mixtim omnia ſurſum deorſum.

Haec teſtimonia adpoſuit Chamaeleon in commentario de Aeſchylo.

18. Eſſe vero *ſuem, ſacrum animal apud Cretenſes*, Agathocles Babylonius, primo libro de Cyzico, tradit his verbis. » Fabulantur, inquit, in lucem editum eſſe Iovem in Creta in Dicta monte, in quo etiam ſacrum peragitur arcanum. Narrant enim, ubera Iovi praebuiſſe ſuem: & circumcurſantem effeciſſe grunnitu ſuo, ut, qui acceſſiſſent, vagitum infantis non exaudirent. Quam ob cauſam religioſe colendum hoc animal cenſent; & nullâ conditione, inquit, de eius carne comederint. Praeſii vero etiam ſa-

ἱερὰ ῥέζουσιν οἱ, καὶ αὐτὴ [1] προτελὴς αὐτοῖς ἡ θυσία νενόμισται." Τὰ παραπλήσια ἱστορεῖ καὶ Νεάνθης ὁ Κυζικηνὸς, ἐν δευτέρῳ Περὶ Τελετῆς. Πεταλίδων [2] συῶν μνημονεύει Ἀχαιὸς ὁ Ἐρετριεὺς ἐν Αἴθωνι Σατυρικῷ, λέγων οὕτως· „Πεταλίδων δέ τοι συῶν μορφαῖς b ταῖσδε πόλλ' ἐπαίσιον." Πεταλίδας δ' αὐτὰς εἴρηκε, μεταφέρων ἀπὸ τῶν μόσχων. οὗτοι γὰρ πέτηλοι [3] λέγονται ἀπὸ τῶν κεράτων, ὅταν αὐτὰ ἐκπέταλα ἔχωσι. Παραπλησίως δὲ τῷ Ἀχαιῷ καὶ Ἐρατοσθένης ἐν Ἀντερινναΐ, τοὺς σύας λαρινοὺς προσηγόρευσε, μεταγαγὼν καὶ αὐτὸς ἀπὸ τῶν λαρινῶν βοῶν· οἱ οὕτως ἐκλήθησαν, ἢ ἀπὸ τοῦ λαρινεύεσθαι· (ὅπερ ἐστὶ σιτίζεσθαι. Σώφρων· „βόες δὲ λαρινεύονται.") ἢ ἀπό τινος κώμης Ἠπειρωτικῆς Λαρίης, ἢ ἀπὸ τοῦ βουκο- c λοῦντος αὐτάς· Λαρῖνος δ' οὗτος ἐκαλεῖτο. Vitulus, πεταλίς: & bos, λαρινός.

Εἰσαχθέντος δὲ ἡμῖν ποτε καὶ δέλφακος, οὗ τὸ XIX.

1 αὕτη utique malim. 2 Temere Τῶν πεταλίδων ed. Casaub. 3 πέταλοι edd.

cra faciunt sui: & hoc apud illos sacrificium *ante nuptias* veteri instituto celebratur.« Paria his narrat Neanthes Cyzicenus, secundo libro de Mysteriis. *Petalidum suum* meminit Achaeus Eretriensis in Aethone Satyrico, his verbis: *De petalidis suibus, quibus hae formae essent, saepe audivi.* Dixit autem *petalidas*, nomine a vitulis translato; qui *petali* dicuntur a cornibus, quum ea iam explicata habent. Simili vero ratione, ut Achaeus petalidas, sic Eratosthenes in Anterinnye, *larinas* adpellavit *sues*, translato nomine a *larinis bobus:* qui ita dicti sunt sive a verbo λαρινεύεσθαι, (quod *saginari* sonat. Sophron: *boves vero* λαρινεύονται, *saginantur.*) sive ab aliquo Epiri vico, *Lariná;* sive a bubulco, cui *Larinus* fuerit nomen.

19. Cum deinde nobis illatus fuisset porcellus soler-

Porcellus, idem partim assus, partim elixus.

μὲν ἥμισυ κραμβαλέον ἦν ἐπιμελῶς πεποιημένον, τὸ δέ τι ἥμισυ ὡς ἂν ἐξ ὕδατος ἡψημένον ταχερῶς· καὶ πάντων θαυμαζόντων τοῦ μαγείρου τὴν σοφίαν, μέγα φρονῶν ἐκεῖνος ἐπὶ τῇ τέχνῃ, ἔφη· Ἀλλὰ μὴν οὐδὲ τὴν σφαγὴν ἔχει τις ὑμῶν ἐπιδεῖξαι ὅπου ἐγένετο, ἢ πῶς αὐτοῦ ἡ γαστὴρ πεπλήρωται παντοίων ἀγαθῶν. καὶ γὰρ κίχλας ἐν ἑαυτῷ ἔχει, καὶ ἄλλα ὀρνίθια, ὑπογαστρίων τε μέρη χοιρείων [1] καὶ μήτρας τόμους, καὶ τῶν ᾠῶν τὰ χρυσᾶ, ἔτι δὲ ὀρνίθων γαστέρας [2] αὐ- d ταῖσι μήτραις καὶ καλῶν ζωμῶν πλέας, [3] καὶ τὰ ἐκ τῶν σαρκῶν [4] εἰς λεπτὰ κατακνιζόμενα καὶ μετὰ περιδῶν συμπλαττόμενα· ἰσίκια γὰρ ὀνομάζειν αἰδοῦμαι τὸν Οὐλπιανόν, καίπερ αὐτὸν εἰδὼς ἡδέως αὐτοῖς χρώμενον. πλὴν ὁ ἐμός γε συγγραφεὺς Πάξαμος τῶν ἰσικίων μέμνηται, καὶ οὔ μοι Φροντὶς Ἀττι-

1 χοίρων edd. & ms. *A*. 2 γαστέρες edd. 3 πλέες vulgo. 4 ἐκ σαρκῶν ms. *Ep*.

ter paratus, cuius dimidia quidem pars assa erat, altera vero pars molliter elixa, veluti ex aqua modo essset exemta; mirantibus cunctis coqui solertiam, ille magnos sibi spiritus ob artis peritiam sumens, ait: Atqui nemo vestrûm ostendere potis erit qua parte iugulatus sit porcellus, aut quo pacto venter eius bonis rebus omnis generis fuerit repletus. Nam & turdis farctus est, & aliis aviculis, & particulis suminum suillorum & vulvarum, & ovorum aurea parte, praeterea gallinarum ventribus cum ipsarum vulvis, exquisito iusculo perfusis; denique istis ex vario carnium genere minutim concisis & multo cum pipere confictis: quae *isicia* nominare (tamquam graeco vocabulo) Ulpiani caussâ non audeo, quamquam non ignoro libenter eum his vesci. Verumtamen meus auctor Paxamus *isiciorum* meminit, neque ego curo Atticorum loquendi usum. Vos

κῶν χρήσεων. Ὑμεῖς οὖν ἐπιδείξατε, πῶς τε ὁ χοῖρος ἐσφάγη, καὶ πῶς ἐξ ἡμισείας μέν ἐστιν ὀπτὸς, ἑψὸς
e δὲ κατὰ θάτερα. Ἔτ' οὖν ἡμῶν ἀναζητούντων, ὁ μάγειρος ἔφη· Ἀλλ' ἢ [1] νομίζετέ με ἔλαττον πεπαιδεῦσθαι τῶν ἀρχαίων ἐκείνων μαγείρων, περὶ ὧν οἱ κωμῳδιοποιοὶ λέγουσιν; Ποσείδιππος μὲν ἐν Χορευούσαις· μάγειρος δ' ἐστὶν ὁ λέγων πρὸς τοὺς μαθητὰς τάδε·

XX.

Arrogantia multum valet in arte.

Μαθηταὶ, Λεύκων, οἵ τε συνδιάκονοι
ὑμεῖς· ἅπας γάρ ἐστιν οἰκεῖος τόπος
ὑπὲρ τέχνης λαλεῖν τι. τῶν ἡδυσμάτων
πάντων κράτιστόν ἐστιν ἐν μαγειρικῇ
f ἀλαζονεία. τὸ καθόλου δὲ τῶν τεχνῶν 5
ὄψει [νόον γ'] [2] ἔχοντι τοῦθ' ἡγούμενον.
Ξεναγὸς οὗτος, ὅστις ἂν θώρακ' ἔχῃ
Φολιδωτὸν, ἢ δράκοντα σεσιδηρωμένον,

1 ἀλλ' εἰ edd. ἀλλ' ἢ Ms. 2 ὄψεις δ' ἔχοντι vulgo. ὄψει τὸν εὖ ἔχοντα τοῦθ' Grot.

igitur oſtendite, quo pacto iugulatus ſit porcus, & quomodo ex altera parte aſſatus fuerit, ex altera vero elixus. Haec ergo dum nos inquirebamus, interim coquus: An igitur, inquit, minus me doctum vos putatis, quam fuere veteres illi coqui, de quibus verba faciunt comici poëtae? In his Poſidippus, in Saltantibus; ubi coquus, diſcipulos ſuos adloquens, haec dicit:

20. *Diſcipule Leuco, & comminiſtri caeteri,*
(namque ad colloquia de arte nullus eſt locus
alienus) quodnam condimentorum omnium
eſſe in culina praecipuum cenſebimus?
Faſtum profecto. Cunctis quippe in artibus
videas id habentes principem adipiſci locum.
En, hic tribunus, dum draconem ferreum
oſtentat, & loricâ ſquammatâ nitet,

ἐΦάνη Βριάρεως· ἂν τύχῃ δ', ἐστὶ λαγώς.
Ὁ μάγειρος ἐὰν μὲν ὑποδιακόνους ἔχων
πρὸς τὸν ἰδιώτην, καὶ μαθητὰς, εἰσίῃ,
κυμινοπρίστας πάντας ἢ λιμοὺς καλῶν, [1] a
ἔπτηξ' [2] ἕκαστος εὐθύς. ἐὰν δ' ἀληθινὸν
σαυτὸν παραβάλλῃς, καὶ προσεκδαρεὶς ἄπει.
Ὅπερ οὖν ὑπεθέμην, τῷ κενῷ χώρᾳν δίδου,
καὶ τὰ στόμια [3] γίνωσκε τῶν κεκλημένων.
ὥσπερ γὰρ εἰς τἀμπόρια, τῆς τέχνης πέρας
τοῦτ' ἔστιν, ἂν εὖ προσδράμῃς πρὸς τὸ στόμα.
Διακονοῦμεν νῦν γάμους. τὸ θῦμα, βοῦς·
ὁ διδούς, ἐπιΦανής· ἐπιΦανὴς ὁ λαμβάνων· 20 b
τούτων γυναῖκες, ἱέρειαι τῇ θεᾷ· [4]
κορύβαντες, αὐλοὶ, πανυχίδες, ἀναστροΦή.
ἱππόδρομος οὗτος ἔστι σοι μαγειρικῆς.

1 καλῶς vulgo. 2 ἐπίτηξ' vulgo. 3 στόματα malebat Casaub.
4 Forſ. τῇ θεῷ. Inſerunt h. l. θεοὶ edd. cum Ms.

Briareus videtur: ad rem cum ventum eſt, lepus.
Ita cum miniſtris atque diſcipulis coquus
ſi veniet ad plebeium, &, quosquos repererit,
cuminiſectores ac famelicos vocet,
ſtatim omnes illum metuunt. Sin ſe ſimplicem
gerat ac modeſtum, fugiet contuſus probe.
Quare, quod te monebam, ſequere inania,
& convivarum ut ora cognoſcas vide.
Nam plane extrema noſtrae eſt artis linea,
quaſi circa portum, rectà in os incurrere.
Damus nunc operam nuptiis: bos victima eſt:
illuſtris ſocer eſt; eſt & illuſtris gener:
horum matronae flaminicae ſunt Palladis:
corybantes adſunt, pervigilia, tibiae,
tumultus. Plane circus hic noſtrae artis eſt.

μέμνησο καὶ σὺ τουτί. —

Καὶ περὶ ἑτέρου δὲ μαγείρου (ὄνομα δέ ἐστι Σεύθης) ὁ αὐτός φησι ποιητὴς οὕτως·

— Ἰδιώτης [1] μέγας
αὐτοῖς ὁ Σεύθης. οἶσθα δ', [2] ὦ βέλτιστ', ὅτι ἀγαθοῦ στρατηγοῦ διαφέρειν οὐθὲν [3] δοκεῖ. οἱ πολέμιοι πάρεισιν· ὁ βαθὺς τῇ Φύσει στρατηγὸς ἕστηκεν, [4] τὸ πρᾶγμ' ἐδέξατο.
Πολέμιός ἐστι πᾶς ὁ συμπίνων ὄχλος. κινεῖ [5] γὰρ ἀθρόως οὗτος· εἰσελήλυθεν, ἐκ πεντεκαίδεχ' ἡμερῶν προηλπικὼς [6] τὸ δεῖπνον, ὁρμῆς μεστὸς, ἐκλελυμένος, τηρῶν πότ' ἐπὶ τὰς χεῖρας οἴσει τις. νόει ὄχλου τοιούτου ῥαχίαν [7] ἠθροισμένην. [8]

Conviva-rum turba hoſtilis.

1 ἔφη inſerit ed. Caſaub. 2 Deeſt δ' vulgo. οἶσθας corr. Pierſ. 3 οὐδὲν edd. & ms. *Ep.* 4 Vulgo ἕστηκεν καὶ. Poterat & ἐστὶν καὶ corrigi. 5 πίνει vulgo. 6 προσηλπικὼς edd. 7 ῥαχείαν edd. ῥαχίαν Ms. τὴν στρατιὰν corr. Grot. 8 Forſ. ἠθροισμένου.

Fac tu quoque id memineris. —

Tum & de alio coquo, cui nomen Seuthes, ſic loquitur idem poëta:

— *Imperitus admodum*
eſt illorum iudicio Seuthes. At noſti tu, vir optime,
a bono imperatore nil eum videri differre.
Adſunt hoſtes: alti ingenii dux
ſtat contra, & belli molem ſuſtinet.
Hoſtium vice eſt omnis convivantium turba.
Progreditur illa confertim; intratque,
poſtquam die abhinc quinto decimo ſpe anticipavit
coenam, impetus plena, fame enecta,
exſpectans quando tandem venturus ſit qui aquam manibus infundat. Cogita
talis turbae aeſtuationem (hîc) *conveniſſe.*

XXI. Coquus carbones devorans.

Ὁ δ' ἐν τοῖς Εὐφρονος Συνεφήβοις μάγειρος, d
ἀκούσατε οἷα παραινεῖ·

Ὅταν ἐρανισταῖς, Καρίων, διακονῇς,
οὐκ ἔστι παίζειν, οὐδ' ἃ μεμάθηκας ποιεῖν.
Ἐχθὲς κεκινδύνευκας. οὐδεὶς εἶχέ σοι
κωβιὸς ὅλως γὰρ ἦπαρ, ἀλλ' ἦσαν κενοί·
ἐγκέφαλος ἠλλοίωτο. Δεῖ δέ, Καρίων, 5
ὅταν μὲν ἔλθῃς εἰς τοιοῦτον συρφετὸν,
Δρόμωνα, καὶ Κέρδωνα, καὶ Σωτηρίδην,
μισθὸν διδόντας ὅσον ἂν αἰτήσαις, ἁπλῶς
εἶναι δίκαιον· οὗ δὲ νῦν βαδίζομεν, e
εἰς τοὺς γάμους, ἀνδροφόνον. ἂν τοῦτ' αἰσθάνῃ, 10
ἐμὸς εἶ μαθητὴς, καὶ μάγειρος οὐ κακός.
ὁ καιρὸς εὐκτός· ὠφελοῦ. φιλάργυρος
ὁ γέρων· ὁ μισθὸς μικρός· εἴ σε λήψομαι
νῦν μὴ κατεσθίοντα καὶ τοὺς ἄνθρακας,

21. Sed Euphronis ille in Synephebis coquus audite quid moneat:

Ubi eraniſtis operam tuam locas, Carion,
non licet ludere, nec quae didiciſti facere.
Heri periculum adiiſti: nam ex omnibus tuis gobiis
nullus omnino hepar habuit; vacui erant;
& cerebrum alteratum. At oportet te, Carion,
cum ad triviales huiusmodi homines acceſſeris,
Dromonem, & Cerdonem, & Soteridem,
mercedem tibi dantes quantam poſtulaſti, plane
eſſe iuſtum: quo vero nunc imus,
ad nuptias, ibi homicidam. Id ſi tu intelligis,
meus es diſcipulus, & coquus non malus.
Occaſio exoptata: tu illâ utere! avarus eſt
ſenex; merces exigua. Si nunc te non
reperero ipſos etiam carbones devorantem,

ἀπόλωλας. εἴσω (πάραγε). [1] καὶ γὰρ αὐτὸς οὑ-
τοσὶ
προσέρχεθ' ὁ γέρων. ὡς δὲ καὶ γλίσχρον βλέπει!

XXII.

Coquus, iactantiâ nil inferior Medicis.

f Μέγας δ' ἐστὶ σοφιστὴς, καὶ οὐδὲν ἧττων [2] τῶν ἰατρῶν εἰς ἀλαζονείαν, καὶ ὁ παρὰ Σωσιπάτρῳ μάγειρος ἐν Καταψευδομένῳ, λέγων ὧδε·

Α. Οὐ παντελῶς εὐκαταφρόνητος ἡ τέχνη
ἂν [3] κατανοήσῃς, ἐστὶν ἡμῶν, Δήμυλε.
Ἀλλὰ πέπλυται [4] τὸ πρᾶγμα, καὶ πάντες σχεδὸν
εἶναι μάγειροί φασιν, οὐθὲν εἰδότες.
ὑπὸ τῶν τοιούτων δ' ἡ τέχνη λυμαίνεται.

a Ἐπεὶ, μάγειρον ἐὰν λάβῃς ἀληθινὸν,
ἐκ παιδὸς ὀρθῶς εἰς τὸ πρᾶγμ' εἰσηγμένον,
καὶ τὰς δυνάμεις κατέχοντα, καὶ τὰ μαθήματα
ἅπαντ' ἐφεξῆς εἰδότ', ἕτερόν σοι τυχὸν
φανήσεται τὸ πρᾶγμα. τρεῖς ἡμεῖς ἐσμὲν

1 Verbum e gloſſa in contextum illatum. 2 Deeſt ἧττων Ms. & ed. Ven. & Baſ. 3 ἐὰν vulgo. 4 πέπαυται vulgo.

periiſti. Abi intro! nam ecce iam ipſe
advenit ſenex: quam tenaci vultu eſt!

22. Magnus vero etiam ſophiſta, & Medicis iactantiâ nihilo inferior ille eſt apud Soſipatrum coquus, in Mendace, qui ita loquitur.

A. *Nequaquam vero habenda deſpicatui*
ars noſtra eſt, Demyle, recte ſi conſideres.
Sed proſtituitur res haec; atque omnes fere
coquos profitentur ſeſe, cum norint nihil:
corrumpit artis gloriam hoc hominum genus.
At ſi reperias verinominem coquum,
ad hoc eductum prima abusque aetatula,
qui vires rerum teneat, qui omnes didicerit
bene diſciplinas; longe alia, credo, tibi
res apparebit. Soli tres ſuperſtites

μόνον [1] ἔτι λοιποὶ, Βοϊδίων, καὶ Χαριάδης,
ἐγώ τε. τοῖς λοιποῖς δὲ προσπέρδου. Β. Τί φής;
Sicon coquus, artes omnes docens. Α. Ἐγώ. Τὸ διδασκαλεῖον ἡμεῖς σώζομεν
τὸ Σίκωνος. οὗτος τῆς τέχνης ἀρχηγὸς ἦν. b
ἐδίδασκεν ἡμᾶς πρῶτον ἀστρολογεῖν, [Σίκων·] [2]
ἔπειτα μετὰ ταῦτ' εὐθὺς ἀρχιτεκτονεῖν.
περὶ Φύσεως κατεῖχε πάντας τοὺς λόγους·
ἐπὶ πᾶσι τούτοις ἔλεγε τὰ στρατηγικά.
πρὸ τῆς τέχνης ἔσπευδε ταῦθ' ἡμᾶς μαθεῖν.
Β. Ἆρα σύ με κόπτειν οἷος εἶ γε, φίλτατε.
Α. Οὐκ, ἀλλ' ἐν ὅσῳ προσέρχετ' ἐξ ἀγορᾶς ὁ παῖς,
μικρὰ διακινήσω σε περὶ τοῦ πράγματος, c
ἵνα τῷ λαλεῖν λάβωμεν εὔκαιρον χρόνον.
Β. Ἄπολλον, ἐργώδης. [3] Α. Ἄκουσον, ὦ 'γαθέ.
Δεῖ τὸν μάγειρον εἰδέναι πρώτιστα μὲν

1 Deeſt μόνον vulgo. 2 Deeſt vox vulgo. κακῶς coni. Caſaub.
3 ἐργῶδες vulgo. Inde ὡς ἐργῶδες corr. Caſaub.

hodie reſtamus, Boïdion, & Chariades,
atque ego: licebit aliis oppedas. B. *Ain'?*
A. *Aio. Siconis nunc ſtat in nobis ſchola,*
artis qui ſolidae primus inventor fuit.
Sidereos curſus primum nos docuit Sicon;
exinde normas architectales dedit;
ſermo poſt illa de omni natura fuit;
poſtremo explicuit artem induperatoriam:
diſcere nos voluit haec ante coquinariam.
B. *Ut video, me enecare propoſitum eſt tibi.*
A. *Nequaquam: ſed, dum redeat e foro puer,*
paullum mea in hac re ſpatiabitur oratio,
vacuum ad loquendum tempus ne fruſtra effluat.
B. *Valde impiger tu certe es.* A. *Audi caetera.*
Inprimis ſcire oportet inſignem coquum

περὶ τῶν μετεώρων, τάς τε τῶν ἄστρων δύσεις,
καὶ τὰς ἐπιτολὰς, καὶ τὸν ἥλιον, πότε
ἐπὶ τὴν μακράν τε καὶ βραχεῖαν ἡμέραν
ἐπάνεισι, καὶν ποίοισιν ἐστὶ ζωδίοις.
τὰ γὰρ ὄψα Φασὶ πάντα καὶ τὰ βρώματα
d ἐν τῇ περιΦορᾷ τῆς ὅλης συντάξεως
ἑτέραν ἐν αὐτοῖς λαμβάνειν τὴν ἡδονήν.
ὁ μὲν οὖν κατέχων τὰ τοιαῦτα, τὴν ὥραν ἰδὼν,
τούτων ἑκάστοις ὡς προσῆκε χρήσεται·
ὁ δ' ἀγνοῶν ταῦτ', εἰκότως τυντλάζεται.
Πάλιν τὸ περὶ τῆς ἀρχιτεκτονικῆς ἴσως
ἐθαύμασας, τί τῇ τέχνῃ συμβάλλεται;
Β. Ἐγὼ δ' ἐθαύμασ'. Α. Ἀλλ' ὅμως ἐγὼ Φράσω.
Τοὐπτάνιον [1] ὀρθῶς καταβαλέσθαι, καὶ τὸ Φῶς
e λαβεῖν [2] ὅσον δεῖ, καὶ τὸ πνεῦμ' ἰδεῖν πόθεν
ἐστὶν, μεγάλην χρείαν τιν' εἰς τὸ πρᾶγμ' ἔχει.

1 τοὐπτανεῖον edd. & ms. *Ep.* τοὐπτάνειον Ms. 2 λαμβάνειν vulgo.

lapsus aetherios, quando sidera occidant,
quando exoriantur, quo sol summo tempore
productos faciat atque contractos dies,
quibus signiferi se teneant partibus.
Namque, ut docemur, pisces & quicquid cibi est,
prout universi moles circumvolvitur,
alias atque alias in se delicias habent.
Haec si quis norit, ut videbit tempora,
ita illis recte utetur ex usu suo:
at, qui ista nescit, is merito risum debet.
At forte, scientia architectalis magis
arti quid nostrae conferat, miraberis.
B. *Equidem mirabar.* A. *Id nunc aperibo tibi.*
Culinam recte constituere, luminis
quantum opus est capere, venti unde afflent cernere,
perconducibile nostrum est ad negotium.

ὁ καπνὸς Φερόμενος δεῦρο κἀκεῖ διαΦορὰν
εἴωθε τοῖς ἔψουσιν ἐμποιεῖν τινα.
[Τί οὖν] [1] ἔτι σοι δίειμι τὰ στρατηγικὰ
ἔχειν γε [2] τὸν μάγειρον; Ἡ τάξις, σοΦὸν [3]
ἀπανταχοῦ μέν ἐστι [4] κἀν πάσῃ τέχνῃ,
ἐν τῇ καθ' ἡμᾶς δ' ὥσπερ ἡγεῖται [5] σχεδόν. f
τὸ γὰρ παραθεῖναι κἀΦελεῖν τεταγμένως
ἕκαστα, καὶ τὸν καιρὸν ἐπὶ τούτοις ἰδεῖν,
πότε δεῖ πυκνότερον ἐπαγαγεῖν, καὶ πότε βάδην,
καὶ πῶς ἔχουσι πρὸς τὸ δεῖπνον, καὶ πότε
εὔκαιρον αὐτῶν ἐστι τῶν ὄψων τὰ μὲν
θερμὰ παραθεῖναι, τὰ δ' ἐπανέντα, τὰ δὲ μέσως,
τὰ δ' ὅλως ἀποψύξαντα· ταῦτα πάντα δὴ
ἐν τοῖς στρατηγικοῖσιν ἐξετάζεται 55 a

1 Τοιοῦτον ἔτι vulgo. Τοῖον ἔτι corr. Adam. Versum sic concinnavit Grotius:

B. Τί δεῖ δῆ, δέομαί σου, ἔτι τὰ στρατηγικὰ &c.

2 ἔχω γε Ms. 3 σοφὸν ad vers. seq. referunt edd. ut in fine defectus sit hic versus, ubi ἡ τάξις σαφῶς ex coni. supplent viri docti. 4 σοφὸν μὲν ἀπανταχοῦ ἐστι edd. ubi corrigunt ἀπανταχοῦ 'στι. 5 ἡγεῖτο Ms.

Ut huc aut illuc volitat, differentiam
adferre fumus adsolet coquentibus.
B. *Quid ergo, te precor, & artem tacticam*
opus est coquum callere? A. *Nempe ordo ubilibet*
& in arte quavis plena res sapientiae est:
at in arte nostra is ordo ducit ordinem.
Adferre missus, atque auferre denuo,
& in his spectare verum articulum temporis,
quando ferendi citius, quando lentius,
qualis quáque horâ sit convivantium gula,
quae obsonia mensis inferenda fervida,
& quae remissa, quae rursus medioxima,
quae frigefacta penitus: nimirum omnia
haec continentur, inquam, in arte tactica.

μαθήμασιν. [B. Τί δ' εἶτα;] [1] παραδείξας ἐμοὶ
τὰ δέοντ', ἀπελθὼν αὐτὸς ἡσυχίαν ἄγε.

Καὶ ὁ παρὰ τῷ Ἀλέξιδι δέ, ἐν Μιλησίοις,[2] μάγειρος οὐ μακρὰν τούτου ἐστὶ, λέγων τοιάδε· XXIII.

A. Οὐκ ἴστε, ταῖς πλείσταισι τῶν τεχνῶν ὅτι
οὐκ ἀρχιτέκτων κύριος τῆς ἡδονῆς
μόνος καθέστηκ', ἀλλὰ καὶ τῶν χρωμένων
συμβάλλεταί τις, ἂν καλῶς χρῶνται, μερίς;
b B. Οἷόν τι; δεῖ γὰρ κἀμὲ τὸν ξένον μαθεῖν.
A. Τὸν ὀψοποιὸν σκευάσαι χρηστῶς μόνον
δεῖ τοῦτον, ἄλλο δ' οὐδέν. ἂν μὲν οὖν τύχῃ
ὁ ταῦτα μέλλων ἐσθίειν τε καὶ κρίνειν
εἰς καιρὸν ἐλθὼν, ὠφέλησε τὴν τέχνην.
ἂν δ' ὑστερίζῃ τῆς τεταγμένης ἀκμῆς,
ὥστ' ἢ προσπτήσαντα χλιαίνειν πάλιν,

1 Τίς δή τι παραδ. edd. cum Ms. Σὺ δῆτα παραδ. corr. Casaub. Τί δῆτα. B. Παραδείξας ἐμοὶ &c. corrigebat Adamus. 2 Alibi ἐν Μιλεσίᾳ.

B. *Quid ergo fupereſt, niſi, cum me iam docueris*
quicquid neceſſe eſt, vivas ipſe in otio.

23. Iam rurſus & is, qui ab Alexide in Mileſiis [*ſive*, Mileſia] coquus inducitur, haud multum ab iſto differt. Loquitur autem in hunc modum:

A. *Neſcitis evenire id plerisque artibus,*
ut in architecti non ſit unius ſita
manu voluptas; ſed ad hanc utentes quoque,
ſi recte utantur, partem contribuant ſuam?
B. *Quale illud? ut hoſpes aliquid addiſcam, face.*
A. *Coquere & condire recte, id officium eſt coqui:*
nihil praeterea. Si, qui eſurus eſt, adeſt
in tempore, artem pro parte adiuvit ſua.
Quod ſi hoc articulo citius venit aut ſerius,
ita ut, quod aſſum eſt, debeat recaleſcere,

ἢ μὴ προοπτήσαντα συντελεῖν ταχὺ,
ἀπεστέρησε τῆς τέχνης τὴν ἡδονήν.
Εἰς τοὺς σοφιστὰς τὸν μάγειρον ἐγγράφω.
ἑστήκαθ' ὑμεῖς· κάεται δέ μοι τὸ πῦρ· [1] 15 c
ἤδη πυκνοὶ δ' ἄττουσιν [2] Ἡφαίστου κύνες
κούφως πρὸς αἰθραν [3] οἶσθ' ὃ γίνεσθαί θ' ἅμα, [4]
καὶ τὴν τελευτὴν τοῦ βίου συνῆψέ τις
μόνοις ἀνάγκης θεσμὸς οὐχ ὁρώμενος.

XXIV. Εὔφρων δὲ, οὗ καὶ πρὸ βραχέως ἐμνήσθην, ἄνδρες δικασταὶ (δικαστὰς γὰρ ὑμᾶς οὐκ ὀκνήσαιμ' ἂν καλεῖν, ἀναμένων τὴν ὑμετέραν τῶν αἰσθητηρίων κρίσιν) ἐν τοῖς Ἀδελφοῖς τῷ δράματι, ποιήσας τινὰ μάγειρον πολυμαθῆ καὶ εὐπαίδευτον, μνημονεύοντά τε τῶν πρὸ d αὐτοῦ τεχνιτῶν, καὶ τίνα ἕκαστος εἶχεν ἰδίαν ἀρετὴν,

1 Post πῦρ vulgo non distinguunt, sed post ἤδη. 2 δ' ἄττουσιν ed. Baſ. & Caſ. 3 Videntur multa intercidiſſe. 4 Verſum ſic concinnandum propoſuit Caſaub. κοῦφοι πρὸς αἰθέρ', ἅμ' εἶπα, γίγνεταί θ' ἅμα.

aut, quod non aſſum eſt, conſummari celeriter,
ſpoliavit artem delectandi gratiâ.
Sophiſtarum in claſſe coquum ego cenſeo.
Statis vos: accenditur mihi ignis:
iamque frequentes proſiliunt Vulcani canes
leviter ad coelum. † Scis quid ſimul fiat: [?]
& finem vitae (nobis) *deſtinavit ſolis*
neceſſitatis quaedam lex improviſa.

24. Euphron vero, cuius etiam paulo ante mentionem feci, iudices! (*iudices* enim quin vos adpellem non debeo cunctari, quoniam veſtrorum ſenſuum iudicium exſpecto) in fabulâ, cui Fratres titulus, coquum inducens multiſcium & probe eruditum, qui & artifices qui ante eum fuerunt commemorat, & quae cuiusque propria virtus fuerit, quâve in re excelluerit, docet,

καὶ ἐν τίνι ἐπλεονέκτει, ὅμως οὐδενὸς ἐμνήσθη τοιούτου, ὧν ἐγὼ ὑμῖν πολλάκις τυγχανω παρασκευαζων. λέγει δ' οὖν οὕτως·

Πολλῶν μαθητῶν γενομένων ἐμοὶ, Λύκε, Septem alteri Sapientes.
διὰ τὸ νοεῖν ἀεί τι καὶ ψυχὴν ἔχειν,
ἄπει γεγονὼς μάγειρος ἐκ τῆς οἰκίας
ἐν οὐχ ὅλοις δέκα μησὶ, πολὺ νεώτατος.
e Ἄγις Ῥόδιος ὤπτησεν ἰχθῦν μόνος ἄκρως· 5
Νηρεὺς δ' ὁ Χῖος γόγγρον ἥψε τοῖς θεοῖς·
θρίον τὸ λευκὸν οὐ ξ Ἀθηνῶν Χαριάδης.
ζωμὸς μέλας ἐγένετο πρώτῳ Λαμπρίᾳ.
ἀλλᾶντας Ἀφθόνητος, Εὔθυνος Φακῆν,
ἀπὸ συμβολῶν συνάγουσιν Ἀριστίων [1] πόρους. 10
Οὗτοι μετ' ἐκείνους τοὺς σοφιστὰς τοὺς πάλαι
γεγόνασιν ἡμῶν ἑπτὰ, δεύτεροι σοφοί.
f Ἐγὼ δ' ὁρῶν τὰ πολλὰ προκατειλημμένα

1 Ἀρίστων ed. Ven. & Baſ. cum Ms.

tamen nullius talis artificii mentionem fecit, qualia ſaepe vobis ego a me parata adpono. Loquitur autem ad hunc modum:

Multi quum mihi fuerint diſcipuli, Lyce,
quia ſemper excogitavi aliquid, mentemque habui;
tu domo mea exis perfectus coquus
intra minus decem menſes, cum ſis omnium natu minimus.
Agis Rhodius piſces aſſavit unus omnium exquiſitiſſime:
Nereus Chius congrum elixavit Diis;
album thrium Athenienſis Chariades.
Ius nigrum primo Lampriae debetur:
botulorum paratus Aphthoneto, lenticulae Euthyno.
Collatitiam facturis coenam conſuluit Ariſtion.
Hi poſt ſeptem illos priſcos
fuere nobis ſeptem alteri Sapientes.
Ego vero occupata videns pleraque,

Ars furandi a coquo inventa;

εὗρον τὸ κλέπτειν πρῶτος, [1] ὥστε μηδένα
μισεῖν με διὰ τοῦτ', ἀλλὰ πάντας λαμβάνειν. 15
Ὑπ' ἐμοῦ δ' ὁρῶν σὺ τοῦτο προκατειλημμένον,

& perfecta.

ἴδιον ἐφεύρηκάς τι, καὶ τοῦτ' ἐστὶ σόν.
Πέμπτην ἔθυον ἡμέραν οἱ Τήνιοι,
πολιοὶ γέροντες, πλοῦν πολὺν πεπλευκότες,
λεπτὸν ἔριφον καὶ μικρόν. οὐκ ἦν ἐκφορὰ 20 a
Λύκῳ τότε [2] κρεῶν, οὐδὲ τῷ διδασκάλῳ.
ἑτέρους πορίσασθαι δ' ἐρίφους ἠνάγκασας·
τὸ γὰρ ἧπαρ αὐτῶν πολλάκις σκοπουμένων, [3]
καθεὶς κάτω τὴν χεῖρα τὴν μίαν λαθὼν
ἔρριψας εἰς τὸν λάκκον ἰταμῶς τὸν νεφρόν. 25
πολὺν ἐποίησας [4] θόρυβον. οὐκ ἔχει [5] νεφρὸν,
ἔλεγον. [6] ἔκυπτον οἱ παρόντες ἀποβολῇ, b
ἔθυσαν ἕτερον. τοῦ δὲ δευτέρου πάνυ [7]

1 πρῶτον edd. 2 τότε λεύκῳ Ms. τό τε λευκοχρέων edd. 3 σκοτούμενον vulgo. 4 ἐποίησαν corr. Coray. 5 εἶχε vulgo. 6 ἔλεγες corr. Dalec. λέγων malebam. 7 πάλιν forsan.

furandi artem primus inveni, ita ut nemo
ob id mihi infensus esset, sed omnes operam locarent meam.
Tu vero hoc a me occupatum cernens,
proprium inveniſti quidpiam, quod tuum eſt.
Quinto abhinc die ſacrificarunt Tenii,
cani ſenes, longa navigatione defuncti.
Unus erat hoedus, isque exiguus. Nil inde carnium
ſurripere Lycus poterat, nec ſibi, nec magiſtro.
Tu eos coëgiſti duos hoedos alios praebere.
Nam quum illi diu hepar contemplarentur,
tu clam ſubtus demiſſa manu altera,
renem vafra audacia in foſſam proieciſti.
Multum excitabas tumultum. » Non habet renem «
dicebant. Demiſſo vultu aderant illi ob iacturam;
alterumque immolabant. Huius vero alterius

τὴν καρδίαν εἶδόν σε καταπίνοντ' ἐγώ.
Πάλαι μέγας [1] εἶ, γίνωσκε· τοῦ γὰρ μὴ χανεῖν λύκον διακενῆς σὺ μόνος εὕρηκας τέχνην.
Χορδῆς ὀβελίσκους ἡμέρας ζητουμένους δύ' ἐχθὲς [2] ὠμοὺς εἰς τὸ πῦρ ἀποσβέσας, καὶ πρὸς τὸ δίχορδον ἐτερέτιζες. ἠσθόμην
c ἐκεῖνο δρᾶμα, τοῦτο δ' ἐστὶ παίγνιον.

Proverb. *Lupus hiat frustra.*

XXV. Iuramentum *per Pugnatores ad Marathonem, &c.*

Μή τις οὖν τούτων τῶν δευτέρων ἑπτὰ σοφῶν ὀνομασθέντων τοιοῦτόν τι ἐπενόησε περὶ τοῦ χοίρου, πῶς καὶ τὰ ἐντὸς πεπλήρωται· καὶ τὸ μὲν, ὀπταλέον ἐστὶν αὐτοῦ· τὸ δὲ, ἑφθόν· αὐτὸς δὲ, ἔστιν ἄσφακτος. Δεομένων οὖν ἡμῶν καὶ λιπαρούντων δεικνύναι τὴν σοφίαν· Οὐκ ἐρῶ, φησὶ, τῆτες, μὰ τοὺς ἐν Μαραθῶνι κινδυνεύσαντας, καὶ προσέτι τοὺς ἐν Σαλαμῖνι ναυμαχήd σαντας. Ἔδοξεν οὖν πᾶσιν διὰ τὸν τηλικόνδε ὅρκον, μὴ

1 μάγος corr. Iacobs. 2 ἰχθῦς edd. Sed obſcura tota oratio.

ipſum etiam cor te vidi devorantem egomet.
Dudum tu magnus es; ſcito: quippe, ne hiet
lupus (λύκος) fruſtra, tu unus artem reperiſti.
[Chordae verucula die quaeſita
duo heri cruda in ignem abieciſti,
& ad dichordon adſtrepuiſti. Vidi
illud drama, hic vero luſus eſt.]

25. Numquis igitur ex alteris iſtis ſeptem Sapientibus, qui nominati ſunt, tale quidpiam excogitavit de porcello, quo pacto interiora corporis impleri potuerint, cum ne iugulatus quidem ſit; & quomodo altera pars aſſari potuerit, altera elixari? Rogantibus igitur nobis, inſtantibusque, ut ſuam illam nobis explicaret ſapientiam: Non dicam, inquit, hoc quidem anno; *per eos* iuro *qui ad Marathona discrimen Martis adierunt, perque eos qui navalem ad Salamina pugnarunt pugnam!* Quare nobis omnibus, ob tanti iurisiurandi religionem, viſum eſt

βιάζεσθαι τὸν ἄνθρωπον, ἐπ' ἄλλο δέ τι τῶν παραφερομένων τὰς χεῖρας ἐπιβάλλειν. καὶ ὁ Οὐλπιανὸς ἔφη· Μὰ τοὺς ἐν Ἀρτεμισίῳ κινδυνεύσαντας, οὐδεὶς τινὸς γεύσεται, πρὶν λεχθῆναι ποῦ κεῖται τὸ παραφέρειν. τὰ γὰρ γεύματα ἐγὼ οἶδα μόνος. Καὶ ὁ Μάγνος ἔφη· Ἀριστοφάνης, ἐν Προαγῶνι·

Verbum Παραφέρειν.

Τί οὐκ ἐκέλευσας παραφέρειν τὰ ποτήρια;

Σώφρων δ', ἐν Γυναικείοις, κατὰ κοινότερον κέχρηται, λέγων· „Παράφερε, [1] Κοικόα, [2] μεστὸν τὸν σκύφον." καὶ Πλάτων δ' ἐν Λάκωσιν ἔφη·

πάσας παραφερέτω. [3] —

Ἄλεξις, Παμφίλῃ·

Παρέθηκε τὴν τράπεζαν, εἶτα παραφέρων
ἀγαθῶν ἀμάξας.

Γεύματα. Περὶ δὲ τῶν γευμάτων, ἃ σαυτῷ προὔπιες, ὥρα

1 Περίφερε vulgo. 2 κύκλῳ edd. 3 περιφερέτω vulgo.

vim non facere homini, ſed alii cuipiam ex adpoſitis (τῶν παραφερομένων) manum iniicere. At Ulpianus: *Per hos qui ad Artemiſium periclitati ſunt!* inquit, nemo quidquam horum guſtabit, niſi prius nobis dictum fuerit, apud quem auctorem verbum παραφέρειν (iſtâ notione) poſitum reperiatur: nam de vocabulo γεύματα, ego ſolus cognitum habeo. Tum Magnus ait: Ariſtophanes, in Proagone:

Cur non iuſſiſti adponi pocula?

Sophron vero, in Mimis Muliebribus, communi magis notione uſus eſt: »*Adfer* (Παράφερε), inquit, *Coecoa, ſcyphum plenum.*« Sed rurſus Plato, in Laconibus, dixit:

Cunctas adponito. (παραφερέτω.)

Alexis, in Pamphila:

Poſuit menſam, dein impoſuit (παραφέρων)
rerum bonarum plauſtrum.

Quod vero ad Γεύματα pertinet, quae tute ipſe tibi pro-

σοι λέγειν, Οὐλπιανέ. τὸ γὰρ γεῦσαι ἔχομεν ἐν Εὐπόλιδι, ἐν Αἰξί·

Τοῦδε νῦν γεῦσαι λαβών. —

καὶ ὁ Οὐλπιανός· Ἔφιππος, ἔφη, ἐν Πελταστῇ·

f Ἔνθ' ὄνων ἵππων τε στάσεις, καὶ γεύματα οἴνων.

Ἀντιφάνης δ', ἐν Διδύμοις·

Οἰνογευστεῖ, περιπατεῖ ἐν τοῖς στεφάνοις.

XXVI.

Proverb. *Vapulat tibicen.*

Ἐπὶ τούτοις ὁ μάγειρος ἔφη· Λέξω τοίνυν κἀγὼ, οὐκ ἀρχαίαν ἐπίνοιαν, ἀλλ' εὕρεσιν ἐμήν· ἵνα μὴ ὁ αὐλητὴς πληγὰς λάβῃ· —(ὁ γὰρ Εὔβουλος, ἐν Λάκωσιν ἢ Λήδᾳ, ἔφη·

a (Ἀλλ') [1] ἠκούσαμεν καὶ τοῦτο, νὴ τὴν Ἑστίαν, οἵκοι ποθ', ὅσ' ἂν [2] ὁ μάγειρος ἐξαμαρτάνῃ, [3] τύπτεσθαι, ὡς φασιν, [4] ὁ αὐλητὴς παρ' ἡμῖν. [5]

1 Deeſt Ἀλλ' edd. 2 ὡς ἂν vulgo. 3 ἐξαμαρτάνοι edd. ἐξαμάρτῃ ms. *A*. 4 φησὶν vulgo. 5 Tres verſus ſic conſtituit Grotius:

Ἠκούσαμην καὶ τοῦτο, νὴ τὴν Ἑστίαν,
οἴκοι ποτ', ἂν ὁ μάγειρος ἐξαμαρτάνῃ,
ὡς φασὶν, αὐλητὴς παρ' ὑμῖν τύπτεται.

pinaſti, tibi nunc fuerit dicendum, Ulpiane: nam verbum quidem γεῦσαι apud Eupolidem habemus, in Capris:

Accipe hoc, & guſta. (γεῦσαι.)

Tum Ulpianus: Ephippus, ait, in Peltaſta:

Ibi aſinorum equorumque ſtationes, & guſtationes (γεύματα) *vinorum.*

Antiphanes vero, in Gemellis:

Vinum guſtat, (οἰνογευστεῖ,) *& ambulat in coronis.* [ſive, *circumit coronatus.*]

26. Poſthaec coquus dixit: Edicam igitur etiam ego vobis, non priſcum aliquod commentum, ſed inventum meum; *ne vapulet tibicen.* (Nam Eubulus, in Laconibus vel Leda, ait:

Iam pridem medius fidius audire hoc domi
memini: coquus ſi quippiam peccaverit,
apud nos [ſive potius, *apud vos*] *vapulare eo tibicinem.*

Φιλύλλιός τε, ἢ ὁ ποιήσας τὰς Πόλεις, φησίν·

— Ὅ τι ἂν τύχῃ
μάγειρος ἀδικήσας, τὸν αὐλητὴν λαβεῖν
πληγάς.) —

Semiassus & semielixus porcellus.

περὶ ἡμιόπτου καὶ ἡμιέφθου καὶ ἀσφάκτου γεμιστοῦ χοίρου. Ὁ μὲν χοῖρος ἐσφάγη ὑπὸ τὸν ὦμον σφαγὴν βραχεῖαν. (καὶ ἐπέδειξεν.) ἔπειτα ἀπορρεύσαντος τοῦ b πολλοῦ αἵματος, πάντα τὰ ἐντοσθίδια μετὰ τῆς ἐξαιρέσεως (εἴρηται γὰρ καὶ ἡ ἐξαίρεσις, ὦ στωμυλῆθραι δαιταλεῖς) διακλύσας ἐπιμελῶς οἴνῳ πολλάκις, ἐκρέμασα ἐκ ποδῶν. εἶτα πάλιν οἴνῳ διέβρεξα, καὶ προεψήσας [1] μετὰ πολλοῦ πεπέρεως [2] τὰ προειρημένα χναυμάτια, ἔβυσα διὰ τοῦ στόματος, πολλὸν ἐπιχέας ζωμὸν εὖ πάνυ [3] πεποιημένον. καὶ μετὰ ταῦτα περιέπλασα [4] τοῦ χοίρου τὴν ἡμίσειαν, ὡς ὁρᾶτε, [5]

1 προσεψήσας ed. Ven. & Baſ. cum msstis. 2 πιπέρεως ms. *A.*
3 εὖ μάλα ms. *Ep.* 4 περιέπλασα edd. 5 An ἣν ὁρᾶτε?

Et Philyllius, aut quisquis fabulae auctor eſt cui titulus Civitates, ait:

— *Quidquid forte*
coquus peccavit, verberatur tibicen.)

Dicam, inquam, *de ſemiaſſo & ſemielixo, nec iugulato, & tamen farcto porcello.* Iugulatus eſt porcus ſub humero vulnere exiguo. (Idque vulnus oſtendit nobis homo.) Deinde, poſtquam plurimus ſanguis effluxit, viſcera omnia cum inteſtinis, (μετὰ τῆς ἐξαιρέσεως: nam ἐξαίρεσις, id eſt, *exemtio*, nominantur etiam inteſtina, o loquaces convivatores!) diligenter ac ſaepius vino elui, porco e pedibus ſuſpenſo. Poſtea rurſus in vino maceratas easdem quas modo dicebam delicias, & cum multo pipere elixatas, per os inculcavi, multo adfuſo iuſculo exquiſite parato. Poſthaec dimidiam, ut vide-

ἀλφίτοις πολλοῖς κριθῶν, [1] ἀναδεύσας αὐτὰ οἴνῳ καὶ
c ἐλαίῳ. ἔπειτ' ἐνέθηκα κριβάνῳ, ὑποβεὶς [2] τράπεζαν
χαλκῆν, ἐστάθευσά τε τῷ πυρὶ, ὡς μήτε κατακαῦ-
σαι, μήτ' ὠμὸν ἀφελεῖν. καὶ τῆς Φορίνης [3] ἤδη γενο-
μένης κραμβαλέας, εἴκασα καὶ τ' ἄλλο μέρος ἠψῆ-
σθαι· ἀποβαλών τ' αὐταῦ τὰ ἄλφιτα, οὕτω φέρων
ὑμῖν παρέθηκα.

Τὴν δ' ἐξαίρεσιν, ὦ καλέ μου Οὐλπιανὲ, XXVII.
Διονύσιος ὁ κωμῳδιοποιὸς, ἐν τοῖς Ὁμωνύμοις τῷ δρά- Ἐξαίρεσις, intestina.
ματι, οὕτως εἴρηκε, ποιήσας τινὰ μάγειρον πρὸς τοὺς
μαθητὰς διαλεγόμενον·

d Ἄγε δή, Δρόμων, νῦν, εἴ τι κομψὸν ἢ σοφὸν Coquorum furta.
ἢ γλαφυρὸν οἶσθα τῶν σεαυτοῦ πραγμάτων,
φανερὸν ποίησον τοῦτο τῷ διδασκάλῳ.
νῦν τὴν ἀπόδειξιν τῆς τέχνης αἰτῶ σ' ἐγώ.
Εἰς πολεμίαν ἄγω σε· θαῤῥῶν κατάτρεχε, 5

1 κριθῆς edd. cum ms. *A*. 2 ἐπιθεὶς corr. Coray. 3 φορινῆς edd.

tis, porci partem multâ farinâ hordaceâ obduxi, vino & oleo rigatâ. Deinde in furnum indidi, subiectâ mensâ aeneâ; lentoque igne assavi, ut nec cremarem, nec crudum extraherem. Postquam cutis iam satis tosta fuit, coniectabam satis etiam elixam esse alteram partem: itaque demtâ farinâ, qua erat tecta, porcum sic paratum vobis adtuli adposuique.

27. Iam ἐξαίρεσιν, (quasi *exemtionem* aut *exemtilia*) praeclare vir Ulpiane, Dionysius comicus dixit, in fabulâ Homonymis, his verbis, quae pronunciantem coquum fecit, cum discipulis suis differentem:

Age, si quid sapiens, si quid eximium, Dromo,
si quid venustum calles ad negotia,
nunc praeceptori fac tuo id appareat.
Namque artis specimen nunc ego a te postulo.
In hostilem te duco: procurre acriter.

ἀριθμῷ διδόασι τὰ κρέα, καὶ τηροῦσί σε.
τακερὰ [1] ποιήσας ταῦτα, καὶ ζέσας σΦόδρα,
τὸν ἀριθμὸν αὐτῶν, ὡς λέγω σοι, σύγχεον.
ἰχθῦς ἀδρὸς πάρεστι. τἀγτὸς ἔστι σά. [2]
κἂν τέμαχος ἐκκλίνῃς τι, καὶ τοῦτ' ἔστι σὸν,
ἕως ἂν ἔνδον ὦμεν· ὅταν δ' ἔξω γ', ἐμόν. e
ἐξαιρέσεις, καὶ τ' ἄλλα τἀκόλουθ', ὅσα
οὐδ' ἀριθμὸν οὔτ' ἔλεγχον ἐΦ' ἑαυτῶν ἔχει,
περικόμματος δὲ τάξιν ἡ θέσιν Φέρει,
εἰς αὔριόν σε κἀμὲ ταῦτ' εὐΦρανάτω. [3]
λαΦύρων πυλωρῷ [4] παντάπασι μεταδίδου,
τὴν πάροδον ἵν' ἔχῃς τῶν θυρῶν εὐνουστέραν.
Τί δεῖ λέγειν με πολλὰ πρὸς συνειδότα;
Ἐμὸς εἶ μαθητής, σὸς δ' ἐγὼ διδάσκαλος.
μέμνησο τῶνδε, καὶ βάδιζε δεῦρ' ἅμα.

1 τὰ κρέα vulgo. 2 ταυτός. ἔστι σός. edd. 3 εὐφραναι. τῷ edd.
4 λαφυροπώλῃ vulgo.

Observant si te, & carnes numeratas dabunt;
fac illas flammae dividat violentia:
sic conturbabis numerum, dixi ut antidhac.
De pisce magno quidquid est intus, tuum est.
Fragmentum si quod surpias, & hoc tuum est,
dum sumus heic intus; verum post illa meum.
Exemtilia autem, multaque alia eimodi,
quorum nec numerus est, nec indicatio,
sed ad minutal quae conficiendum valent;
ea te oblectanto meque crastino die.
Sed ianitori partem de spoliis dato,
benignior tibi ut sit forium transitus.
Sed multa quid moneo gnarum & bene memorem?
Meus es discipulus: ego autem praeceptor tuus:
id cogitato, meque sequere intra domum.

XXVIII. Platonis dialogos recitantes coqui.

f Πάντων οὖν ἡμῶν ἐπαινεσάντων τὸν μάγειρον ἐπί τε τῷ ἑτοίμῳ τῶν λεγομένων, καὶ τῇ τῆς τέχνης περιεργίᾳ, ὁ καλὸς ἡμῶν ἐστιάτωρ Λαρήνσιος, Καὶ πόσῳ κάλλιον, ἔφη, τὰ τοιαῦτα ἐκμανθάνειν τοὺς μαγείρους, ἢ ἅπερ παρά τινι τῶν πολιτῶν ἡμῶν, ὃς ὑπὸ πλούτου καὶ τρυφῆς τοὺς τοῦ θαυμασιωτάτου Πλάτωνος διαλόγους ἠνάγκαζεν ἐκμανθάνοντας τοὺς μαγείρους, φέροντάς τε τὰς λοπάδας ἅμα λέγειν· „Εἷς, a δύο, τρεῖς. ὁ δὲ δὴ τέταρτος ἡμῖν, ὦ Φίλε Τίμαιε, ποῦ, τῶν χθὲς μὲν δαιτυμόνων, τὰ νῦν δ' ἑστιατόρων;“ ἔπειτ' ἄλλος ἀπεκρίνατο· „Ἀσθένειά τις αὐτῷ ξυνέπεσεν, ὦ Σώκρατες.“ διεξήρχοντό τε τοῦ διαλόγου τὰ πολλὰ τὸν τρόπον τοῦτον, ὡς ἄχθεσθαι μὲν τοὺς εὐωχουμένους, ὑβρίζεσθαι δὲ τὸν πάνσοφον ἐκεῖνον ἄνθρωπον ὀσημέραι, καὶ διὰ τοῦτο πολλοὺς τῶν καθαρείων [1] ἐξόμνυσθαι τὰς παρ' ἐκείνῳ ἑστιάσεις. οἱ δὲ ἡμέτεροι

1 καθαρίων edd.

28. Coquum nos omnes quum collaudaremus, cum quod ita in promtu habuiſſet quae nobis recitaret, tum ob curioſum artis ſtudium, praeclarus noſter convivator Larenſius ait: Atqui quanto ſatius eſt, talia ediſcere coquos, quam quae apud nonneminem ex civibus noſtris? qui divitiis abundans, & luxurioſus, cogebat coquos ſuos admirabilis Platonis ediſcere dialogos, ut, quum patinas inferrent, ſimul dicerent: *Unus, duo, tres. At nimirum quartus ubi eſt, Timaee, eorum qui heri convivae fuerunt, hodie vero ſunt convivatores?* Cui reſpondebat alter: *Morbo quodam correptus eſt, o Socrates.* Atque ita plurimam dialogi partem peragebant, ut moleſte ferrent epulantes, & quotidie riſu & contumeliâ acciperetur ſapientiſſimus ille homo, denique ut propter eam cauſſam multi honeſti viri coenas apud illum eiu-

οὗτοι, ἅμα ἴσως ταῦτ' ἐκμανθάνοντες οὐκ ὀλίγην ἡμῖν ἡδονὴν παρέχουσι. Καὶ ὁ παῖς [1] ἐπὶ τῇ μαγειρικῇ b σοφίᾳ ἐπαινεθεὶς, Τί τοιοῦτον εὑρήκασιν, ἔφη, ἢ εἰρήκασιν οἱ πρὸ ἐμοῦ; ἢ ἐπὶ μετρίοις [2] ἐμαυτὸν ἄγω, [3] οὐ μεγαλαυχούμενος ἐπ' ἐμαυτῷ; [4] καί τοι, καὶ ὁ πρῶτος τῶν τὸν Ὀλυμπιάσιν ἀγῶνα ἀναδησαμένων Κόροιβος ὁ Ἠλεῖος, μάγειρος ἦν, καὶ οὐχ οὕτως ὠγκύλλετο ἐπὶ τῇ τέχνῃ, ὡς ὁ παρὰ Στράτωνι [5] μάγειρος ἐν τῷ Φοινικίδῃ. περὶ οὗ τοιαῦτα λέγει ὁ μεμισθωμένος·

Coroebus victor Olympicus.

XXIX.

Coquus sphinx.

Σφίγγ' ἄρρεν', οὐ μάγειρον, εἰς τὴν οἰκίαν
εἴληφ'· ἁπλῶς γὰρ οὐδὲ ἓν, [6] μὰ τοὺς θεούς, c
ὅσ' ἂν λέγῃ συνίημι. καινὰ ῥήματα
πεπορισμένος πάρεστιν. ὡς εἰσῆλθε γάρ,
εὐθύς μ' ἐπηρώτησε, προσβλέψας μέγα· 5

1 Forſ. ὁ παῖς ὁ ἐπὶ τῇ μαγ. 2 ἐπιμετρίους edd. cum Ms. ἐπιμετρέω legebat Dalec. 3 ἐγὼ pro ἄγω habent edd. 4 ἐγὼ μεγαλαυχούμενος ἐπαινῶ corr. Caſ. 5 Στράττιδι corrigunt viri docti. 6 οὐδὲν edd.

rarent. At hi noſtri fortaſſe, cum talia didicerint, non parum voluptatis nobis adferunt. Tum puer ille, qui ſuam ob coquinandi artem fuerat laudatus: Quid ergo, inquit, huius generis invenerunt aut dixerunt ii qui ante me exſtitere? aut ſatis-ne moderate me gero, qui de me non glorier? Quamquam etiam ille primus omnium ex Olympico certamine coronatus Coroebus Eleus, coquus fuerat, nec vero ita ob artem ſuam erat tumidus, ut iſte apud Stratonem [*ſive*, Strattidem] coquus in Phoenicide; de quo haec dicit is qui eius operam locaverat:

29. *Sphingem marem equidem, non coquum, admiſi in domum.*
Namque, ut ſimpliciter dicam, nihil intelligo
horum quae loquitur. Namque vix intraverat,
cum, me reſpiciens acri vultu, interrogat:

„Πόσους κέκληκας μέροπας ἐπὶ δεῖπνον; λέγε.“ —
„Ἐγὼ κέκληκα μέροπας ἐπὶ δεῖπνον;“ — „Χολᾷς.“ —
„Τοὺς δὲ μέροπας τούτους με γιγνώσκειν δοκεῖς;
„οὐδεὶς παρέσται. τοῦτο γάρ, νὴ τὸν Δία,
d „ἔστι καταλοιπον, μέροπας ἐπὶ δεῖπνον καλεῖν.“ —
„Οὐδ' ἄρα παρέσται δαιτυμὼν οὐδεὶς ὅλως;“ —
„Οὐκ, οἶομαί γε, Δαιτυμών.“ Ἐλογιζόμην·
ἥξει Φιλῖνος, Μοσχίων, Νικήρατος,
ὁ δεῖν', ὁ δεῖνα· κατ' ὄνομ' ἀνελογιζόμην·
οὐκ ἦν ἐν αὐτοῖς οὐδὲ εἷς μοι Δαιτυμών.
„Οὐδεὶς παρέσται·“ φημί. — „Τί λέγεις; οὐδὲ εἷς;“
Σφόδρ' ἠγανάκτησ', ὥσπερ ἠδικημένος,
εἰ μὴ κέκληκα δαιτυμόνας. καινὸν[1] πάνυ!
e „Οὐδ' ἄρα θύεις ἐρυσίχθον'; “ — Οὔκ· ἔφην ἐγώ.
„Βοῦν δ' εὐρυμέτωπον;“ — „Οὐ θύω βοῦν, ἄθλιε.“ —

1 δαιτυμόνα. σκαιὸν πάνυ edd.

Ad coenam hemones, ede, quot vocaveris. —
»Ego-ne vocarim hemones? delirus puto es:
»aut ullos adeo hemones me noſſe autumas?
»Nemo, *inquam ego*, aderit. Id reſtabat ſcilicet,
»ut hemones neſcio quos coenatum arceſſerem! «
At nemo condapalis adventurus eſt? —
»Non Condapalis, quod ſciam.« Rationem inii:
venient Philinus, Moſchio, Niceratus:
nemo iſto e numero Condapalis dicitur.
»Nemo aderit: « *inquam.* — Quid? vocaſti neminem?
inquit; ſuccenſens tamquam accepta iniuria.
Mactas-ne terriſulcum? — »Non: « *reſpondeo.*
Bovem ergo latifrontem? — »Non macto bovem.« —

„Μῆλα θυσιάζεις ἄρα;“ — „Μὰ [τὸν] Δί', ἐγὼ μὲν οὖν [1]
„οὐδέτερον αὐτῶν, προβάτιον δ'.“ — „Οὐκοῦν, ἔφη,
„[ἔστιν] [2] τὰ μῆλα πρόβατ'.“ — [Ἔφην'] „Οὐ μανθάνω
„[ἔγωγε] τούτων οὐδέν, οὐδὲ βούλομαι.
„ἀγροικότερός εἰμ'· ὥσθ' ἁπλῶς μοι διαλέγου.“ —
„Ὅμηρον οὐκ οἶδας λέγοντα;“ — „Καὶ μάλα 26 f
„ἐξῆν ὃ ἐβούλετ', ὦ μάγειρ', [3] αὐτῷ λέγειν.
„ἀλλὰ τί πρὸς ἡμᾶς τοῦτο, πρὸς τῆς Ἑστίας;“ —
„Κατ' ἐκεῖνον ἤδη πρόσεχε καὶ τὰ λοιπά μοι.“ —
„Ὁμηρικῶς γὰρ διανοεῖ μ' ἀπολλύναι;“ — 30
„Οὕτω λαλεῖν εἴωθα.“ — „Μὴ τοίνυν λάλει
„οὕτως, παρ' ἐμοί γ' ὤν.“ — „Ἀλλὰ διὰ τὰς τέτταρας
„δραχμὰς ἀποβαλῶ, φησὶ, τὴν προαίρεσιν; a

1 οὔ edd. Deeſt particula msstis. 2 Deſunt vulgo verba, quae uncis inclusimus. 3 ὃ βούλει τῷ μαγείρ' edd. cum Msto.

Sed enim bidentes? — »Imo, per ſummum Iovem,
»neutrum; ſed ovem mactabo.« — Tun' neſcis, oves
bidentes dici? — »Nec ſcio, nec volo diſcere:
»agreſtis ego ſum, loquere mecum planius.« —
Homerum ita tu locutum ignores? — »Non nego:
»nam licuit illi ſic loqui, ut libuit: coque.
»Sed hoc, per Veſtae numen, nos quid attinet?« —
Quin tu magis audi caetera ad eumdem modum. —
»Homericè-ne me decreſti perdere?« —
Meus ita fari mos eſt. — »At vero mihi
»tu ne ſic loquere.« — Propter drachmas quatuor
meam, *inquit*, vis perdam conſuetiloquentiam?

„τὰς αὐλοχύτας φέρε δεῦρο.“ — „Τοῦτο δ' ἐστί τι; —
„Κριθαί.“ — „Τί οὖν, ἀπόπληκτε, περιπλοκὰς λέγεις;“ —
„Πηγὸς πάρεστι;“ — „Πηγός; οὐχὶ λευκὰ σὺ [1]
„ἐρεῖς, σαφέστερόν θ', ὃ βούλει μοι λέγειν;“ —
„Ἀτάσθαλός γ' εἶ, πρέσβυ“ φησίν. „ἄλας φέρε.
„τοῦτ' ἔστι πηγός. ἀλλὰ δεῖξον χέρνιβα.“
Παρῆν. ἔβυεν· ἔλεγεν ἄλλα ῥήματα,
τοιαῦθ' ἃ, μὰ τὴν Γῆν, οὐδὲ εἷς [2] ἤκουσεν ἄν·
b μίστυλλα, μοίρας, δίπτυχ', ὀβελούς. ὥστ' ἐμὲ
τῶν τοῦ Φιλήτα λαμβάνοντα βιβλίων
σκοπεῖν ἕκαστα τί δύναται τῶν ῥημάτων,
πλὴν ἱκετεύω γ' αὐτὸν ἤδη μεταβαλεῖν,
ἀνθρωπίνως λαλεῖν τε. τὸν δ' οὐκ ἂν ταχὺ
ἔπεισεν ἡ Πειθώ, μὰ τὴν Γῆν, οἶδ' ὅτι.

Philetae gloſſarium.

1 οὐχὶ λιχὰς εἰ vulgo. οὐχὶ λαικάσεις; corr. Coray. 2 οὐδεὶς edd.

Molae ut adſint fac. — »Quid dicis?« Hordeum. —
»Quid tam perplexa loqueris, inſaniſſime?« —
Adeſt-ne humoris aquei concretio? —
»Quin tu perſpicuis verbis edis quid velis?« —
Vecors, *inquit*, mi ſenex: cedo ſalem;
concretio haec eſt illa. Iam monſtra aquiminal.
Aderat. Mactabat, verba attexens plurima,
quae medius fidius nemo umquam intellexerit:
erciſce, ſegmina: *tum* biplicia, & ſubulam:
mihi ut Philetae conſulendum lexicon
fuerit, verborum ut ſignificata evolverem.
Nunc ſupplex oro, morem ut immutet ſuum,
humanitusque loquatur: verum, hercle ſcio,
ſuada ipſa id illi neutiquam perſuaſerit.

XXX. Ars medendi cibis adustis.

Περίεργον δ' ἐστὶν ὡς ἀληθῶς τὸ πολὺ τῶν μαγείρων γένος περί τε τὰς ἱστορίας καὶ τὰ ὀνόματα. λέγουσι γοῦν αὐτῶν οἱ λογιώτατοι „γόνυ κνήμης ἔγγιον·" καὶ „περιῆλθον Ἀσίαν καὶ Εὐρώπην." ἐπιτι- c
μῶντες δέ τινι, φασὶν „μὴ δεῖν τὸν Οἰνέα Πηλέα ποιεῖν." Ἐγὼ δὲ ἕνα τῶν ἀρχαίων μαγείρων τεθαύμακα, πείρᾳ τῆς τέχνης, ἧς εἰσηγήσατο, ἀπολαύσας. παράγει δὲ αὐτὸν Ἄλεξις, ἐν Λέβητι, λέγοντα τάδε·

— Α. Ἥψε, [1] μοὶ δοκεῖ,
πνικτόν τιν' ὄψον, [2] δελφάκιον. Β. Ἡδύ γε.
Α. Ἔπειτα προσκέκαυκε. Β. Μηδὲν φροντίσῃς.
ἁσιμον γὰρ τὸ πάθος ἐστί. Α. Τῷ τρόπῳ;
Β. Ὄξος λαβὼν οὖν [3] εἰς λεκάνην τιν' ἐγχέας 5 d
ψυχρόν· ξυνιεῖς; [4] εἶτα θερμὴν τὴν χύτραν

1 Ἥψε vulgo. Ὀψὲ corr. Grot. cum Dalec. & dein ὄψαι, pro ὄψον: quae sic latine convertit:

— *Nefrendem ferius, quantum arbitror,*
assare furno aggressus est. B. *Suavis caro est.*

2 πνικτὸν τί γ' ὄψον corr. Coray. 3 ὦν vulgo edd. ων Ms. 4 ξυνιεὶς ed. Ven. & Bas. cum Ms. ξυνεὶς ed. Cas.

30. Curiosum autem revera est plurimum coquorum genus, cum circa historias, tum circa vocabula. Dicunt sane eorum doctiores: *genu tibiâ propius:* &, *circumivi Asiam & Europam.* Et increpantes quempiam, dicunt, *non oportere ex Oeneo facere Pelcum.* Ego vero unum ex priscis coquis admiratus sum eo, quod experienti mihi bene cessisset ars quam ille primus docuit. Inducit autem eum Alexis, in Lebete, haec dicentem:

— A. *Elixavit, ut videtur,*
velut suffocatum aliquod obsonium, porcellum. B. *Atqui id suave.*
A. *Atque ita eum adussit.* B. *Id te sollicitet nihil:*
malum sanabile hoc est. A. *Quo tandem modo?*
B. *Acetum sumes, idque in pelvim frigidam*
insundes: capin' hoc? ollam deinde fervidam,

εἰς τοῦξος ἔνθες. [1] διάπυρος γὰρ οὔσ' ἔτι,
ἕλξει δ' αὐτῆς νοτίδα· καὶ ζυμουμένη,
ὥσπερ κίσηρις [2] λήψεται διεξόδους
σομφὰς, δι' ὧν τὴν ὑγρασίαν ἐκδέξεται.
τὰ κρεάδι' ἔσται [3] οὐκ ἀπεξηραμένα,
ἔγχυλα δ' ἀτρέμα καὶ δροσώδη τὴν σχέσιν.
A. Ἄπολλον, ὡς ἰατρικῶς! ὦ Γλαυκία,
e ταυτὶ ποιήσω. [4] B. Καὶ παρατίθει γ' αὐτὰ, παῖ,
ὅταν παρατιθῇς, [5] (μανθάνεις;) ἐψυγμένα.
ἀτμὶς γὰρ οὕτως οὐχὶ προσπηδήσεται
ταῖς ῥισὶν, ἀλλ' ἄνω μάλ' εἶσι [6] καταφυγών. [7]
A. Πολλῷ γ' [8] ἀμείνων, ὡς ἔοικας, ἦσθ' ἄρα
λογογράφος ἢ μάγειρος. ὃ λέγεις, οὐ λέγεις·
τέχνην δ' ὀνειδίζεις.

XXXI.

Durcus anſer.

Καὶ μαγείρων μὲν ἄλις, ἄνδρες δαιταλεῖς· μὴ

1 ἐνθεὶς vulgo. 2 κίσαρις ed. Ven. & Baſ. κίσηρις ed. Caſ. 3 τὰ κρέα δ' ἔσται vulgo. τὰ κρεάδια δ' ἔσται Grot. 4 ποίησαι Grot. partes aliter distribuens. ποίησον mallem. 5 παρατίθης vulgo. 6 ἀναμαλίσι edd. 7 καταφαγὼν vulgo. 8 πολλῶν τ' vulgo.

aceto impones; quae vim retineris igneam,
madorem ducet, atque fermentabitur;
&, veluti pumex, vacuis plena meatibus
humorem innumeris ſimul acceptabit viis:
& ſic eveniet, arida ut ne ſit caro,
ſed, quantum ſatis eſt, ſucculenta & roſcida.
A. *O Iuppiter, quam medice! Prorſus, Glaucia,*
ſic ego faciam. B. *Tum, quando adpones, puer,*
adpone (ſatis intelligis-ne?) frigidam:
nam ſic eveniet, naribus ne ſe vapor
obtrudat, ſed longe abeat ſuperos in locos.
A. *Quantum videtur, pol, tu libros ſcribere,*
quam coquere, multo potior. Quod ais, non ais:
artique probro es. [ſive, *ſed arti illudis.*]

31. Sed de coquis ſatis, viri convivae: ne quis il-

καί τις αὐτῶν τὰ ἐκ Δυσκόλου Μενάνδρου [1] ῥεμβυόμενος, λαρυγγίσῃ τάδε· f

— Οὐδὲ εἷς,
μάγειρον ἀδικήσας, ἀθῶος διέφυγεν.
ἱεροπρεπής πως ἐστὶν ἡμῶν ἡ τέχνη.
Ἐγὼ δ' ὑμῖν, κατὰ τὸν ἥδιστον Δίφιλον,
— παρατίθημι ὁλοσχερῆ
ἆρν' ἐς μέσον, συμπηκτὸν, ὠνθυλευμένον·
χοιρίδια περιφόρεινα, κρομβώσας ὅλα.
Δούρειον ἐπάγω χῆνα τῷ φυσήματι.

XXXII. ANSERES altiles.

Χήν. Περιενεχθέντων δὲ τούτων καὶ ἄλλων a χηνῶν περιττῶς ἐσκευασμένων, ἔφη τις, οἱ χῆνες σιτευτοί. καὶ ὁ Οὐλπιανὸς, ὁ δὲ σιτευτὸς χὴν παρὰ τίνι; πρὸς ὃν ὁ Πλούταρχος· Θεόπομπος μὲν ἔφη ὁ Χῖος, ἐν ταῖς Ἑλληνικαῖς, καὶν τῇ τρισκαιδεκάτῃ

1 Μεναν δρίου ed. Caſ.

lorum iſtud ex Menandri Moroſo crepans, haec vociferetur:

— *Nemo umquam,*
qui coquum laeſit, impunitus abiit.
Sacroſancta quaedam ars eſt noſtra.

Ego vero vobis, iuxta ſuaviſſimum Diphilum,

— *adpono in medium*
agnum integrum, compactum, exquiſite conditum;
porcellos ſua cute tectos, aſſos totos.
Anſerem adpono inſuper, ita farctum inflatumque, ut Dureum dicas.

32. ANSERES. Cum ergo & hic & alii anſeres eximie parati circumferrentur, dicebat aliquis, *en anſeres altiles!* (σιτευτοί.) Et protinus Ulpianus: at σιτευτὸς *anſer*, inquit, apud quem legitur? Cui Plutarchus reſpondit: Theopompus Chius in Graecis Hiſtoriis, & quidem ter-

δὲ τῶν Φιλιππικῶν, Ἀγησιλάῳ τῷ Λάκωνι εἰς Αἴγυπτον ἀφικομένῳ πέμψαι τοὺς Αἰγυπτίους χῆνας καὶ μόσχους σιτευτούς. καὶ Ἐπιγένης δ' ὁ κωμῳδιοποιὸς ἐν Βάκχαις [1] φησίν·

Ἀλλ' εἴ τις ὥσπερ χῆνά μ' ἔτρεφεν [2] λαβὼν,
σιτευτόν. —

b καὶ Ἀρχέστρατος, ἐν τῷ πολυθρυλλήτῳ ποιήματι, ὡς [3]

Καὶ σιτευτοῦ χηνὸς ὁμοῦ σκεύαζε [4] νεοττὸν,
ὀπτὸν ἁπλῶς καὶ τόνδε. —

Σὺ δὲ ἡμῖν, ὦ Οὐλπιανὲ, δίκαιος εἶ λέγειν, ὁ περὶ πάντων πάντας [5] ἀπαιτῶν, ποῦ μνήμης ἠξίωται παρὰ τοῖς ἀρχαίοις τὰ πολυτελῆ ταῦτα τῶν χηνῶν ἥματα. ὅτι γὰρ χηνοβοσκοὺς οἴδασι, μάρτυς Κρατῖνος, ἐν Διονυσαλεξάνδρῳ λέγων·

χηνοβοσκοὶ, βουκόλοι. —

1 ἐν Βακχείᾳ corr. viri docti. 2 χῆν' ἔτρεφέ μι edd. 3 An οὕτως? 4 σκευάζει vulgo. 5 πάντα legebat Dalec.

tio decimo libro Rerum Philippicarum, narrat, Ageſilao Lacedaemonio, cum in Aegyptum veniſſet, miſiſſe Aegyptios anſeres vitulosque σιτευτούς. (*altiles* vel *ſaginatos.*) Praeterea Epigenes, comicus poëta, in Bacchis ait:

At ſi quis me alendum ſuſciperet, velut
anſerem altilem. —

Et Archeſtratus, in famoſo illo Poëmate:

Et anſeris altilis ſimul para pullum,
aſſum hunc quoque ſimpliciter. —

Nunc vero tu, Ulpiane, qui cunctos de rebus omnibus percontaris, aequum eſt ut nobis dicas, ubinam apud veteres mentio fiat pretioſorum horum iecinorum anſerinorum. Nam, paſtores anſerum notos fuiſſe veteribus, Cratinus teſtis eſt, in Dionysalexandro dicens,

Anſerum paſtores, bubulci. —

Ὅμηρος δὲ καὶ θηλυκῶς καὶ ἀρσενικῶς εἴρηκεν·

Αἰετὸς ἀργὴν χῆνα φέρων. — καί·

Ὡς ὅδε χὴν ἥρπαξ' ἀτιταλλομένην ἐνὶ οἴκῳ. c

καί·

Χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσι

ἐξ ὕδατος. —

Anserina iecinora. Χηνείων δ' ἡπάτων (περισπούδαστα δὲ ταῦτα κατὰ τὴν Ῥώμην) μνημονεύει Εὔπολις,[1] ἐν Στεφανοπώλισι, λέγων οὕτως·

Εἰ μὴ σὺ χηνὸς ἧπαρ ἢ ψυχὴν ἔχεις.

XXXIII.

Ἦσαν δὲ καὶ ἡμίκραιραι πολλαὶ δελφάκων.

Dimidiata capita porcellorum. μνημονεύει δ' αὐτῶν Κρωβύλος ἐν Ψευδυποβολιμαίῳ·

Εἰσῆλθεν ἡμίκραιρα τακερὰ δέλφακος. d

ταύτης, μὰ τὸν Δί', οὐχὶ κατέλιπον γ' ἐγὼ

οὐδέν. —

Creocaccabus. Μετὰ δὲ ταῦτα ὁ καλούμενος κρεωκάκκαβος. κρέα δ'

1 Εὔβουλος probabiliter corriguut viri docti.

Homerus & in foeminino & in masculino genere uſurpavit nomen.

Aquila candidum anſerem ferens.

&: *Sicut ille anſerem rapuit nutritum in domo.*

&: *Anſeres mihi domi viginti triticum edunt ex aqua.*

Iecinorum vero anſerinorum (quorum cupidiſſimi ſunt Romani) meminit Eupolis [*ſive*, Eubulus] in Stephanopolidibus; (*i. e.* Mulieribus coronas vendentibus,) ubi ait:

Niſi tu anſeris hepar aut mentem habes.

33. Aderant vero & multa *dimidiata porcellorum capita.* Quorum Crobylus meminit in Pſeudypobolimaeo: (Falſo ſuppoſititio:)

Inferebatur dimidiatum porcelli caput tenerum:

huius, per Iovem, nullam partem ego reliquam feci.

Poſt haec aderat qui vocatur *creocaccabus.* Id eſt autem

ἐστὶ ταῦτα συγκεκομμένα μεθ' αἵματος καὶ λίπους ἐν ζωμῷ γεγλυκασμένῳ. λέγειν δὲ οὕτως Ἀριστοφάνης [φησὶ] [1] ὁ γραμματικὸς Ἀχαιούς· ὁ Μυρτίλος ἔφη. Ἀντικλείδης δ', ἐν ἑβδομηκοστῷ ὀγδόῳ Νόστων· „Ἐν δείπνῳ, φησὶ, μελλόντων Χίων ὑπ' Ἐρυθραίων ἐξ ἐπιβουλῆς ἀναιρεῖσθαι, μαθών τις τὸ μέλλον γίγνεσθαι, ἔφη·

Ὦ Χῖοι· πολλὴ γὰρ Ἐρυθραίους ἔχει ὕβρις·
Φεύγετε δειπνήσαντες ὗς κρέα, μηδὲ μένειν βοῦν.

Ἀναβραστῶν δὲ κρεῶν μνημονεύει Ἀριστομένης Γόησιν οὕτως·

* * * * * * * * *

Καὶ ὄρχεις ἤσθιον, [2] οὓς καὶ νεφροὺς ἐκάλουν. Φιλιππίδης, ἐν τῇ Ἀνανεώσει, Γναθαίνης τῆς ἑταίρας τὸ γαστρίμαργον ἐμφανίζων, λέγει· Testiculi.

Ἔτειτ' ἐπὶ τούτοις πᾶσιν ἦν' ὄρχεις φέρων

1 Deeſt vulgo id verbum. 2 Forſ. Καὶ ὄρχεις δ' ἤσθιον.

caro conciſa cum ſanguine & adipe in dulci iusculo. Dicebat autem Myrtilus, docere Ariſtophanem Grammaticum, apud Achaeos id genus edulii iſto nomine adpellari. Anticlides vero, libro ſeptuageſimo octavo Reverſionum haec ſcribit: »Chios Erythraei inter coenandum ex insidiis interficere paraverant. Quorum conſilium cum comperiſſet quispiam, dixit:

O Chii! ingens vobis ſcelus ab Erythraeis imminet:
fugite poſtquam ſuillam comederitis, nec manete bovinam.

Ferventium carnium Ariſtomenes meminit in Praeſtigiatoribus, his verbis:

* * * * * *

Sed & *teſticulis* veſcebantur olim; quos *renes* adpellabant. Philippides, in Renovatione, voracitatem notans Gnathaenae meretricis, ait:

Deinde, poſt haec omnia, teſticulos inferebat

πολλούς. τὰ μὲν οὖν γύναια τ' ἄλλ' ἠκκίζετο· f
ἡ δ' ἀνδροφόνος Γνάθαινα γελάσασα· [1]
Καλοί γε, φησὶν, οἱ νεφροὶ, νὴ τὴν Φίλην
Δήμητρα. καὶ δύ' ἁρπάσασα κατέπιεν·
ὥσθ' ὑπτίους ὑπὸ τοῦ γέλωτος καταπεσεῖν.

XXXIV. Oxylipa-rum.

Εἰπόντος δὲ καὶ ἄλλου, ἥδιστα [2] γεγονέναι καὶ τὸν μετ' ὀξυλιπάρου ἀλεκτρυόνα, ὁ Φιλεπιτιμητὴς Οὐλ- a πιανὸς, κατακείμενος μόνος, ὀλίγα δ' ἐσθίων καὶ τηρῶν τοὺς λέγοντας, ἔφη· Ὀξυλίπαρον δὲ τί ἐστί; πλὴν εἰ μὴ καὶ κόττανα [3] καὶ λεπίδιν, [4] τὰ πάτρια μου νόμιμα βρώματα, ὀνομάζειν μέλλετε. Καὶ, ὁ Τιμοκλῆς, ἔφη, ὁ κωμικὸς ἐν Δακτυλίῳ [5] μέμνηται τοῦ ὀξυλιπάρου, λέγων οὕτως·

— — Γαλεοὺς, καὶ βατίδας, ὅσα τε τῶν γενῶν

1 Claudicat verſus. 2 Quidni ἥδιστον? 3 ἡμᾶς inſerunt ed. Ven. & Baſ. cum Ms. Forſan ἡμῖν debuerant. 4 λεπίδιον malebat Caſaub. 5 Δακτύλῳ vulgo.

multos. Mulierculae igitur caeterae delicias faciebant:
ſed homicida Gnathaena ſublato riſu,
Pulcri ſane, inquit, renes ſunt, per caram
Cererem: correptosque duos devoravit,
ut prae riſu convivae ſupini caderent.

34. Inde cum dixiſſet unus ex convivis, gratiſſimum etiam cibum fuiſſe gallum gallinaceum cum *oxyliparo*, (id eſt, cum condimento ex acido & pingui) Ulpianus, reprehendere alios amans, ſolus in lectulo cubans, pauca comedens, & obſervans verba facientes, dixit: *Oxyliparum* vero quidnam eſt? niſi & *cottana* & *lepidin* (ſive, *lepidium*) patriae meae familiares cibos, nominare volueritis. Cui ille reſpondit: Timocles comicus, in Annulo, meminit *oxylipari* his verbis:

Galeos & raias, & quaecumque genera

ἐν ὀξυλιπάρῳ τρίμματι σκευάζεται.

Ἀκρολιπάρους δέ τινας ἀνθρώπους κέκληκεν Ἄλεξις, b ἐν Πονήρᾳ, οὕτως·

Ἀκρολίπαροι· τὸ δ' ἄλλο σῶμ' ὑπόξυλον.

Παρατεθέντος δέ ποτε καὶ ἰχθύος μεγάλου ἐν ὀξάλμῃ, καὶ εἰπόντος τινὸς, ἥδιστον εἶναι ὀψάριον πᾶν τὸ ἐν ὀξάλμῃ παρατιθέμενον· συναγαγὼν τὰς ὀφρῦς ὁ τὰς ἀκάνθας ἀγείρων Οὐλπιανὸς, Ποῦ κεῖται, ἔφη, ὀξάλμη; ὀψάριον γὰρ παρ' οὐδενὶ τῶν ζώντων λεγόμενον οἶδα. Οἱ μὲν οὖν πολλοὶ, μακρὰν χαίρειν εἰπόντες αὐτῷ, ἐδείπνουν, τοῦ Κυνούλκου τὰ ἐξ Αὐρῶν Μεταγένους ἀναφωνήσαντος· Oxalme.

c —— Ἀλλ' ὦ γαθὲ δειπνῶμεν,
κἄπειτά με πάντ' ἐπερώτα, [1]
ὅ τι ἂν βούλῃ· νῦν γὰρ πεινῶν,
δεινῶς πως [2] εἰμ' ἐπιλήσμων.

1 ἐπιρωτᾶν ms. *Ep.* 2 δεινός πως ms. *A.*

cum moreto oxyliparo (acido pinguique) *parantur.* Ἀκρολιπάρους vero (id eſt, *ſuperiori parte nitentes*) homines nonnullos vocavit Alexis in Aerumnoſâ, ubi ait:

Superne nitentes: reliquum vero corpus, ligneum.

Adpoſitus vero quum eſſet etiam aliquando magnus piſcis in *oxalme*, (id eſt, *acida muria*) dixiſſetque aliquis, ſuaviſſimum eſſe ὀψάριον omne *in oxalme* adpoſitum; ſuperciliis adductis idem Ulpianus, ſpinas undique colligens: Ubi legitur ὀξάλμη? ait. Nam ὀψάριον a nemine vivantium dici ſcio. Ibi vero plerique, plurimum valere iubentes illum, coenae dabant operam, Cynulcus vero etiam illud ex Metagenis Auris altâ voce recitabat:

At, o optime, coenae demus operam;
dein me percontare omnia,
quaecumque volueris: nunc enim eſuriens,
mire ſum obliviosus.

Καὶ ὁ Μυρτίλος ἡδέως πως συναπογραφόμενος [1] αὐτῶν, ἵνα μηδενὸς μεταλαμβάνῃ, ἀλλὰ παντα λαλῇ, ἔφη· Κρατῖνος ἐν Ὀδυσσεῦσιν εἴρηκε τὴν ὀξάλμην, διὰ τούτων·

Ἀνθ' ὧν πάντας ἑλὼν ὑμᾶς ἑρίηρας ἑταίρους,
Φρύξας, ἑψήσας, κἀπανθρακίσας, ὀπτήσας,
εἰς ἅλμην τε καὶ ὀξάλμην, κᾆτ' ἐς σκοροδάλμην
χλιερὰν [2] ἐμβάπτων, ὃς ἂν ὀπτότατός μοι ἁπάντων
ὑμῶν φαίνηται, καταπρώξομαι, ὦ στρατιῶται.

Καὶ Ἀριστοφάνης, Σοφῇ·

— — Ἀποφυσήσας
εἰς ὀξάλμην ἔμβαλε θερμήν. [3]

XXXV. Ὀψάριον δὲ τῶν μὲν ζώντων ἡμεῖς λέγομεν. ἀτὰρ καὶ Πλάτων, ἐπὶ τοῦ ἰχθύος, ἐν Πεισάνδρῳ· Ὀψάριον, piſciculus: A. Ἤδη φαγών. B. Τί πώ ποθ'; A. Οἷα γίνεται· [4]

1 Malim ἡδέως πως, συνάπ. 2 χλιαρὸν edd. 3 θερμὲν vulgo. 4 Absque distinctione vulgo ſic ſcribitur: Ἤδη φαγάν τι πώποθ' οἷα γίνεται; & tota ῥῆσις uni perſonae tribuitur.

Et Myrtilus ſuaviter admodum idem conſilium profeſſus, ne ullius rei particeps fieret, ſed omnia loqueretur, ait: Cratinus in Ulyſſibus *oxalmen* dixit, his verbis:

Pro his vos cunctos corripiam amabiles ſocios,
frigam, elixabo, ſuper prunis torrebo, aſſabo:
in muriamque, & oxalmen, & alliatam muriam
calidam intinctum, ut quisque mihi veſtrûm optime
aſſus videbitur, devorabo, milites!

Et Ariſtophanes, in Veſpis:

Adflatu tuo terſum me in calidam oxalmen iniice.

35. Ὀψάριον vero e numero viventium nos dicimus. Sed & Plato, de *piſciculo*, in Piſandro:

A. *Iam comedens.* B. *Quid tandem?* A. *Qualecumque adeſt:*

ὀψάριον. Β. Ἔκαμες, καὶ πρόσεστι τοῦτο σοί;
Α. Ἐγὼ δὲ πέρυσι κάραβον φαγὼν . . . .
Φερεκράτης, Αὐτομόλοις·
Τοὐψάριον τουτὶ παρέθηκέ τις ἡμῖν.
Φιλήμων, Θησαυρῷ·
Οὐκ ἔστ' ἀληθὲς, παραλογίζεσθ', [1] οὐδ' ἔχειν
ὀψάρια χρηστά. — [2]
Μένανδρος, Καρχηδονίῳ·
Ἐπιθυμιάσας [3] τῷ Βορέᾳ λιβανίδιον, [4]
ὀψάριον οὐδὲ ἓν ἔλαβον. ἐψήσω [5] φακῆν.
f Καὶ ἐν Ἐφεσίῳ· [6]
— — — ἐπ' ἀρίστῳ λαβὼν
ὀψάριον. —
εἶτ' ἐπιφέρει· „τῶν ἰχθυοπωλῶν τις τεττάρων δραχμῶν ἐπώλει κωβιούς." Ἀναξίλας, Ὑακίνθῳ πορνοβοσκῷ·

1 παραλογίσασθ' vulgo. 2 Forſ. ὀψάρι' ἄχρηστα. 3 Ἐπιθυμήσας edd. Ἐπιθυμίσας Ms. 4 ἴδιον vulgo. 5 ἑψήσων vulgo. 6 Alibi, ἐν Ἐφεσίοις.

Piſciculum . . . B. *Aeger eras; & hoc tibi datur?*
A. *Ego vero olim locuſtam comedens . . . .*
Pherecrates, in Transfugis:
Piſciculum hunc aliquis nobis adpoſuit.
Philemon, in Theſauro:
Non eſt aequum, fallere, & habere
piſciculos inutiles. —
Menander, in Carthaginienſi:
Adoleveram Boreae turis nonnihil,
nec tamen piſciculum ullum cepi: lenticulam coquam.
Et in Epheſio:
In prandium accipiens piſciculum. (ὀψάριον.)
dein pergit: *Piſcariorum aliquis quatuor drachmis vendidit gobios.* Anaxilas, in Hyacintho lenone:

Ἐγὼ, Δίων, [1] ὀψάριον ὑμῖν ἀγοράσω.

καὶ μετ' ὀλίγα·

Σκεύαζε, παῖ, τοὐψάριον ἡμῖν. —

& obſonium quodvis.

Τὸ δὲ ἐν Ἀναγύρῳ Ἀριστοφάνους,

Εἰ μὴ παραμυθῇ μ' [2] ὀψαρίοις ἑκάστοτε·

ἀντὶ τοῦ προσοψήμασιν ἀκούομεν. καὶ γὰρ Ἄλεξις ἐν Παννυχίδι, περιθεὶς μαγείρῳ τὸν λόγον, φησί· a

— Α. Θερμοτέροις χαίρεις ἀεὶ

τοῖς ὀψαρίοις, ἢ τὸ μέσον, ἢ κατωτέρω;

Β. Κατωτέρω. Α. Τί λέγεις, δέσποτα; πῶς; [3] οὐτοσὶ

ἄνθρωπος οὐκ ἐπίστασαι ζῆν. ψυχρά σοι

ἅπαντα παραθῶ; Β. Μηδαμῶς. Α. Ζέοντα δέ; 5

Β. Ἄπολλον! Α. Οὐκοῦν τὸ μέσον ἔστω [4] δηλαδή.

τοῦθ' ἕτερος οὐδεὶς τῶν ὁμοτεχνῶν μοῦ ποιεῖ.

Β. Οὐκ οἶμ', σὺ δ' ἄλλ' οὐδὲν ὧν σὺ νῦν ποιεῖς. b

1 δι' ὧν edd. 2 παραμύθημ' vulgo. παραμυθεῖ μ' Brunck.
3 Forſ. δέσποτα, τί λέγεις; 4 ἔσται edd.

Ego, Dion, ὀψάριον (piſciculum) vobis emam.

& paucis interiectis:

Para, puer, ὀψάριον illud mihi.

Sed, quod Ariſtophanes in Anagyro dicit:

Niſi me quavis occaſione ὀψαρίοις *demulceas:*

ibi quidem ὀψάρια pro *obſoniis* dicta intelligimus. Nam etiam Alexis, in Pervigilio, loquentem ſic inducit coquum:

— A. *Calidioribus ſemper gaudes*

obſoniis, (ὀψαρίοις) *an modice calentibus, an infra?*

B. *Infra.* A. *Quid ais, here? quomodo? Tu talis*

homo neſcis vivere. Frigida tibi

omnia adponam? B. *Nequaquam.* A. *Ferventia vero?*

B. *Prohibeat Apollo!* A. *Eſto ergo medium nempe.*

Hoc nemo alius meorum in arte collegarum (*perinde atque ego*) *facere poteſt.*

B. *Credo: neque aliud quidquam eorum quae nunc tu facis.*

Α. Ἐγὼ δ' ἐρῶ. τοῖσιν γὰρ ἐστιωμένοις
τὸν καιρὸν ἀποδίδωμι τῆς συγκράσεως.
Σὺ [δὲ] [1] πρὸς θεῶν ἔθυσας [ἤδη] τὸν ἔριφον;
Β. Μὴ κόπτε μ', ἀλλὰ τὰ κρέα. Παῖδες, παράγετε.
Α. Ὀπτάνιον ἐστίν; [2] Β. Ἔστι. Α. Καὶ κάπνην ἔχει;
δηλονότι μή μοι δῆλον. Β. Ἀλλ' ἔχει κάπνην.
c Α. Ἔχει κακὸν, εἰ τύφουσαν. Β. Ἀπολεῖ μ' οὑτοσί. [3]

XXXVI. Nil animati comedentes.

Ταῦτά σοι παρ' ἡμῶν τῶν ζώντων, ὀλβιογάστορ [4] Οὐλπιανὲ, ἐπεμνημόνευσα. καὶ σὺ γὰρ, ὡς ἔοικε, μετ' ἐμοῦ κατὰ τὸν Ἄλεξιν οὐδενὸς ἐμψύχου μεταλαμβάνεις, ὅς φησιν ἐν Ἀτθίδι τάδε·

Ὁ πρῶτος εἰπὼν, ὅτι σοφιστὴς οὐδεὶς [5]
ἔμψυχον οὐδὲν ἐσθίει, σοφός τις ἦν.
Ἐγὼ γὰρ ἥκω νῦν ἀγοράσας οὐδὲ ἓν

1 δὲ & ἤδη ignorant edd. & Ms. 2 Vulgo Παῖδες (repetita voce) ὀπτανεῖόν ἐστιν. ἔστι καὶ &c. 3 Legebatur, εἰ τύφου σ' ἀπολεῖμ' οὐτωσί γε. 4 ὦ ὀλβιογάστωρ edd. 5 οὐδεὶς εἷς edd.

Α. *Ego vero dicam: nempe epulantibus*
opportunitatem praebeo iuſtae temperationis.
Tu-ne vero, per Deos, iam immolaſti hoedum?
B. *Ne me obtunde: ſed carnes ſeca. Pueri, adducite!*
A. *Eſt-ne culina?* B. *Eſt.* A. *Etiam caminum habet?*
nempe hoc nondum ſcio. B. *At habet caminum.*
A. *Malam rem habet, ſi caminum fumantem.* B. *Enecabit me hic homo.*

36. Haec tibi nomine noſtrûm viventium commemoravi, Ulpiane ὀλβιογάστορ. (i. e. bene curato ventre beate.) Nam tu, ut videtur, mecum ita ut eſt apud Alexidem nihil animati in cibum ſumis. Ait enim ille in Atthide ſic:

Qui primus dixit, neminem ſapientium
animatis veſci, ſapiens ante alios fuit.
Ego de foro nunc venio, nec quidquam adfero

ἔμψυχον. ἰχθῦς ἐπριάμην τεθνηκότας, d
μεγάλους· κρεάδια δ' ἀρνός ἐστι [1] πίονος, 5
οὐ ζῶντος. οὐχ οἷόν τε γάρ τι ἄλλο. ναὶ, [2]
ἠπάτιον ὀπτὸν προσέλαβον. τούτων ἐὰν
δείξῃ τις ἢ φωνήν τι [3] ἢ ψυχὴν ἔχον,
ἀδικεῖν ὁμολογῶ [4] καὶ παραβαίνειν τὸν νόμον.

Ἐπὶ τούτοις οὖν ἔασον ἡμᾶς δειπνεῖν. ἰδοὺ γάρ, ἕως πρός σε διαλέγομαι, καὶ οἱ Φασιανικοὶ παραπεπλεύκασιν, ὑπεριδόντες ἡμᾶς διὰ τὴν ἄκαιρόν σου γλωσσαργίαν. Ἀλλ' ἢν ἐμοὶ εἴπῃς, ἔΦη ὁ Οὐλπιανὸς, δι- e
Ὀλβιογάστωρ. δάσκαλε Μυρτίλε, ὁ ὀλβιογάστωρ σοι πόθεν, καὶ εἰ Φασιανικῶν τις ὀρνίθων μέμνηται τῶν παλαιῶν, ἐγώ σοι „ἦρι μάλ' οὐχ Ἑλλήσποντον πλεύσας," ἀλλ' εἰς τὴν ἀγορὰν πορευθεὶς, ὠνήσομαι Φασιανικὸν, ὃν συγκατέδομαί σοι.

1 κρεάδι' ἀρνὸς ἐσθίειν vulgo. εἰσίτι pro ἐσθίειν legebat Grot. 2 οὐχ οἷόν τε γάρ. τί ἄλλο; ναὶ corrigit Casaub. Temere τὸ ἄλλο ed. Cas. 2. 3. τί δ' ἄλλο; ναί· corrigit Grot. 3 φωνήν τιν' vulgo. 4 προσομολογῶ vulgo.

animatum. Piſces emi, verum mortuos; ingentes. Deinde pinguem agninam: ſed nec haec vivebat: nam qui poſſet? Num quid praeter haec? Aliquid: bene toſtum iecinor. Eſſe in rebus his quod habeat vocem aut animam ſi quis docuerit, commiſi in legem, nec ſupplicium deprecor.

Poſt haec igitur ſine nos coenare. Ecce enim, dum tecum colloquor, praeternavigarunt nos Phaſiani, ſpernentes nos ob intempeſtivam tuam loquacitatem. Tum Ulpianus: At, ſi tu mihi dixeris, magiſter Myrtile, vocabulum ὀλβιογάστωρ unde arripueris, & *phaſianicarum avium* an meminerit veterum quisquam, ego tibi, *bene mane non per Helleſpontum navigans*, ſed in forum profectus, phaſianum emam, quem tecum comedam.

Καὶ ὁ Μυρτίλος, Ἐπὶ ταύταις, ἔφη, ταῖς συν- XXXVII.
θήκαις λέγω. τοῦ μὲν ὀλβιογάστορος Ἄμφις
μέμνηται ἐν Γυναικομανίᾳ, οὑτωσὶ λέγων·

— — Εὐρύβατε κνισολοῖχ', [1] οὐκ ἐσθ' ὅπως
οὐκ ὀλβιογάστωρ εἰ σύ. —

f ΦΑΣΙΑΝΙΚΟΥ δὲ ὄρνιθος, ὁ ἥδιστος Ἀριστοφάνης Phasianae aves.
ἐν δράματι Ὄρνισιν. Ἀττικοὶ δέ εἰσι δύο πρεσβύται
ὑπὸ ἀπραγμοσύνης πόλιν ζητοῦντες, ἐν ᾗ κατοικήσου-
σιν, ἀπράγμονα· [2] καὶ αὐτοῖς ἀρέσκει ὁ βίος ὁ μετ'
ὀρνίθων. ἔρχονται οὖν ὡς τοὺς ὄρνιθας· καὶ αἰφνίδιον αὐ-
τοῖς ἐπιπτάντος τῶν ὀρνίθων ἀγρίου τινός, τὴν ὄψιν δεί-
σαντες, ἑαυτοὺς παραμυθούμενοι, λέγουσι τά τ' ἄλ-
λα καὶ τάδε·

a Ὁδὶ δὲ [3] δὴ τίς ἐστὶν ὄρνις; οὐκ ἐρεῖς;
Ἐπικεχοδὼς ἔγωγε Φασιανικός.
καὶ τὸ ἐν Νεφέλαις δ' ἐπὶ τῶν ὀρνίθων ἔγωγε ἀκούω,
καὶ οὐκ ἐπὶ ἵππων, ὡς πολλοί·

1 κνισσολεῖχε ed. Ven. & Baſ. κνισσόλοιχε ed. Caſ. κνισσολοιχὲ ms. *Ep.* κνισολοῖχε ms. *A.* 2 ἀπράγμονε corr. Caſ. 3 ὅδε δὴ vulgo.

37. Cui Myrtilus: Hac conditione, inquit, dicam tibi. *Olbiogaſtoris* Amphis meminit in Gynaecomania, cum ait:

Sceleſte catillo, profecto olbiogaſtor tu es.

PHASIANARUM vero *avium* ſuaviſſimus meminit Ariſtophanes in fabula Avibus. Duo ſunt ſenes Attici, qui amore otii civitatem quaerunt, quam habitent, negotiorum vacuam; placetque his vita inter aves. Veniunt ergo ad aves: ubi quum ſubito eis advolat ſylveſtris quaedam volucris, adſpectu territi, mutuo ſe conſolantur, & cum alia dicunt, tum haec:

A. *Haecce vero quae eſt avis? Nonne dices?*

B. *Epicechodos equidem phaſianicus.*

Itemque illud in Nubibus de avibus equidem intelligo; non, ut plerique, de equis:

τοὺς Φασιανοὺς, οὓς τρέφει Λεωγόρας.
δύναται γὰρ ὁ Λεωγόρας καὶ ἵππους τρέφειν, καὶ ὄρνεις Φασιανούς. κωμῳδεῖται γὰρ ὁ Λεωγόρας ὡς γαστρίμαργος, ὑπὸ Πλάτωνος ἐν Περιαλγεῖ. Μνησίμαχος δ' ἐν Φιλίππῳ (εἷς δὲ καὶ οὗτός ἐστι τῶν τῆς μέσης κωμῳδίας ποιητῶν) φησί·

— Καὶ, τὸ λεγόμενον,
σπανιώτερον πάρεστιν ἢ [1] ὀρνίθων γάλα, b
καὶ Φασιανὸς ἀποτετιλμένος καλῶς.

Θεόφραστος δὲ ὁ Ἐρέσιος, Ἀριστοτέλους μαθητὴς, ἐν τρίτῃ Περὶ Ζώων μνημονεύων αὐτῶν, οὑτωσί πως λέγει· „Ἔστι δὲ καὶ τοῖς ὄρνισι τοιαύτη διαφορά. τὰ μὲν γὰρ βαρέα [2] καὶ μὴ πτητικὰ, καθάπερ ἀττα-γὴν, πέρδιξ, ἀλεκτρυὼν, Φασιανὸς, εὐθὺς βαδιστικὰ καὶ δασέα." καὶ Ἀριστοτέλης ἐν ὀγδόῃ [3] Ζώων Ἱστορίας γράφει τάδε· „Εἰσὶ δὲ τῶν ὀρνίθων οἱ μὲν κονι-

1 Abeſt vulgo ἢ. 2 βραχέα vulgo. Forſ. βραδέα, aut βραχύπτερα. 3 ἐν. ζ' ζώων Ἱστ. edd.

Phaſianos, quos alit Leogoras.
Poteſt enim Leogoras & equos alere, & aves phaſianas. Etenim ut homo guloſus notatur Leogoras a Platone comico, in Perialge. (*i. e.* Dolente.) Mneſimachus vero, mediae item comoediae poëta, in Philippo ait:

— *Et, quod aiunt in proverbio,*
rarius adeſt quam lac gallinae
aut phaſianus probe deplumatus.

Theophraſtus vero Ereſius, Ariſtotelis diſcipulus, tertio libro de Animalibus mentionem eorum faciens, ita fere ſcribit: »Eſt vero in avibus talis differentia: quae graves ſunt & ad volandum minus aptae, ut attagen, perdix, gallus gallinaceus, phaſianus, mox ubi natae, ad incedendum aptae ſunt & plumis veſtitae.« Et Ariſtoteles octavo Hiſtoriarum haec ſcribit: » Avium aliae

στικοὶ, οἱ δὲ λοῦνται, οἱ δὲ οὔτε κονιστικοὶ, οὔτε λοῦνc ται. ὅσοι δὲ μὴ πτητικοὶ, ἀλλ' ἐπίγειοι, κονιστικοί· οἷον, ἀλεκτορὶς, πέρδιξ, ἀτταγὴν, Φασιανὸς, κορυδαλλός." [1] Μνημονεύει δ' αὐτῶν καὶ Σπεύσιππος ἐν δευτέρῳ Ὁμοίων. Φασιανὸν δὲ οὗτοι κεκλήκασιν αὐτὸν, καὶ οὐ Φασιανικόν.

XXXVIII. Phasianorum patria.

Ἀγαθαρχίδης δὲ ὁ Κνίδιος ἐν τῇ τετάρτῃ καὶ τριακοστῇ τῶν Εὐρωπιακῶν, περὶ τοῦ Φάσιδος ποταμοῦ τὸν λόγον ποιούμενος, γράφει καὶ ταῦτα· „Πλῆθος δ' ὀρνίθων τῶν καλουμένων Φασιανῶν φοιτᾷ τροφῆς χάριν πρὸς τὰς ἐμβολὰς τῶν στομάτων." Καλλίξεd νος δ' ὁ Ῥόδιος, ἐν τετάρτῃ Περὶ Ἀλεξανδρείας, διαγράφων τὴν γενομένην πομπὴν ἐν Ἀλεξανδρείᾳ Πτολεμαίου τοῦ Φιλαδέλφου καλουμένου βασιλέως, ὡς μέγα θαῦμα περὶ τῶν ὀρνίθων τούτων οὕτως γράφει· „Εἶτα ἐφέροντο ἐν ἀγγείοις ψιττακοὶ καὶ ταὼ [2] καὶ

1 κορυδαλὶς edd. 2 ταὼς vulgo h. l. ταὶ alibi.

in pulvere volutari amant, aliae lavari, aliae nec in pulvere volutantur, nec lavantur. Quaecumque igitur ad volandum minus aptae sunt & humi degunt, eae in pulvere volutari amant: veluti gallina, perdix, attagen, phasianus, alauda. « Eorumdem Speusippus meminit, secundo Similium. *Phasianum* autem hi avem hanc nominant, non phasianicum aut phasianicam.

38. Agatharchides vero Cnidius, quarto & tricesimo Rerum Europiacarum de *Phaside* amne verba faciens, haec scribit: » Multitudo vero *Phasianarum* quae vocantur *avium* pabuli causâ eo convolant, ubi fluminis ostia mare influunt. « Callixenus vero Rhodius, quarto libro de Alexandriâ, ubi pompam describit Alexandriae a Ptolemaeo cognomine Philadelpho institutam, velut insigne miraculum de his avibus ita scribit: » Ferebantur deinde caveis inclusi psittaci & pavones & meleagrides &

μελεαγρίδες καὶ Φασιανοὶ, καὶ ὄρνιθες Αἰθιοπικοὶ πλήθει πολλοί." Ἀρτεμίδωρος δὲ ὁ Ἀριστοφάνειος ἐν ταῖς ἐπιγραφομέναις Ὀψαρτυτικαῖς Γλώσσαις, καὶ Πάμφιλος ὁ Ἀλεξανδρεὺς ἐν τοῖς Περὶ Ὀνομάτων καὶ Γλωσσῶν, Ἐπαίνετον παρατίθεται λέγοντα ἐν τῷ Ὀψαρ- e
Tatyras. τυτικῷ, ὅτι ὁ Φασιανὸς ὄρνις τατύρας καλεῖται. Πτολεμαῖος δ' ὁ Εὐεργέτης, ἐν δευτέρῳ Ὑπομνημάτων, τέταρτον [1] φησὶν ὀνομάζεσθαι τὸν Φασιανὸν ὄρνιν. Τοσαῦτά σοι περὶ τῶν Φασιανικῶν ὀρνίθων ἔχω λέγειν· οὓς ἐγὼ διὰ σὲ ὥσπερ οἱ πυρέσσοντες περιφερομένους εἶδον. σὺ δὲ κατὰ τὰς συνθήκας ἂν μὴ αὔριον ἀποδῷς τὰ ὡμολογημένα, οὐκ ἐξαπατήσεως δημοσίᾳ σε γράψομαι, [2] ἀλλὰ τὸν Φάσιν οἰκήσοντα ἀποπέμψω· ὡς Πολέμων ὁ περιηγητὴς Ἴστρον [3] τὸν Καλλι- f
μάχιον, [4] συγγραφέα, εἰς τὸν ὁμώνυμον κατεπόντου ποταμόν.

1 τάτυρον coni. Dalec. unde habet ed. Caſ. 3. Forſ. τέταρτον. 2 Forſ. γράψομαι. 3 ἱστορῶν ms. *A*. 4 Καλλιμάχειον edd.

phaſiani & aves Aethiopicae perquam multae. « Artemidorus vero Ariſtophaneus, in Opſartyticis Gloſſis quae inſcribuntur, & Pamphilus Alexandrinus in libris De Nominibus & Gloſſis, Epaeneti teſtimonium adponunt, in Opſartytico dicentis, phaſianam avem *tatyram* appellari. Ptolemaeus autem Evergetes ſecundo Commentariorum, *tetaron* [ſive *tatyron*] nominari ait phaſianum. Haec habui quae de phaſianis avibus tibi dicerem: quas ego tui cauſſa, veluti febricitantes, praeterferri vidi. Tu vero niſi cras mihi ex pacto reddideris quae pollicitus es, non equidem doli mali te publice reum agam, ſed ad Phaſin relegabo, vitam ubi trahas; quemadmodum Polemo itinerator Iſtrum, Callimachi diſcipulum, Hiſtoriarum ſcriptorem, in cognomine fluvio demerſum voluit.

XXXIX. Attagen.

ΑΤΤΑΓΑΣ. [1] Ἀριστοφάνης Πελαργοῖς·

Ἀττάγας, ἥδιστον ἐψεῖν [2] ἐν ἐπινικίοις κρέας.

Ἀλέξανδρος δ' ὁ Μύνδιός φησιν, ὅτι μικρῷ μὲν μείζων ἐστὶ πέρδικος, ὅλος δὲ κατάγραφος τὰ περὶ τὸν νῶτον, [3] κεραμεοῦς [4] τὴν χρόαν, ὑποπυρρίζων [5] μᾶλλον. Θηρεύεται δ' ὑπὸ τῶν κυνηγῶν διὰ τὸ βάρος καὶ τὴν τῶν πτερῶν βραχύτητα. ἔστι δὲ κονιστικὸς, πολύτε-
a κνός τε, καὶ σπερμολόγος. Σωκράτης δ' ἐν τῷ Περὶ Ὀρων [6] καὶ Τόπων καὶ Πυρὸς καὶ Λίθων· „Ἐκ τῆς Λυδίας μετακομισθέντες, φησὶν, εἰς Αἴγυπτον οἱ ἀττάγαι, καὶ ἀφεθέντες εἰς τὰς ὕλας, [7] ἕως μέν τινος ὄρτυγος φωνὴν ἀφίεσαν. ἐπεὶ δὲ τοῦ ποταμοῦ κοίλου ῥυέντος [8] λιμὸς [9] ἐγένετο, καὶ πολλοὶ τῶν κατὰ τὴν χώραν ἀπώλλυντο, οὐ διέλιπον σαφέστερον τῶν παί-

1 Ἀτταγᾶς edd. cum ms. *Ep.* Rectius sic ſcriptum foret deinde in *Ariſtophanis* teſtimonio. 2 ἑψεῖν ed. Caſ. 3 τὸ νῶτον edd. 4 κεραμοῦς ed. Caſ. 5 ὑποπυρίζων edd. 6 Forſ. Ὀρῶν, Ὡρῶν, aut Ἀίρων. 7 πύλας vulgo. 8 Forſ. ῥέοντος. 9 λοιμὸς apud Aelian.

39. ATTAGEN. (Ἀττάγας) Ariſtophanes, in Ciconiis: *Attagen, ſuaviſſimae carnis, in triumphalibus epulis coquendus.*

Alexander Myndius ait, eſſe paulo maiorem perdice, totum autem notis diſtinctum in tergo, colore fictilium, magis vero ſubrufo: capi a venatoribus ob gravitatem & ob alarum brevitatem: in pulvere ſe volutare, multos pullos parere, ſeminibus veſci. Socrates, libro DE Finibus [*ſive*, DE Montibus; *aut*, DE Anni tempeſtatibus:] & Locis & Igne & Lapidibus, ſcribit: »Ex Lydia in Aegyptum translati attagenes, ac deinde in ſylvas dimiſſi, coturnicis vocem aliquamdiu ediderunt: ſed quum aliquando fluvius humilior fluxiſſet, fames [*ſive*, peſtis] ſecuta eſt, quae multos terrae incolas perdidit; ex eo non ceſſarunt usque ad hunc diem voce magis diſtin-

δων τῶν τρανωτάτων ἕως νῦν λέγοντες, τρὶς [1] τοῖς κακούργοις κακά. συλληφθέντες δὲ οὐ μόνον οὐ τιθασσεύονται, ἀλλ' οὐδὲ φωνὴν ἔτι ἀφιᾶσιν. ἐὰν δὲ ἀφεθῶσι, φωνάεντες πάλιν γίγνονται." Μνημονεύει b αὐτῶν Ἱππώναξ οὕτως·

οὐδ' ἀτταγᾶς τε καὶ λαγὼς [2] διατρώγων.

καὶ Ἀριστοφάνης, ἐν Ὄρνισιν· ἐν δ' Ἀχαρνεῦσι καὶ ὡς πλεοναζόντων αὐτῶν ἐν τῇ Μεγαρικῇ. [3] Περισπῶσι δ' οἱ Ἀττικοὶ παρὰ τὸν ὀρθὸν λόγον τοὔνομα. τὰ γὰρ εἰς ᾶς λήγοντα ἐκτεταμένον ὑπὲρ δύο συλλαβὰς, ὅτε ἔχει τὸ α παραλῆγον, βαρύτονά ἐστιν· οἷον ἀκάμας, Σακάδας, [4] ἀδάμας. λεκτέον δὲ καὶ ἀττάγαι, καὶ οὐχὶ ἀτταγῆνες.

XL. Porphyrio.

ΠΟΡΦΥΡΙΩΝ. Ὅτι καὶ τούτου Ἀριστοφάνης μέμνηται δῆλον. Πολέμων δ', ἐν πέμπτῳ τῶν Πρὸς c

1 λέγοντες τρὶς, τοῖς &c. ms. *Ep.* 2 καὶ σιλαγὰς ed. Ven. & Baſ. cum Msto. 3 Βοιατιχῇ corr. Caſaub. 4 Omiſit Epit. ἀκάδας edd. Ἀκράγας coni. Caſ. Una voce ἀκαμαπαχάδας ms. *A.*

cta, quam qua utuntur planiſſime loquentes pueri, canere, τρὶς τοῖς κακούργοις κακά. (id eſt, *ter improbis mala!*) Hi ſi capiuntur, non modo non cicurantur, ſed ne vocem quidem amplius emittunt: ſin dimittantur, rurſus fiunt vocales. « Eorum his verbis meminit Hipponax:

Nec attagenas aut lepores manducans.

Item Ariſtophanes, in Avibus: qui in Acharnenſibus etiam ſignificat, frequentes eſſe in Megarica. Circumflectunt autem Attici hoc nomen, praeter rectam rationem. Nam quae in *as* productum deſinunt pluriſyllaba, ſi in penultima habent α, barytona ſunt; ut ἀκάμας, Σακάδας, ἀδάμας. Dicendum vero etiam ἀττάγαι, (in plurali,) non ἀτταγῆνες.

40. PORPHYRIO. Etiam huius meminiſſe Ariſtophanem, in aprico eſt. Polemo vero, quinto librorum AD

Ἀντίγονον καὶ Ἀδαῖον, πορφυρίωνα φησὶ τὸν ὄρνιν, διαιτώμενον κατὰ τὰς οἰκίας, τὰς ὑπάνδρους τῶν γυναικῶν τηρεῖν πικρῶς· καὶ τοιαύτην ἔχειν αἴσθησιν ἐπὶ τῆς μοιχευομένης, ὥσθ' ὅταν τοῦθ' ὑπονοήσῃ, προσημαίνει [1] τῷ δεσπότῃ, ἀγχόνῃ τὸ ζῆν περιγράψας. Οὐ πρότερόν τε, φησὶ, τροφῆς μεταλαμβάνει, εἰ μὴ περιπατήσῃ τόπον τινὰ ἐξευρὼν ἑαυτῷ ἐπιτήδειον· μεθ' ὃν [2] κονισάμενος λούεται, εἶτα τρέφεται. Ἀριστοτέλης τε σχιδανόποδά φησιν αὐτὸν εἶναι, ἔχειν τε χρῶ-
d μα κυάνεον, σκέλη μακρὰ, ῥύγχος ἠρυθμένον ἐκ τῆς κεφαλῆς φοινικοῦν, μέγεθος ἀλεκτρυόνος, στόμαχον δ' ἔχει λεπτόν· [3] διὸ τῶν λαμβανομένων εἰς τὸν πόδα ταμιεύεται μικρὰς τὰς ψωμίδας. κάπτων δὲ πίνει. πενταδάκτυλός τε ὢν, τὸν μέσον ἔχει μέγιστον. Ἀλέξανδρος δ' ὁ Μύνδιος, ἐν δευτέρῳ Περὶ τῆς τῶν Πτηνῶν Ἱστορίας, Λίβυν εἶναί φησι τὸν ὄρνιν, καὶ τῶν κατὰ τὴν

1 προσημαίνειν edd. 2 Immo μεθ' ὃ, aut καθ' ὃν, nisi forte περίπατον pro τόπον legendum. 3 Desunt quatuor verba edd.

Antigonum & Adaeum, porphyrionem avem, ait, cum domi alitur, mulieres virorum coniuges tanta severitate observare, & tam graviter adfici si qua admittat adulterium, ut, id ubi sensit, domino significet, & ipse vitam strangulatione finiat. Cibum, ait, non capit prius, quam per certum quoddam spatium, quod sibi commodum reperit, deambulaverit: dein volutatus in pulvere lavatur, ac tum demum pascitur. Aristoteles vero tradit, fissis esse pedibus, colore cyaneo, cruribus longis, rostro inde a capite puniceo, magnitudine galli gallinacei, gula angustâ: quapropter cibum pede adprehensum in minutas bucculas dispertitur. Bibit autem morsu. Quinos habet digitos; in his medium maximum. Alexander vero Myndius, secundo libro de Volucrium Historia, Libycam ait esse avem, & Deis Li-

Porphyris. Λιβύην θεῶν ἱερόν. ΠΟΡΦΥΡΙΣ. Καλλίμαχος ἐν τῷ Περὶ Ὀρνίθων, διεστάναι φησὶ πορφυρίωνα πορφυρίδος, ἰδίᾳ ἑκάτερον καταριθμούμενος· τὴν τροφήν τε λαμβάνειν τὸν πορφυρίωνα ἐν σκότῳ καταδυόμενον, [1] ἵνα μή τις αὐτὸν θεάσηται. ἐχθραίνει [2] γὰρ τοὺς e πρεσιόντας αὐτοῦ τῇ τροφῇ. Τῆς δὲ πορφυρίδος καὶ Ἀριστοφάνης ἐν Ὄρνισι μνημονεύει. Ἴβυκος δέ τινας λαθιπόρφυρας [3] ὀνομάζει διὰ τούτων· „Τοῦ μὲν πετάλοισιν ἐπ' ἀκροτάτοισι ξανθοῖσι ποικίλαι πανέλοπες, αἰολόδειροι λαθιπορφυρίδες, [4] καὶ ἀλκυόνες τανυσίπτεροι." Ἐν ἄλλοις δὲ φησίν· „Αἰεί μ', [5] ὦ φίλε θυμὲ, [6] τανύπτερος ὡς ὅκα πορφυρίς."

XLI. Περδιξ. Τούτων πολλοὶ μὲν μέμνηνται, ὡς καὶ Ἀριστοφάνης. Τοῦ δὲ ὀνόματος αὐτῶν ἔνιοι συ- f

Perdix. στέλλουσι τὴν μέσην συλλαβήν· ὡς Ἀρχίλοχος·

1 Deeſt verbum edd. 2 ἐχθαίνειν edd. ἐχθαίρει ms. *Ep.* 3 Immo λαθιπορφυρίδας 4 πορφυρίδες edd. αἰδοιπορφυρίδες Ms. 5 Αἴρεις μ' corr. Valck. 6 οὐ με vulgo.

byae ſacram. PORPHYRIS. Callimachus, in libro DE Avibus, differre ait porphyrionem & porphyridem, ſeorſimque utramque avem recenſet. Porphyrionem autem tradit cibum capere abſcondentem ſe in tenebris, ne quis eum conſpiciat: infenſus eſt enim his qui ad pabulum eius accedunt. Porphyridis vero meminit etiam Ariſtophanes in Avibus. Ibycus autem *lathiporphyridas* quasdam [quaſi dicas, *latentes porphyridas*] nominat, cum ait: *Huius ſummis in frondibus rubicundis variae pennis penelopes, variegato collo lathiporphyrides, expanſis alis alcyones.* Idemque alibi: *Semper me*, [ſive, *Effers me*,] *anime mi, veluti ſi expanſis alis porphyris* (in altum evolat.)

41. PERDIX. Harum & multi alii meminerunt, & item Ariſtophanes. In nomine huius avis corripiunt nonnulli (in caſibus obliquis) penultimam ſyllabam. Sic Ar-

πτώσσουσαν ὥς τε πέρδικα. — —
εὕτως καὶ ὄρτυγα, καὶ χοίνικα. πολὺ δέ ἐστι τὸ ἐκτεινόμενον παρὰ τοῖς Ἀττικοῖς. Σοφοκλῆς, Καμικοῖς· [1]

— Ὄρνιθος ἦλθ' ἐπώνυμος
πέρδικος ἐν κλεινοῖς Ἀθηναίων πάγοις.

Φερεκράτης, ἢ ὁ πεποιηκὼς τὸν Χείρωνα·

Ἔξεισιν ἄκων δεῦρο πέρδικος τρόπον.

a Φρύνιχος, Τραγῳδοῖς·

τὸν Κλεόμβροτόν τε τοῦ Πέρδικος υἱόν.

(Τὸ δὲ ζῷον ἐπὶ λαγνείας συμβολικῶς παρείληπται.) Νικοφῶν, ἐν Χειρογάστορσι·

[καὶ] τοὺς ἐψητοὺς καὶ τοὺς πέρδικας ἐκείνους.

Ἐπίχαρμος δ', ἐν Κωμασταῖς, βραχέως·

Σηπίας τ' ἄγον νεῦσας, [2] πέρδικάς τε πετομένους.

Φησὶ δ' Ἀριστοτέλης περὶ τοῦ ζώου τάδε· „Ὁ πέρ-

1 Καμικίοις corrigunt docti. 2 ἄγαν ἰούσας Ms.

chilochus: *Pavidam inſtar perdicis.* — —
Quemadmodum & ὄρτυγα & χοίνικα penultimâ brevi dicimus. Plerumque vero producitur apud Atticos. Sophocles, in Camicis:

Venit qui cum ave commune nomen habet
perdice celebres in Athenarum tumulos.

Pherecrates, ſive quisquis ſit qui Chironem compoſuit:

Exit huc invitus perdicis in modum.

Phrynichus, in Tragoedis:

Et Cleombrotum, perdicis filium.

(Nominatur autem hoc animal, ut ſalacitatis ſymbolum.) Nicophon, in Operariis:

Et hepſetos piſciculos, & perdices illas.

Epicharmus vero, in Comiſſatoribus, corripit mediam ſyllabam:

Sepias adferebant nantes, & perdices volucres.

De hoc animalis genere haec ſcribit Ariſtoteles: »Per-

δίξ ἔστι μὲν χερσαῖος, σχιδανόπους. ζῇ δὲ ἔτη πέντε καὶ δέκα· ἡ δὲ θήλεια, καὶ πλείονα. πολυχρονιώτερα γὰρ ἐν τοῖς ὄρνισι τῶν ἀρρένων τὰ θήλεα. ἐπωάζει δὲ καὶ ἐκτρέφει, καθάπερ ἡ ἀλεκτορίς. ὅταν δὲ b γνῷ ὅτι θηρεύεται, προελθὼν τῆς νεοττίας κυλινδεῖται παρὰ τὰ σκέλη τοῦ θηρεύοντος, ἐλπίδα ἐμποιῶν τοῦ συλληφθήσεσθαι, ἐξαπατᾷ τε, ἕως ἂν ἀποπτῶσιν οἱ νεοττοί· εἶτα καὶ αὐτὸς ἐξίπταται."

XLII. Libido perdicum.

„Ἔστι δὲ τὸ ζῶον κακόηθες, καὶ πανοῦργον· ἔτι δὲ ἀφροδισιαστικόν. διὸ καὶ τὰ ὠὰ τῆς θηλείας συντρίβει, ἵνα ἀπολαύῃ τῶν ἀφροδισίων. ὅθεν ἡ θήλεια, γιγνώσκουσα, ἀποδιδράσκουσα τίκτει." Τὰ αὐτὰ ἱστορεῖ καὶ Καλλίμαχος, ἐν τῷ Περὶ Ὀρνέων. Μάχονται δὲ καὶ οἱ χῆροι αὐτῶν πρὸς ἀλλήλους, καὶ ὁ ἡτ- c τηθεὶς ἐχεύεται ὑπὸ τοῦ νικήσαντος. Ἀριστοτέλης δέ φησι, ὅτι τὸν ἡττηθέντα πάντες ἐν μέρει ἐχεύουσιν.

dix est avis terrestris, fissos pedes habens. Vivit annos quindecim: foemina vero etiam diutius. Nam in avibus longior vita est foeminis, quam maribus. Ovis incubat, ac pullos enutrit, quemadmodum gallina. Ubi insidiari sibi aucupem sentit, e nido progrediens ante pedes aucupis sese volutat, spem ei faciens comprehendi se posse: atque ita eum decipit, donec evolarint pulli; tum vero & ipsa avolat."

42. »Est autem animal versutum, & malignum: adhaec libidinosum. Quare mas ova etiam frangit foeminae, quo fruatur venere: quod quia intelligit foemina, aufugit, clanculum paritura." Eadem tradit etiam Callimachus, in libro DE Avibus. Pugnant autem inter se mares foeminâ carentes: & qui victus est, initur a victore. Aristoteles vero scribit, eum qui victus fuerit a caeteris omnibus per vices iniri; atque etiam sylvestres

ὀχεύουσι δὲ καὶ οἱ τιθασοὶ τοὺς ἀγρίους. ἐπειδὰν δὲ κρατηθῇ τις ὑπὸ τοῦ δευτέρου, οὗτος λάθρα ὀχεύεται ὑπὸ τοῦ κρατιστεύσαντος. γίνεται δὲ τοῦτο κατά τινα ὥραν τοῦ ἔτους, ὡς καὶ ὁ Μύνδιός φησιν Ἀλέξανδρος. Νεοττεύουσι δὲ ἐπὶ γῆς, οἱ ἄρρενες καὶ αἱ θήλειαι διελόμενοι ἕκαστοι οἶκον. Ἐπὶ δὲ τὸν θηρεύοντα πέρδικα ὠθεῖται ὁ τῶν ἀγρίων ἡγεμὼν μαχόμενος· ἀλόν-
d τος δὲ τούτου, ἕτερος ἔρχεται μαχούμενος. καὶ ὁπόταν μὲν ἄρρην ᾖ θηρεύων, τοῦτο ποιεῖ. ὅταν δὲ θήλεια ᾖ ἡ θηρεύουσα, ᾄδει [1] ἕως ἂν ἀπαντήσῃ ὁ ἡγεμὼν αὐτῇ· [2] καὶ οἱ ἄλλοι ἀθροισθέντες ἀποδιώκουσιν ἀπὸ τῆς θηλείας, ὅτι ἐκείνῃ ἀλλ' οὐχ ἑαυτοῖς προσέχει. ὅθεν πολλάκις διὰ ταῦτα σιγῇ προσέρχεται, ὅπως μὴ ἄλλος ἀκούσας τῆς φωνῆς ἔλθῃ, μαχούμενος αὐτῷ. ἐνίοτε δὲ ἡ θήλεια τὸν ἄρρενα προσιόντα κατασιγάζει. [3] πολ-

1 ᾗ καὶ θηρεύουσα ᾄδει ed. Caſ. 2 Vulgo ἕως ἂν ἀπατηθῇ ὁ ἡγεμὼν αὐτῆς. 3 Iſta per auctoris errorem corrupta videntur; cum oportuiſſet, τὴν θήλειαν ὁ ἄρρην προσιὼν κατασιγάζει: *Nonnumquam mas progrediens ſilere facit foeminam.*

a cicuribus. Quod ſi quis vero ab altero fuerit victus, hic clam patitur victoris venerem. Fit autem hoc certo quodam anni tempore, quemadmodum etiam Alexander Myndius tradit. Nidificant in terra, ita ut mas & foemina diſtinctum ſibi quisque loculamentum paret. Adverſus illicem perdicem dux ſylveſtrium in pugnam procedit: qui ſi fuerit captus, progreditur alius pugnam redintegraturus. Quod ſi foemina eſt illex, cantillat illa donec obviam ei procedat dux ſylveſtrium: quo facto alii gregatim adcurrunt, & hunc a foemina abigunt, quoniam illam magis quam ipſos curat. Quare interdum clam progreditur ille, ne alius mas auditâ foeminae voce ſuperveniat, cum ipſo pugnaturus. Interdum verò & vocem masculi compeſcit foemina. Ac

λάκις τε ἐπωάζουσα ἐξίσταται, ὅταν προσερχόμενον ἐπαισθάνηται τὸν ἄῤῥενα τῇ θηρευούσῃ, ὑπομένει τε ὀχευθῆναι, ἵνα αὐτὸν ἀποσπάσῃ τῆς θηρευούσης. Ἐπὶ e τοσοῦτον δὲ ἐπτόηνται περὶ τὴν ὀχείαν οἱ πέρδικες καὶ οἱ ὄρτυγες, ὡς εἰς τοὺς θηρεύοντας ἐμπίπτειν, καθίζοντας ἐπὶ τῶν κεράμων. [1] Ὅασὶ δὲ καὶ τὰς ἀγομένας θηλείας πέρδικας ἐπὶ θήραν, ὁπόταν ἴδωσιν ἢ ὄσφρωνται τῶν ἀῤῥένων κατ' ἄνεμον στάντων ἢ περιπετομένων, ἐγκύους γίγνεσθαι, τινὲς δὲ καὶ παραυτίκα τίκτειν. πέτονταί τε περὶ [2] τὸν τῆς ὀχείας καιρὸν χάσκοντες, καὶ τὴν γλῶσσαν ἔξω ἔχοντες, αἵ τε θήλεις καὶ οἱ ἄῤῥενες. Κλέαρχος δὲ ἐν τῷ Περὶ τοῦ Πανικοῦ· „Οἱ στρουθοὶ, φησὶ, χ' οἱ πέρδικες, ἔτι δὲ f οἱ ἀλεκτρυόνες, καὶ οἱ ὄρτυγες προΐενται τὴν γονὴν, οὐ μόνον ἰδόντες τὰς θηλείας, ἀλλὰ κἂν ἀκούσωσιν αὐτῶν τὴν φωνήν. τούτου δὲ αἴτιον ἡ τῇ ψυχῇ γινομένη

1 ἐπὶ τὰς κεφαλὰς Aristot. 2 παρὰ edd.

saepe etiam, dum incubat, quum marem ad illicem foeminam accedere sensit, surgit ab ovis, ab illoque subigi se patitur, quo ab illice eum abstrahat. Sunt autem tam attonitae in venerem perdices & coturnices, ut aucupibus sese obtrudant, & in tectis [*sive*, in capitibus eorum] residéant. Aiunt vero perdices foeminas, cum ad aucupium educuntur, sicubi viderint aut olfecerint mares ea parte unde flat aura stantes aut circumvolantes, praegnantes fieri: quidam etiam tradunt, protinus ova parere. Volant autem, cum libidine pruriunt, hiante ore exsertâque linguâ, tam foeminae quam mares. Clearchus vero, in libro de Panico, scribit: » Passeres & perdices, item galli gallinacei, & coturnices, semen emittunt, non modo quum vident foeminas, sed & voce saltem earum auditâ. Cuius rei causa est im-

φαντασία περὶ τῶν πλησιασμῶν. φανερώτατον [1] δὲ γίνεται περὶ τὰς ὀχείας, ὅταν ἐξ ἐναντίας αὐτοῖς θῆς κάτοπτρον. προστρέχοντες γὰρ διὰ τὴν ἔμφασιν, ἁλίσκονταί τε, καὶ προΐενται τὸ σπέρμα· πλὴν τῶν ἀλεκτρυόνων. τούτους δὲ ἡ τῆς ἐμφάσεως αἴσθησις εἰς μάχην προάγεται μόνον." Ταῦτα μὲν ὁ Κλέαρχος.

XLIII. Vox perdicum.

Καλοῦνται δὲ οἱ πέρδικες ὑπ' ἐνίων κακκάβαι, ὡς καὶ ὑπ' Ἀλκμᾶνος, λέγοντος οὕτως·

a Ἐπῆγε [2] δὲ καὶ μέλος Ἀλκμάν·
εὗρέ τε γλωσσάμενον κακκαβίδων
ὄνομα συνθέμενος.

σαφῶς ἐμφανίζων, ὅτι παρὰ τῶν περδίκων ᾄδειν ἐμάνθανε. διὸ καὶ Χαμαιλέων ὁ Ποντικὸς ἔφη, τὴν εὕρεσιν τῆς μουσικῆς τοῖς ἀρχαίοις ἐπινοηθῆναι ἀπὸ τῶν ἐν ταῖς ἐρημίαις ᾀδόντων ὀρνίθων· ὧν κατὰ μίμησιν λαβεῖν στάσιν τὴν μουσικήν. Οὐ πάντες δ' οἱ πέρδικες,

1 φανερώτερον ms. *Ep.* 2 Ἐπήγαγε ed. Caſ.

preſſa in animo veneris & coitus imaginatio. Fit hoc manifeſtiſſimum, ſi pruritus tempore ex adverſo masculi ſpeculum poſueris. Adcurrunt enim ſpecie decepti, & capi ſe ſinunt, ſemenque emittunt: exceptis tamen gallis. Hi enim imaginis adſpectu non niſi ad pugnam excitantur. « Hactenus Clearchus.

43. Vocantur vero perdices a nonnullis *caccabae*, ut ab Alcmane, cuius haec ſunt verba:

Invenit vero & cantum Alcman:
compoſitamque a ſe caccabidum vocem
hominum in linguam invexit.

Quibus clare ſignificat, a perdicibus ſe canere didiciſſe. Quare & Chamaeleo Ponticus ait, inveniendae Muſicae occaſionem cepiſſe antiquos ab avibus in ſolitudine canentibus; earumque ad imitationem inſtitutam eſſe muſicam artem. Nec vero omnes (aiunt) *caccabant* perdi-

φασὶ, κακκαβίζουσιν. Θεόφραστος γοῦν ἐν τῷ Περὶ Ἑτεροφωνίας τῶν ὁμογενῶν· „Οἱ Ἀθήνησι, φησὶν, ἐπὶ ταδε πέρδικες τοῦ Κορυδαλλοῦ [1] πρὸς τὸ ἄστυ b κακκαβίζουσιν· οἱ δ' ἐπέκεινα, τιττυβίζουσιν.“ Βάσιλις δε, ἐν τῷ δευτέρῳ τῶν Ἰνδικῶν· „Οἱ μικροὶ, φησὶν, ἄνδρες, οἱ ταῖς γερανοις διαπολεμοῦντες, πέρδιξιν ὀχήματι χρῶνται.“ Μενεκλῆς δ', ἐν πρώτῃ τῆς Συναγωγῆς· „Οἱ Πυγμαῖοι, φησὶ, τοῖς πέρδιξι καὶ τοῖς γεράνοις πολεμοῦσι.“ Τῶν δὲ περδίκων ἐστὶν ἕτερον γένος ἐν Ἰταλίᾳ, ἀμαυρὸν τῇ πτερώσει, καὶ μικρότερον τῇ ἕξει, το ῥύγχος οὐχὶ κινναβάρινον ἔχον. οἱ δὲ περὶ τὴν Κίρραν πέρδικες, ἄβρωτον ἔχουσι τὸ κρέας διὰ τὰς νομάς. οἱ δὲ περὶ τὴν Βοιωτίαν, ἢ οὐ διαβαί- c νουσιν εἰς τὴν Ἀττικὴν, ἢ διαβαίνοντες τῇ Φωνῇ διάδηλοι γίγνονται, καθάπερ πρειρήκαμεν. τοὺς δὲ περὶ Παφλαγονίαν γιγνομένους πέρδικας, Φησὶ Θεόφραστος δύο ἔχειν καρδίας. οἱ δὲ ἐν Σκιάθῳ τῇ νήσῳ, κο-

Pygmaei perdicibus vehuntur.

Varia de perdicibus.

1 πέρδικες ἐπὶ τάδε τοῦ Κορυδαλοῦ edd.

ces. Theophraſtus ſane, in libro de Varia voce Animalium congenerum, ait: »Perdices Atticae, quae ſunt citra Corydallum verſus urbem, *caccabant;* quae ſunt ultra, *tittybizant.*« Baſilis vero, ſecundo Rerum Indicarum ſcribit: » Homunciones illi, qui cum gruibus bellum gerunt, vehuntur perdicibus.« Menecles autem, primo libro Collectaneorum, Pygmaeos ait bellum gerere cum perdicibus & gruibus. Eſt autem aliud perdicum genus in Italia, pennarum obſcuro colore, corpore minore, roſtro minime rubro. Circa Cirrham perdices carnem habent eſu inſuavem admodum, ob pabuli naturam. Boeoticae, aut non transeunt in Atticam, aut, ſi transeunt, voce dignoſcuntur, ut ſupra diximus. Quae in Paphlagonia gignuntur perdices, iis bina corda ineſſe ſcribit Theophraſtus. Quae in Scia-

χλίας ἐσθίουσι. Τίκτουσι δὲ ἐνίοτε καὶ πεντεκαίδεκα καὶ ἑκκαίδεκα. πέτονται δὲ ἐπὶ βραχὺ, ὡς φησι Ξενοφῶν ἐν πρώτῳ Ἀναβάσεως, γράφων οὕτως· „Τὰς δὲ ὠτίδας ἂν τις ταχὺ ἀνίστη, ἔστι λαμβάνειν. πέτονταί τε γὰρ βραχὺ, ὥσπερ οἱ πέρδικες, καὶ ταχὺ ἀπαγορεύουσι. τὰ δὲ κρέα αὐτῶν ἡδέα ἐστίν.“

XLIV.

Otis, & Otus.

Ἀληθῆ λέγειν φησὶ τὸν Ξενοφῶντα ὁ Πλούταρχος περὶ τῶν ΩΤΙΔΩΝ· φέρεσθαι γὰρ πάμπολλα τὰ ζῶα ταῦτα εἰς τὴν Ἀλεξάνδρειαν ἀπὸ τῆς παρακειμένης Λιβύης· τῆς θήρας αὐτῶν τοιαύτης γινομένης. μιμητικόν ἐστι τὸ ζῶον τοῦτο, ὃ ὦτες, μάλιστα ὧν ἂν ἴδῃ ποιοῦντα ἄνθρωπον. ποιεῖ δ' οὖν ταυτὰ ὅσα ἂν ἴδῃ τοὺς κυνηγοῦντας πράττοντας. οἱ δὲ στάντες αὐτῶν κατὰ ἀντικρὺ, ὑπαλείφονται φαρμάκῳ τοὺς ὀφθαλμοὺς, παρασκευάσαντες ἄλλα φάρμακα κολλητικὰ ὀφθαλμῶν καὶ βλεφάρων, ἅπερ οὐ

tho inſula, veſcuntur cochleis. Pariunt perdices interdum ad quindecim & ſedecim. Volant ad breve ſpatium, ut ait Xenophon primo libro de Expeditione Cyri, ubi ſcribit: » *Otidas* ſi quis ſubito excitaverit, capere easdem poteſt: nam parum volant, quemadmodum perdices, & brevi fatiſcunt. Caro earum grata in cibo. «

44. Vera ſunt, inquit Plutarchus, quae de Otidibus Xenophon ſcripſit: ingens enim copia harum avium Alexandriam perfertur ex vicina Libya. Capiuntur autem illae tali artificio. Imitatrix avis haec eſt, cui & *otus* nomen; ea maxime imitans, quae ab homine viderit fieri. Facit igitur quidquid facientes aucupes vidit. Hi autem ex adverſo ſtantes, oculos ſuos unguento quodam oblinunt: ſimul vero alia unguenta, ita parata ut oculos & cilia conglutinent, haud procul a ſe

πόρρω ἑαυτῶν ἐν λεκανίσκαις βραχείαις τιθέασιν. οἱ οὖν ὦτοι θεώμενοι [1] τοὺς ὑπαλειφομένους, τὸ αὐτὸ καὶ αὐτοὶ ποιοῦσιν, ἐκ τῶν λεκανίδων λαμβάνοντες· καὶ ταχέως ἁλίσκονται. Γράφει δὲ περὶ αὐτῶν Ἀριστοτέλης οὕτως· „Ὅτι ἔστι μὲν τῶν ἐκτοπιζόντων, καὶ σχιδανοπόδων, καὶ τριδακτύλων· μέγεθος ἀλεκτρυόνος μεγάλου, χρῶμα ὄρτυγος, κεφαλὴ προμήκης, ῥύγχος ὀξὺ, τράχηλος λεπτὸς, ὀφθαλμοὶ μεγάλοι, γλῶσσα ὀστώδης, πρόλοβον δ' οὐκ ἔχει." Ἀλέξανδρος δὲ ὁ Μύνδιος, καὶ προσαγορεύεσθαί φησιν αὐτὸν λαγωδίαν. Φασὶ δ', αὐτὸν καὶ τὴν τροφὴν ἀναμαρυκᾶσθαι, [2] ἥδεσθαί τε ἵππῳ. εἰ γοῦν τις δοραν ἵππων περιθοῖτο, θηρεύσει ὅσους ἂν θέλοι· προσίασι γάρ. Ἐν ἄλλοις δὲ πάλιν φησὶν ὁ Ἀριστοτέλης· „Ὁ ὦτος ἐστὶ μὲν παρόμοιος τῇ γλαυκὶ, οὐκ ἔστι δὲ νυκτερινός. ἔχει τε περὶ [3] τὰ ὦτα πτερύγια· διὸ καὶ ὦτος καλεῖται· μέγεθος περιστερᾶς, μιμητὴς ἀνθρώπων. ἀντορ-

1 θεωρούμενοι edd. 2 ἀναμηρυκάσθαι ed. Caſ. 3 παρὰ edd.

in parvis patellis deponunt. Igitur oti illos ungentes conſpicati, idem & ipſi faciunt, ſumto e patellis unguento; & protinus capiuntur. Scribit de his Ariſtoteles in hunc modum: » Avis eſt ex earum genere quae peregrinantur; ſciſſis pedibus; tribus digitis; magnitudine galli maioris; colore coturnicis; capite oblongo; roſtro acuto; collo gracili; amplis oculis; linguâ oſſeâ: ingluviem vero non habet.« Alexander vero Myndius ſcribit, adpellari eum etiam *lagodian*. Aiunt autem, ruminare eos cibum, & delectari equo: ita quidem ut, ſi quis equi pelle tectus eis inſidietur, capiat quotquot voluerit, ultro quippe accedentes. Alibi rurſus ait Ariſtoteles: » *Otus* ſimilis eſt noctuae, nec vero noctu volat. Habet autem circa aures pinnulas: quare & *otus* nominatur. Magnitudine eſt columbae, hominum

χούμενος γοῦν ἁλίσκεται." Ἀνθρωποειδὴς δέ ἐστι τὴν μορφὴν, καὶ πάντων μιμητὴς ὅσα ἄνθρωπος ποιεῖ. a διόπερ καὶ τοὺς ἐξαπατωμένους ῥᾳδίως ἐκ τοῦ τυχόντος οἱ κωμικοὶ ὤτους καλοῦσιν. ἐν γοῦν τῇ θήρᾳ αὐτῶν ὁ ἐπιτηδειότατος ὀρχεῖται στὰς κατὰ πρόσωπον αὐτῶν· καὶ τὰ ζῶα βλέποντα εἰς τὸν ὀρχούμενον, νευροσπαστεῖται. ἄλλος δέ τις ὄπισθεν στὰς, καὶ λαθὼν συλλαμβάνει τῇ περὶ τὴν μίμησιν ἡδονῇ κατεχομένους.

XLV. Scops, avis.

Τὸ δ' αὐτὸ ποιεῖν λέγουσι καὶ τοὺς ΣΚΩΠΑΣ· καὶ γὰρ τούτους ὀρχήσει λόγος ἁλίσκεσθαι. μνημονεύει δ' αὐτῶν Ὅμηρος. γένος τε ὀρχήσεως ἀπ' αὐτῶν καλεῖται σκώψ· λαβὼν τοὔνομα ἀπὸ τῆς περὶ τὸ ζῶον b ἐν τῇ κινήσει ποικιλίας. χαίρουσιν δὲ οἱ σκῶπες καὶ ὁμοιότητι, καὶ ἀπ' αὐτῶν ἡμεῖς σκώπτειν καλοῦμεν τὸ συνεικάζειν, καὶ καταστοχάζεσθαι τῶν σκω-

imitator: nam & capitur, dum ex adverſo ſaltantis aucupis ſaltat ipſe. « Eſt autem adſpectu homini quodammodo ſimilis, & omnia imitatur quaecumque homo facit. Itaque hos qui facile ſe decipi quavis occaſione patiuntur, *otos* vocant comici poëtae. In illorum aucupio, qui ad hoc maxime expeditus eſt, ſaltat e regione: & avis, ſaltantem intentis oculis reſpiciens, movetur veluti ſigillum nervis alienis tractum. Interim alius auceps a tergo ſtans, clam prehendit avem, imitandi voluptate derentam.

45. Idem facere dicunt SCOPAS: nam & hos fama eſt ſaltatione capi. Meminit autem eorum etiam Homerus. Et ab his genus etiam quoddam ſaltationis *ſcops* dicitur, quod ab huius animalis vario atque vario motu nomen invenit. Gaudent vero ſcopes quoque imitatione & ſimilitudine: & ab illis nos *σκώπτειν* dicimus hos, qui reſpicientes eum quem irridere volunt, mo-

πτομένων, [1] διὰ τὸ τὴν ἐκείνων ἐπιτηδεύειν προαίρεσιν. Πάντα δὲ τὰ τῶν ζώων εὔγλωττα, [2] καὶ διηρθρωμένα ἐστὶ τὴν φωνὴν, καὶ μιμεῖται τοὺς τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ὀρνίθων ἤχους· ὥσπερ ψιττακὸς, καὶ κίττα. ὁ δὲ σκὼψ, ὥς φησιν Ἀλέξανδρος ὁ Μύνδιος, μικρότερός ἐστι [3] γλαυκὸς, καὶ ἐπὶ μολυβδοφανεῖ τῷ χρώματι ὑπόλευκα στίγματα ἔχει· δύο τε ἀπὸ τῶν ὀφρύων παρ' ἑκάτερον κρόταφον ἀναφέρει πτερά. Καλ- c
λίμαχος δέ φησι, δύο γένη εἶναι σκωπῶν, καὶ τοὺς μὲν φθέγγεσθαι, τοὺς δὲ οὔ. διὸ καὶ καλεῖσθαι τοὺς μὲν σκῶπας αὐτῶν, τοὺς δ' ἀείσκωπας. εἰσὶ δὲ γλαυκοί. Ὁ δὲ Μύνδιος Ἀλέξανδρος φησὶ, τοὺς παρ' Ὁμήρῳ χωρὶς τοῦ σ κῶπας εἶναι, καὶ Ἀριστοτέλη οὕτως αὐτοὺς ὠνομακέναι· φαίνεσθαί τε τούτους ἀεὶ, καὶ μὴ ἐσθίεσθαι. τοὺς δ' ἐν τῷ φθινοπώρῳ φαινομένους δύο

1 τοὺς σκωπτομένους vulgo. 2 εὐρύγλωττα corrigunt nonnulli. 3 μικρόσκελός ἐστι ed. Caſ. 3.

res eius imitantur & effingunt; quoniam avium illarum inſtitutum ſequuntur. Quaecumque vero ex animalibus linguam habent commode conformatam, [*ſive*, Quaecumque vero ex avium genere latam linguam habent,] vocem etiam edunt articulatam, & hominum aliarumque avium imitantur ſonos: ut pſittacus, & pica. Scops vero, ut ait Alexander Myndius, minor eſt noctuâ, & colore ad plumbeum vergente ſubalbidis maculis notatus: & in utroque tempore pinnas e ſuperciliis erectas habet. Callimachus vero ait, duo eſſe ſcopum genera; alios vocales, alios mutos: indeque hos ſimpliciter *ſcopas* vocari, illos vero *aeiſcopas*. Sunt autem hi glauci. Myndius vero Alexander ait, eos qui apud Homerum nominantur, absque σ literâ *copas* eſſe; & Ariſtotelem eos ſic nominaſſe: ſemper autem hos conſpici, nec vero comedi: qui vero non niſi autumno per unum diem

ἡμέραις ἢ μιᾷ, τούτους εἶναι ἐδωδίμους. διαφέρουσι δὲ τῶν ἀεισκώπων τῷ τάχει, [1] καί εἰσι παραπλήσιοι
d τρυγόνι καὶ φάττῃ. καὶ Σπεύσιππος δ', ἐν δευτέρῳ Ὁμοίων, χωρὶς τοῦ σ, κῶπας αὐτοὺς ὀνομάζει. Ἐπίχαρμος· „Σκῶπας, [2] ἔποπας, γλαῦκας." καὶ Μητρόδωρος δ', ἐν τῷ Περὶ Συνηθείας, ἀντορχουμένους φησὶν ἁλίσκεσθαι τοὺς σκῶπας. [3]

XLVI. Galli gallinacei ſalaces.

Ἐπεὶ δ' ἐν τῷ περὶ τῶν [4] περδίκων λόγῳ ἐμνήσθημεν, ὅτι εἰσὶν ὀχευτικώτατοι, προσιστορήσθω ὅτι καὶ ἀλεκτρυὼν ἀφροδισιαστικὸν τὸ ὄρνεον. Ἀριστοτέλης γοῦν φησιν, ὅτι τῶν ἀνατιθεμένων ἐν τοῖς ἱεροῖς ἀλεκτρυόνων, τὸν ἀνατεθέντα οἱ προόντες [5] ὀχεύουσι μέχρις ἂν ἄλλος ἀνατεθῇ· εἰ δὲ μὴ ἀνατεθῇ, μάχον-
e ται πρὸς ἀλλήλους, καὶ ὁ ἡττήσας τὸν ἡττηθέντα διὰ παντὸς ὀχεύει. Ἱστορεῖται δέ, ὅτι καὶ ἀλεκτρυὼν εἰσιὼν

1 τῷ πάχει apud Ariſt. & Aelian. 2 κᾶπας edd. 3 Ruſus κᾶπας edd. 4 Abeſt articulus edd. 5 οἱ προσιόντες edd.

aut biduum adpareant, eos edules eſſe. Differunt vero hi ab *aeiſcopis* celeritate, ſuntque turturi & palumbo ſimiles. Pariter vero etiam Speuſippus, ſecundo libro Similium, *copas* illos, absque *ſ* litera, nominat. Epicharmus: *Scopas*, *upupas*, *noctuas*. Porro etiam Metrodorus, in libro de Conſuetudine, ſcribit, capi ſcopas ex adverſo aucupum ſaltantium ſaltantes.

46. Quoniam vero, ubi de perdicibus disputatum eſt, commemoravimus eſſe eas ad libidinem admodum propenſas; adiiciamus, age, quae de *galli gallinacei ſalacitate* traduntur. Ait igitur Ariſtoteles, in delubris templorum, ubi Diis dicati aluntur galli, eum qui recens dicatus ſit iniri ab his qui ante adfuerunt, donec alius fuerit dicatus: ſi novus non ſubinde accedat, pugnare illos inter ſe, victumque ſemper iniri a victore. Narratur quoque, numquam per ianuam quamcumque trans-

οἵαν δή ποτε θύραν, ἐπικλίνει τὸν λόφον· καὶ ὅτι τῆς ὀχείας ἑτέρῳ δίχα μάχης οὐ παραχωρεῖ. Ὁ δὲ Θεόφραστος, τοὺς ἀγρίους, φησὶν, ὀχευτικωτέρους εἶναι τῶν ἡμέρων. λέγει δὲ καὶ τοὺς ἄρρενας εὐθὺς ἐξ εὐνῆς ἐθέλειν πλησιάζειν, τὰς δὲ θηλείας προβαινούσης μᾶλ-

PASSERES. λον τῆς ἡμέρας. Καὶ οἱ στρουθοὶ δέ εἰσιν ὀχευτικοί· διὸ καὶ Τερψικλῆς τοὺς ἐμφαγόντας φησὶ στρουθῶν, ἐπικαταφόρους πρὸς Ἀφροδίσια γίνεσθαι. μήποτε οὖν καὶ ἡ Σαπφὼ ἀπὸ τῆς ἱστορίας τὴν Ἀφροδίτην ἐπ' αὐτῶν φησιν ὀχεῖσθαι· καὶ γὰρ ὀχευτικὸν τὸ ζῶον, καὶ πολύγονον. τίκτει γοῦν ὁ στρουθὸς, ὡς φησιν Ἀριστοτέλης, καὶ μέχρι ὀκτώ. Ἀλέξανδρος δὲ ὁ Μύνδιος δύο γένη φησὶν εἶναι τῶν στρουθῶν, τὸ μὲν ἥμερον, τὸ δὲ ἄγριον· τὰς δὲ θηλείας αὐτῶν ἀσθενεστέρας τά τ' ἄλλα εἶναι, καὶ τὸ ῥύγχος κερατοειδεῖς [1] μᾶλλον τὴν χρόαν, τὸ δὲ πρόσωπον οὔτε λίαν λευκὸν ἐχούσας, οὔ-

1 Rectius fuerit κερατοειδὲς, aut κεραμοειδές.

ire gallum, quin criſtam inclinet: nec alii gallo, citra pugnam, coitum concedere. Theophraſtus vero ait, agreſtes gallos libidinoſiores eſſe cortalibus. Aitque praeterea, gallos ſtatim e cubili ad venerem concitari, gallinas vero progrediente magis die. Sunt vero & *paſſeres* ad libidinem proni. Quare & homines qui paſſeribus veſcantur, ad venerem praecipites fieri; ait Terpſicles. Ac fortaſſe eamdem ob famam Sappho, Veneris currum, ait, ab his aviculis trahi; utpote ad coitum pronis & foecundis admodum. Parit ſane paſſer, ut ſcribit Ariſtoteles, ad octo pullos. Alexander vero Myndius duo ait eſſe paſſerum genera, alterum domeſticum, alterum ſylveſtre. Eſſe autem foeminas eorum cum alioqui debiliores, tum roſtri colore magis corneo, [*ſive*, teſtaceo,] facie vero nec admodum alba

τε μέλαν. Ἀριστοτέλης δέ φησι, τοὺς ἄρρενας τῷ χει-
a μῶνι ἀφανίζεσθαι, διαμένειν δὲ τὰς θηλείας, τεκμαι-
ρόμενος ἐκ τῆς χρόας τὴν πιθανότητα· ἀλλάττεσθαι
γὰρ ὡς τῶν κοσσύφων καὶ φαλαρίδων, ἀπολευκαι-
νομένων κατὰ καιρούς. Ἠλεῖοι δὲ καλοῦσι τοὺς στρου-
θοὺς δειρήτας, [1] ὡς Νίκανδρός φησιν ὁ Κολοφώνιος
ἐν τρίτῳ Γλωσσῶν.

Ὄρτυγες. Καθόλου ἐπὶ τῶν εἰς υξ ληγόν- XLVII.
των ὀνομάτων ἐζήτηται, τί δή ποτε τῷ αὐτῷ [2] οὐ χρῶν- Coturnix.
ται ἐπὶ γενικῆς συμφώνῳ τῆς τελευταίας συλλαβῆς Nomina
τυπωτικῷ. λέγω δὲ ὄνυξ, καὶ ὄρτυξ. τὰ δὲ εἰς ξ ἀρ- Graeca in
σενικὰ ἁπλᾶ δισσύλλαβα, ὅταν τῷ υ παρεδρεύηται, υξ exeun-
b ἔχῃ [3] δὲ τῆς τελευταίας συλλαβῆς ἄρχον ἔν τι τῶν tia.
ἀμεταβόλων ἢ δι' ὧν ἡ πρώτη συζυγία τῶν βαρυτόνων
λέγεται, διὰ τοῦ κ ἐπὶ γενικῆς κλίνεται· κήρυκος,

1 δειρίτας edd. 2 αὐτῷ absque τῷ edd. 3 ἔχει edd.

nec nigra. Aristoteles vero ait, mares hieme nusquam comparere, manere vero foeminas: probabile id esse colligens ex colore; mutari enim eum, ut in merulis & in phalaridibus, quae certo anni tempore albescunt. Elei vero, passeres vocant *deiritas;* ut Nicander Colophonius tradit, tertio libro Glossarum.

47. Coturnices. Graece Ὄρτυγες. Generatim de nominibus in υξ desinentibus quaeritur, cur in genitivo casu non habeant eamdem consonam literam characteristicam in ultimae syllabae initio? veluti ὄνυξ, (*unguis*,) & ὄρτυξ. (*coturnix.*) Nomina enim masculina simplicia dissyllaba in ξ exeuntia, praecedente vocali υ, si ultimam syllabam incipiunt ab una e consonis immutabilibus, [quas *liquidas* vocare consuevimus,] aut ab una ex illis consonis quae sunt characteristicae coniugationis primae verborum barytonorum, flectuntur in genitivo per κ literam; ut κήρυκος, (*praeconis*,) πέλυκος, (*secu-*

πέλυκος, Ἔρυκος, Βέβρυκος. ὅσα δὲ μὴ τοῦτον ἔχει τὸν χαρακτῆρα, διὰ τοῦ γ· ὄρτυγος, κόκκυγος, ὄρυγος. [1] σημειῶδες δὲ τὸ ὄνυχος. καθόλου τε τῇ πληθυντικῇ εὐθείᾳ ἑπομένη ἡ ἑνικὴ γενικὴ χρῆται τῷ αὐτῷ συμφώνῳ τῆς τελευταίας τυπωτικῷ· κἂν ἄνευ συμφώνου λέγηται, [2] ὁμοίως. Ἀριστοτέλης δὲ φησίν· „Ὁ ὄρτυξ, ἔστι μὲν τῶν ἐκτοπιζόντων, καὶ σχιδανοπόδων· νεοττιὰν δὲ οὐ ποιεῖ, ἀλλὰ κονίστραν· καὶ ταύτην σκεπάζει Φρυγάνοις διὰ τοὺς ἱέρακας, ἐν ᾗ ἐπωάζει.“ Ἀλέξανδρος δὲ ὁ Μύνδιος, ἐν δευτέρῳ Περὶ Ζώων· „Ὁ θῆλυς, φησὶν, ὄρτυξ λεπτοτράχηλός ἐστι, τοῦ ἄρρενος οὐκ ἔχων τὰ ὑπὸ τῷ γενείῳ μέλανα. ἀνατμηθεὶς δὲ, πρόλοβον οὐχ ὁρᾶται μέγαν ἔχων, καρδίαν δὲ ἔχει [3] μεγάλην, καὶ ταύτην τρίλοβον. ἔχει δὲ καὶ ἧπαρ καὶ τὴν χολὴν ἐν τοῖς ἐντέροις κεκολλημένην· σπλῆνα

Coturnicis descriptio.

1 ὄρυγος ignorant ed. Ven. & Baſ. Et incommode ſane hic poſitum nomen. 2 λέγεται edd. 3 ἔχειν edd.

ris,) Ἔρυκος, (*Erycis montis*,) Βέβρυκος. Quae vero illum characterem non habent, per γ flectuntur: ut ὄρτυγος, (*coturnicis*,) κόκκυγος, (*cuculi*;) [ὄρυγος, *orygis*.] Peculiare vero eſt ὄνυχος. [*unguis*.] Generatim vero, nominativum pluralem ſequitur genitivus ſingularis, eamdemque habet conſonam characteriſticam initio poſtremae ſyllabae: ſimiliterque, ſi abſque conſona declinatur nomen. Scribit autem Ariſtoteles: »*Coturnix* eſt e genere avium peregrinantium, & fiſſos pedes habentium. Nidum non facit, ſed cubile pulvereum, ubi incubat; idque fruticibus obtegit accipitrum cauſſa.« Alexander vero Myndius, ſecundo libro de Animantibus: »Coturnix foemina, ait, gracili collo eſt, nec habet nigras partes ſub mento, quas habet mas. Si diſſecetur, adparet ingluviem non habere magnam, ſed cor magnum, idque trilobum. Hepar & fel habet inteſtinis

d μικρὸν, καὶ δυσθεώρητον· ὄρχεις δὲ ὑπὸ τῷ ἤπατι, ὡς ἀλεκτρυόνες. Περὶ δὲ τῆς γενέσεως αὐτῶν Φανόδημος ἐν δευτέρῳ Ἀτθίδος φησίν· „Ὡς κατεῖδεν [1] Ἐρυσίχθων [2] Δῆλον τὴν νῆσον, τὴν ὑπὸ τῶν ἀρχαίων καλουμένην Ὀρτυγίαν, παρὰ τὸ [3] τὰς ἀγέλας τῶν ζώων τούτων φερομένας ἐκ τοῦ πελάγους ἰζάνειν εἰς τὴν νῆσον, διὰ τὸ εὔορμον εἶναι.“ Εὔδοξος δ' ὁ Κνίδιος, ἐν πρώτῳ Γῆς περιόδου, [4] τοὺς Φοίνικας λέγει θύειν τῷ Ἡρακλεῖ ὄρτυγας, διὰ τὸ τὸν Ἡρακλέα, τὸν Ἀστερίας καὶ Διὸς, πορευόμενον εἰς Λιβύην, ἀναιρεθῆναι μὲν ὑπὸ Τυφῶ- e νος, Ἰολάου δ' αὐτῷ προσενέγκαντος ὄρτυγα, καὶ προσαγαγόντος, ὀσφρανθέντα ἀναβιῶναι. ἔχαιρε γὰρ, φησὶ, καὶ περιὼν [5] τῷ ζώῳ τούτῳ.

Delos inf. olim Ortygia.

XLVIII. De coturnicibus varia.

Ὑποκοριστικῶς δὲ Εὔπολις ἐν Πόλεσιν αὐτοὺς κέκληκεν ὀρτύγια, λέγων οὕτως·

1 κατεῖχεν corr. Caſaub. 2 Εὐρυσίχθων vulgo. 3 παρὸ edd. 4 τῆς περιόδου ms. *A.* cum ed. Ven. 5 περιὼν edd.

adnexum; ſplenem parvum, & qui vix conſpiciatur; teſticulos vero ſub iecinore, ut galli gallinacei. De earum ortu Phanodemus ſecundo libro Rerum Atticarum ſic ſcribit: » Ut conſpexit Eryſichthon Delum inſulam, quae ab antiquis *Ortygia* (quaſi dicas *Coturnicum inſula*) nominata eſt ex eo, quod greges harum avium e mari huc delatarum in inſula conſidunt, ut quae ipſis commodam ſtationem praebet.« Eudoxus vero Cnidius, libro primo Circuitus terrae, Phoenices ait Herculi coturnices immolare; quia Hercules, Aſteriae & Iovis filius, in Africam profectus, cum occiſus fuiſſet a Typhone, in vitam eſſet revocatus odore coturnicis ab Iolao ipſi adlatae naribusque admotae. Nam, cum in vivis eſſet, delectatum eſſe, ait, ea ave.

48. Diminutivo vocabulo ὀρτύγια (quaſi *coturnicula*s) nominavit Eupolis in Urbibus, ubi ait:

Α. Ὄρτυγας ἔβρεψας [1] σύ τινας ἤδη πώποτε;

Β. Ἔγωγε μικρά γ' ὀρτύγια. κἄπειτα, τί;

Ἀντιφάνης δ' ἐν Ἀγροίκῳ ὀρτύγιον εἰρηκεν οὕτως·

— ὡς δὴ σὺ τί

ποιεῖν δυνάμενος, ὀρτυγίου ψυχὴν ἔχων;

Πρατίνας δ' ἐν Δυμαίναις [2] ἢ Καρυάτισιν, [3] ἁδύφωνον ἰδίως καλεῖ τὸν ὄρτυγα, πλὴν εἰ μή τι παρὰ τοῖς Φλιασίοις ἢ τοῖς Λάκωσι Φωνάεντες, ὡς καὶ οἱ πέρδικες. καὶ ἡ σίαλις δὲ ἀπὸ τούτου ἂν εἴη, φησὶν ὁ Δίδυμος, ὠνομασμένη. σχεδὸν γὰρ τὰ πλεῖστα τῶν ὀρνέων ἀπὸ τῆς Φωνῆς ἔχει τὴν ὀνομασίαν. Ἡ δὲ ὀρτυγομήτρα καλουμένη (ἧς μνημονεύει Κράτης [4] ἐν Χείρωσι, [5] λέγων· Ἰθακησία ὀρτυγομήτρα·) λέγει δὲ περὶ αὐτῆς ὁ Μύνδιος Ἀλέξανδρος, ὅτι ἐστὶ τὸ μέγεθος ἡλίκη τρυγὼν, σκέλη δὲ μακρὰ, [6] δυσθαλὴς, καὶ δειλή. Περὶ δὲ τῆς τῶν ὀρτύγων θήρας ἰδίως ἱστο-

Sialis avis.

Ortygometra.

1 Θρέψας vulgo. 2 Δυμάναις vulgo. Λαχαίναις corr. Caſ. 3 Καρίτισιν edd. Καριάτισιν ms. *A*. 4 Κρατῖνος videtur legendum. 5 Χείροσι edd. 6 μικρὰ ms. Ep.

Α. *Coturnices-ne tu ullas aluiſti umquam?*

Β. *Equidem parvas utique coturniculas. Sed quid inde?*

Antiphanes vero in Ruſtico *coturniculam* hoc modo dixit:

— Tu enim quid tandem

facere potis eſſes, coturniculae cor habens?

Singulare eſt autem, quod Pratinas, in Dymanis vel Caryatidibus, *ſuaviſonam* adpellavit coturnicem; niſi fortaſſe apud Phliaſios, aut apud Lacedaemonios, vocales ſunt hae aves, ſicuti & perdices. Fortaſſe & *ſialis* avis indidem nominata fuerit, ut ait Didymus. Nam fere omnia avium genera a voce nomen invenerunt. Quae vero *ortygometra vocatur*, (cuius Crates, [*ſive*, Cratinus] meminit in Chironibus, dicens: *Ithacenſis ortygometra:*) eſt ea, ut ait Alexander Myndius, magnitudine turturis, longis cruribus, gracili corpore, timida. De venatione autem

ρεῖ Κλέαρχος ὁ Σολεὺς, ἐν τῷ ἐπιγραΦομένῳ Περὶ τῶν ἐν τῇ Πλάτωνος Πολιτείᾳ μαθηματικῶς [1] εἰρημένων, γράΦων οὕτως· „Οἱ ὄρτυγες περὶ τὸν τῆς ὀχείας καιρὸν ἐὰν κάτοπτρον ἐξ ἐναντίας τις αὐτῶν, καὶ πρὸ τούτου βρόχον θῇ, τρέχοντες πρὸς τὸν ἐμΦαινόμενον ἐν τῷ κατόπτρῳ, ἐμπίπτουσιν εἰς τὸν βρόχον.“ Καὶ περὶ τῶν κολοιῶν δὲ καλουμένων τὰ ὅμοια ἱστορεῖ, ἐν b τούτοις· „Καὶ τοῖς κολοιοῖς δὲ διὰ τὴν Φυσικὴν Φιλοστοργίαν. [2] καὶ γὰρ τοσοῦτον πανουργίᾳ διαΦέρουσιν, ὅμως ὅταν ἐλαίου κρατὴρ τεθῇ πλήρης, οἱ στάντες αὐτῶν ἐπὶ τὸ χεῖλος, καὶ καταβλέψαντες, ἐπὶ τὸν ἐμΦαινόμενον καταράττουσι. διόπερ ἐλαιοβρόχων γενομένων, ἡ τῶν πτερῶν αὐτοῖς συγκόλλησις αἰτία γίνεται τῆς ἁλώσεως.“ Τὴν μέσην δὲ τοῦ ὀνόματος συλλαβὴν ἐκτείνουσιν Ἀττικοὶ, ὡς δοίδυκα, καὶ κήρυκα· Coturnicum venatio, & graculorum.

1 μαθηματικῶν edd. 2 Supple ἁλίσκεσθαι aut διαΦθείρεσθαι συμβαίνει, aut aliquid tale.

coturnicum ſingulare quiddam tradit Clearchus Solenſis, in libro qui inſcribitur De his quae apud Platonem ex ratione Mathematica dicta ſunt, ubi ita ſcribit: »Coturnices, quo tempore veneris pruritu concitantur, ſi quis ex adverſo earum ſpeculum poſuerit, & tendiculam ante ſpeculum, currentes ad imaginem in ſpeculo conſpectam, incidunt in tendiculam.« Idem de graculis, qui vocantur, ſimile quiddam narrat, dicens: »Atque etiam graculis tale quid accidit propter innatum ſui ſimilium amorem. His enim, quamvis adeo verſutiâ praeſtantibus, tamen ſi patera adponatur oleo repleta, in labio paterae reſidentes, & introrſum ſpectantes, cum impetu ruunt verſus avem quam intus conſpexerunt. Itaque oleo madentibus conglutinantur alae, & facile ipſae capiuntur.« Mediam vocabuli ſyllabam producunt Attici, quemadmodum δοίδυκα, (*cochlear*,)

ὡς ὁ Ἰξίων φησὶν Δημήτριος ἐν τῷ περὶ τῆς Ἀλεξανδρέων διαλέκτου. Ἀριστοφάνης δ' ἐν Εἰρήνῃ συνεσταλμένως ἔφη, διὰ τὸ μέτρον, c

ὄρτυγες οἰκογενεῖς.

Chennion. Τῶν δὲ καλουμένων χεννίων, μικρὸν δ' ἐστὶν ὀρτύγιον, μνημονεύει Κλεομένης ἐν τῇ πρὸς Ἀλέξανδρον Ἐπιστολῇ, γράφων οὕτως· „Φαληρίδας [1] ταριχηρὰς μυρίας, τυλάδας πεντακισχιλίας, χέννια ταριχηρὰ μύρια." καὶ Ἵππαρχος ἐν τῇ Αἰγυπτίᾳ Ἰλιάδι·

Οὔ μοι Αἰγυπτίων βίος ἥρεσεν, οἷον ἔχουσιν,
χέννια τίλλοντες † καλκατιάδει σαλέοντα. [2]

XLIX.

Cygnus. Οὐκ ἀπελείποντο δὲ ἡμῶν τοῦ συμποσίου πολλάκις οὐδὲ ΚΥΚΝΟΙ. Περὶ ὧν φησιν ὁ Ἀριστοτέλης· „Ὁ κύκνος εὐτεκνός ἐστι, καὶ μάχιμος. ἀλληλοκτονεῖ γοῦν ὁ μάχιμος. [3] μάχεται δὲ καὶ τῷ ἀε- d

1 ἀθληρίδας edd. vett. cum Ms. 2 Hariolatus sum, τίλλοντές τε, καὶ ἁλκὰ τάδ' εἰσαλέοντες. 3 Forſ. ὁ μαχόμενος.

& κήρυκα (*praeconem*,) vocali υ longâ dicunt; ut tradit Demetrius Ixion in libro de Alexandrinorum Dialecto. Sed Ariſtophanes in Pace mediâ correptâ uſus eſt metri cauſſâ, ὄρτυγες οἰκογενεῖς: *coturnices domeſticae.* Quae vero *chennia* vocantur, (parva ea coturnicula eſt) eorum mentionem facit Cleomenes in Epiſtola ad Alexandrum, ubi ſcribit: » Phaleridas (mergi genus) ſale conditas decies mille; tyladas (turdo minores) quinquies, chennia ſalita decies mille. « Item Hipparchus, in Iliade Aegyptia:

Mihi Aegyptiorum haud placuit vita, quam degunt
chennia vellentes, & [ſalita haec intus cumulantes.]

49. Ne CYGNI quidem ſubinde deerant epulis noſtris. De quibus haec tradidit Ariſtoteles: » Cygnus numeroſâ prole foecundus eſt, idemque pugnax; ita quidem ut mutuo etiam ſe occidant pugnantes. Pugnat

τῷ,[1] αὐτὸς μάχης μὴ προαρξάμενος. Εἰσὶ δ' ὠδικοὶ, καὶ μάλιστα περὶ τὰς τελευτάς. διαίρουσι[2] δὲ καὶ τὸ πέλαγος ᾄδοντες. ἔστι δὲ τῶν στεγανοπόδων, καὶ ποηφάγων." Ὁ δὲ Μύνδιός φησιν Ἀλέξανδρος πολλοῖς τελευτῶσι παρακολουθήσας, οὐκ ἀκοῦσαι ᾀδόντων. Ὁ δὲ τὰ Κεφαλίωνος ἐπιγραφόμενα Τρωϊκὰ συνθεὶς Ἡγησιάναξ ὁ Ἀλεξανδρεὺς, καὶ τὸν Ἀχιλλεῖ μονομαe χήσαντα Κύκνον, φησὶ, τραφῆναι ἐν Λευκόφρυϊ πρὸς τοῦ ὁμωνύμου ὄρνιθος. Βοῖος δ' ἐν Ὀρνιθογονίᾳ, ἢ Βοιὼ,[3] ὥς φησι Φιλόχορος, ὑπὸ Ἄρεως τὸν Κύκνον ὀρνιθωθῆναι, καὶ παραγενόμενον ἐπὶ τὸν Σύβαριν[4] ποταμὸν, πλησιάσαι γεράνῳ. λέγει δὲ καὶ ἐντίθεσθαι αὐτὸν τῇ νεοττιᾷ πόαν τὴν λεγομένην λυγαίαν. Καὶ περὶ τῆς Γ ε ρ ά ν ο υ δέ φησιν ὁ Βοῖος, ὅτι ἦν τις παρὰ τοῖς GRUS. Πυγμαίοις γυνὴ διάσημος, ὄνομα Γεράνα.[5] αὕτη κα-

1 τῷ αὐτῷ ed. Ven. cum Msto. 2 διαιροῦσι vulgo. 3 Βοιᾷ edd. 4 Σίβαριν edd. 5 Desunt duae voces edd.

etiam cum aquila, nec vero ipse initium facit pugnandi. Sunt autem canori, maxime sub vitae finem: atque etiam maria traiiciunt canentes. Pedes habent palmatos: pascuntur herbâ.« Alexander vero Myndius affirmat, plures se prosecutum esse moribundos, nec ullum audivisse canentem. Hegesianax vero Alexandrinus, auctor libri qui Cephalionis Troïca inscribitur, Cygnum illum, qui cum Hercule singulari certamine pugnavit, ait a cognomine ave enutritum fuisse in Leucophrye insula. Boeus vero in Avium generatione, sive Boeo, ut ait Philochorus, a Marte in avem mutatum esse Cygnum tradit, &, cum ad Sybarin fluvium perveniisset, congressum esse cum grue. Scribit idem, cygnum nido suo imponere herbam, quae lygaea vocatur. Atque etiam de GRUE ait Boeus, fuisse apud Pygmaeos insignem mulierem, nomine *Geranam:* quae

τὰ θεὸν τιμωμένη πρὸς τῶν πολιτῶν, αὐτὴ τοὺς ὄντως θεοὺς ταπεινῶς ἦγε, μάλιστα δὲ Ἥραν τε καὶ Ἄρτε- f
μιν. ἀγανακτήσασα οὖν ἡ Ἥρα εἰς ἀπρεπῆ ὄψιν τὴν ὄρνιν μετεμόρφωσε, πολέμιόν τε καὶ στυγητὴν κατέστησε τοῖς τιμήσασιν αὐτὴν Πυγμαίοις. γενέσθαι δὲ, λέγει, ἐξ αὐτῆς καὶ Νικοδάμαντος τὴν χερσαίαν χελώνην. Καθόλου δὲ ὁ ποιήσας ταῦτα τὰ ἔπη, πάντα τὰ ὄρνεα ἀνθρώπους ἱστορεῖ πρότερον γεγονέναι.

L.

Columbarum variae species.

ΦΑΣΣΑΙ. Ἀριστοτέλης φησὶ περιστερῶν μὲν εἶναι ἓν γένος, εἴδη δὲ πέντε, γράφων οὕτως· „περιστερὰ, οἰνὰς, Φὰψ, Φάσσα, τρυγών. ἐν δὲ πέμπτῳ a
Περὶ Ζώων Μορίων τὴν Φάβα οὐκ ὀνομάζει· καί τοι Αἰσχύλου, ἐν τῷ Τραγικῷ [1] Πρωτεῖ, οὕτω μνημονεύοντος τοῦ ὄρνιθος·

Σιτουμένην δύστηνον [2] ἀθλίαν Φάβα,

1 Deeſt vox editis. 2 δύσθανον ed. Caſ. δύστανον ed. Ven. & Baſ.

cum pro Deâ coleretur a ſuis civibus, veros Deos ipſa contemtui habebat, praeſertimque Iunonem & Dianam. Quare indignata Iuno in avem invenuſtâ formâ eam mutaſſe, effeciſſeque ut hoſtis atque odioſa eſſet Pygmaeis, qui antea eam venerati eſſent. Ex illa vero & Nicodamante genitam ait eſſe teſtudinem terreſtrem. Omnino vero aves cunctas homines prius fuiſſe narrat illius poëmatis auctor.

50. Columbae. Ariſtoteles, Columbarum unum quidem eſſe genus, ait, ſed quinque ſpecies, quas ſic enumerat: περιστερὰ, (*columba* proprie ſic dicta,) οἰνὰς, (*oenas*, *vinago*,) φὰψ, (*phabs*, *palumbus minor*,) φάσσα, (*phaſſa*, vel *phatta*, *palumbus maior*,) τρυγών. (*trygon*, id eſt, *turtur*.) Quinto vero libro de Partibus Animalium, *phaba* non recenſet: quamquam huius avis Aeſchylus meminit in Proteo Tragico, ubi ait:

Paſcentem infelicem miſeram phaba,

μέσακτα πλευρὰ [1] πρὸς πτύοις [2] πεπλεγμένην. [3] καὶν Φιλοκτήτῃ δὲ κατὰ γενικὴν κλίσιν Φαβῶν εἴρηκεν. „Ἡ μὲν οὖν οἰνὰς, φησὶν ὁ Ἀριστοτέλης, μείζων ἐστὶ τῆς περιστερᾶς, χρῶμα δ' ἔχει οἰνωπόν· ἡ δὲ φάψ, μέσον περιστερᾶς [4] καὶ οἰνάδος· [5] ἡ δὲ φάσσα ἀλέκτορος τὸ μέγεθος, χρῶμα δὲ σποδιόν· ἡ δὲ τρυγὼν πάντων ἐλάττων, χρῶμα δὲ τεφρόν. αὗτη δὲ θέ-
b ρους φαίνεται, τὸν δὲ χειμῶνα φωλεύει. ἡ δὲ φάψ καὶ ἡ περιστερὰ αἰεὶ φαίνονται· ἡ δ' οἰνὰς φθινοπώρῳ μόνῳ. πολυχρονιωτέρα δὲ εἶναι λέγεται τούτων ἡ φάσσα· καὶ γὰρ τριάκοντα καὶ τεσσαράκοντα ζῇ ἔτη. Οὐκ ἀπολείπουσι δ' ἕως θανάτου οὔτε οἱ ἄῤῥενες τὰς θηλείας, οὔτε αἱ θήλειαι τοὺς ἄῤῥενας, ἀλλὰ καὶ τελευτήσαντος χηρεύει ὁ ὑπολειπόμενος. τὸ δ' αὐτὸ

1 μέσαν τὰ πλευρὰ corr. Caſaub. 2 προσπτύσεις unâ voce edd. quod vertit Dalec. quaſi eſſet προσπτύσσοις. 3 πεπλυγμένην legendum cenſui. 4 Novem verba deſunt edd. 5 Loco verborum καὶ οἰνάδος, in ed. Baſ. legitur ἐλάττων δὲ φαβός. In ed. Caſaub. vero poſt καὶ οἰνάδος inſerta ſunt eadem iſta, ἐλάττων δὲ φαβός.

fractis ad ventilabra lateribus percuſſam.

Idem in Philoctete genitivo plurali φαβῶν uſus eſt. *Oenas* igitur, (ſive, *virago*) maior eſt, ut ait Ariſtoteles, quam columba vulgaris, colorem autem habet vineum: *phabs* vero, inter columbam & oenadem media: *phaſſa*, galli gallinacei eſt magnitudine, colore cinereo albicante: *trygon* vero omnium minima, cinereo colore nigreſcente. Haec quidem aeſtate adparet, hieme vero occultatur: *phabs* autem & columba (vulgaris) ſemper adparent; *oenas* vero nonniſi autumno. Ex his diuturniore vitâ frui aiunt phaſſam: vivere quippe ad triginta atque etiam quadraginta annos. Nec vero deſerunt (in univerſo genere columbarum) aut foeminas masculi, aut masculos foeminae, usque ad mortem: & altero mortuo, viduam vitam agit ſuperſtes. Idem fa-

ποιοῦσι καὶ κόρακες, καὶ κορῶναι, καὶ κολοιοί. Ἐπωάζει δ' ἐκ διαδοχῆς πᾶν τὸ περιστεροειδὲς γένος· καὶ γενομένων τῶν νεοττῶν, ὁ ἄρρην ἐμπτύει αὐτοῖς, [1] ὡς μὴ βασκανθῶσι. Τίκτει δὲ ὠὰ δύο, ὧν τὸ μὲν πρῶτον ἄρρεν ποιεῖ, τὸ δὲ δεύτερον θῆλυ. τίκτουσι δὲ πᾶσαν ὥραν τοῦ ἔτους· διὸ δὴ καὶ δεκάκις [καὶ ἑνδεκάκις] [2] τοῦ ἐνιαυτοῦ τιθέασιν· ἐν Αἰγύπτῳ δὲ δωδεκάκις. τεκοῦσα γὰρ, τῇ ἐχομένῃ ἡμέρᾳ συλλαμβάνει." Ἔτι ἐν τῷ αὐτῷ Φησιν Ἀριστοτέλης, ὅτι περιστερὰ ἕτερον, [3] πελειὰς [4] δ' ἔλαττον. καὶ ὅτι ἡ πελειὰς τιθασὸν γίνεται, περιστερὰ δὲ [5] καὶ μέλαν, καὶ μικρὸν, καὶ ἐρυθρὸν, [6] καὶ τραχύπουν· διὸ οὐδεὶς τρέφει. Ἴδιον δὲ λέγει τῆς περιστερᾶς, τὸ κυνεῖν [7] αὐτὰς ὅταν μέλ-

1 αὐτοῖς deeſt edd. 2 Verba ex Ariſt. adiecta in ed. Baſ. & Caſ. 3 Suppleri poteſt, ἕτερον δὲ πελειάς. 4 πελιὰς edd. cum ms. *A.* & ſic mox iterum ms. *A.* 5 Oportebat, καὶ ὅτι ἡ περιστερὰ τιθ. γιν. πελειὰς δὲ καὶ μέλαν &c. 6 ἐρυθρόπουν videtur legendum, ut apud Ariſtot. 7 κύειν edd. ut apud Ariſt.

ciunt & corvi, & cornices, & graculi. Univerſum item columbinum genus ovis incubat alternis vicibus: & poſtquam excluſi ſunt pulli, ſputo eos conſpergit mas, ne faſcinentur. Pariunt autem ova duo, quorum e priori mas naſcitur, ex altero foemina. Pariuntque quovis anni tempore: quare ad decies [& undecies] ponunt per annum; in Aegypto vero etiam duodecies: nam poſtridie quam peperit, rurſus concipit foemina." Dicit vero eodem loco Ariſtoteles, differre *περιστερὰν* a *peleiade*, [quam *liviam* latine reddunt;] eſſe autem peleiadem minorem. Et eſſe peleiadem [*imo vero*, *τὴν περιστερὰν*] cicurem; *τὴν περιστερὰν* vero [*potius*, *τὴν πελειάδα*] nigram, minorem, rubram, [*ſive*, rubris pedibus,] & aſperis pedibus: easque ob cauſſas neminem eas alere. Proprium vero hoc eſſe ait columbae, (*τῆς περιστερᾶς*,) quod oſculentur ſeſe cum coire volunt;

d λωσιν ἀναβαίνειν, ἢ οὐκ ἀνέχεσθαι τὰς θηλείας. [1] ὁ δὲ πρεσβύτερος, φησὶ, καὶ προαναβαίνει [2] μὴ κύσας· οἱ δὲ νεώτεροι αἰεὶ τοῦτο ποιήσαντες ὀχεύουσιν. καὶ αἱ θήλειαι δ' ἀλλήλαις ἀναβαίνουσιν, ὅταν ἄῤῥην μὴ παρῇ, κυσάμεναι· καὶ οὐδὲν προϊέμεναι εἰς ἀλλήλας, τίκτουσιν ὠὰ ἐξ ὧν οὐ γίνεται νεοττός. Οἱ δὲ Δωριεῖς τὴν πελειάδα ἀντὶ περιστερᾶς τιθέασιν, ὡς Σώφρων ἐν Γυναικείοις. Καλλίμαχος δ', ἐν τῷ Περὶ Ὀρνέων, ὡς διαφόρους ἐκτίθεται, φάσσαν, πυραλίδα, [3] περιστερὰν, τρυγόνα.

LI. Plura de Columbis.

Ὁ δὲ Μύνδιος Ἀλέξανδρος, οὐ πίνειν, φησὶ, τὴν e φάσσαν ἀνακύπτουσαν, [4] ὡς [5] τὴν τρυγόνα· καὶ τοῦ χειμῶνος μὴ φθέγγεσθαι, εἰ μὴ εὐδίας γενομένης. [6] Λέγεται δὲ, ὅτι ἡ οἰνὰς ἐὰν φαγοῦσα τὸ τῆς ἰξίας

1 τῆς θηλείας edd. cum ms. *A*. 2 προσαναβαίνει ed. Casaub. 3 πυραλλίδα edd. 4 ἀνακόπτουσαν edd. cum ms. *A*. 5 ὥσπερ edd. ὡς καὶ τὴν τρ. malebam. 6 γινομένης edd.

alioqui enim marem non admitti a foemina. Maior vero natu, ait, etiam prius ascendit, non osculatus: iuniores vero numquam ineunt foeminam, quin hoc fecerint. Sed & foeminae mutuo se ineunt dato osculo, si mas non adest: quoniam vero semen nullum emittunt, ova pariunt e quibus non excluditur pullus. Dores vero *peleiadem* dicunt, (πελειάδα,) pro *columba*, περιστερᾷ: ut Sophron in Mimis Muliebribus. Callimachus vero, in libro de Avibus, ut diversas commemorat, *phassam*, *pyralidem*, [sive, *pyrallidem*,] *columbam*, *turturem*.

51. Alexander Myndius refert, phassam inter bibendum non erigere caput, quemadmodum turturem; & vocem non edere hieme, nisi postquam serenum & tranquillum factum sit coelum. Narrant etiam, sicubi vinago devoratum visci semen in arbore quadam cum ex-

σπέρμα, ἐπί τινος ἀφοδεύσῃ δένδρου, ἰδίαν [1] ἰξίαν φύεσθαι. Δαίμαχος δ', ἐν τοῖς Ἰνδικοῖς, ἱστορεῖ περιστερὰς μηλίνας γίνεσθαι ἐν Ἰνδοῖς. Χάρων δ' ὁ Λαμψακηνὸς, ἐν τοῖς Περσικοῖς, περὶ Μαρδονίου ἱστορῶν, καὶ τοῦ διαφθαρέντος στρατοῦ Περσικοῦ περὶ τὸν Ἄθω, γράφει καὶ ταῦτα· „Καὶ λευκαὶ περιστεραὶ τότε πρῶτον εἰς Ἕλληνας ἐφάνησαν, πρότερον οὐ γιγνόμεναι.“ Ὁ δ' Ἀριστοτέλης φησὶν, ὡς αἱ περιστεραὶ, ε γιγνομένων τῶν νεοττῶν, τῆς ἀλμυριζούσης γῆς διαμασησάμεναι, [2] ἐμπτύουσιν αὐτοῖς διοιγνῦσαι τὸ στόμα, διὰ τούτου παρασκευάζουσαι αὐτοὺς πρὸς τὴν τροφήν. Τῆς δὲ Σικελίας ἐν Ἔρυκι καιρός τις ἐστὶν, ὃν καλοῦσιν Ἀναγωγάς· [3] ἐν ᾧ φασι τὴν θεὸν εἰς Λιβύην ἀνάγεσθαι. τότ' οὖν αἱ περὶ τὸν τόπον περιστεραὶ ἀφανεῖς γίνονται, ὡς δὴ τῇ θεῷ συναποδημοῦσαι. καὶ μεθ' ἡμέρας ἐννέα, ἐν τοῖς λεγομένοις Καταγω-

Veneris Erycinae columbae.

1 Deeſt ἰδίαν edd. 2 διαμασσησαμ. edd. 3 Ἀναγώγια Aelian.

crementis depoſuerit, ibi proprium viſcum naſci. Porro Daimachus in Rebus Indicis ſcribit, citrino colore columbas in India generari. Charon vero Lampſacenus, in Perſicis, ubi de Mardonio loquitur & de Perſarum exercitu qui circa Atho montem periit, haec ſimul ſcribit: »Et tunc primum in Graecia conſpectae ſunt albae columbae, quae nullae ante id tempus fuerant.« Ariſtoteles vero tradit, columbas, poſtquam excluſi ſunt pulli, os eis aperire, & praemanſam terram ſalſam inſpuere, ad capiendum cibum hac ratione illos praeparantes. Eryce in Sicilia ſtatum tempus eſt, quod Ἀναγωγὰς [ſive, *Anagogia*, id eſt, *Disceſſum*] vocant: quo tempore Deam aiunt in Libyam discedere. Per id igitur tempus nullae ibi locorum columbae conſpiciuntur, ut quae cum Dea peregrinantur. Poſt nonum vero diem, quod tempus Καταγώγια (id eſt, *Reditus*)

a γίοις, μιᾶς προπετασθείσης [1] ἐκ τοῦ πελάγους περιστερᾶς, καὶ εἰς τὸν νεὼν εἰσπτάσης, παραγίνονται καὶ αἱ λοιπαί. ὅσοι οὖν τότε περιουσίας [2] εὖ ἥκουσι τῶν περιοίκων, εὐωχοῦνται· οἱ δὲ λοιποὶ κροταλίζουσι μετὰ χαρᾶς. ὄζει δὲ πᾶς ὁ τόπος τότε βούτυρον, ᾧ δὴ τεκμηρίῳ χρῶνται τῆς θείας ἐπανόδου. Αὐτοκράτης δ' [3] ἐν τοῖς Ἀχαϊκοῖς, καὶ τὸν Δία, ἱστορεῖ, μεταβαλεῖν τὴν μορφὴν εἰς περιστερὰν, ἐρασθέντα παρθένου Φθίας ὄνομα ἐν Αἰγίῳ. [4] Ἀττικοὶ δὲ ἀρσενικῶς περιστερὸν καλοῦσιν. Ἄλεξις, Συντρέχουσιν·

b Λευκὸς [5] Ἀφροδίτης εἰμὶ γὰρ περιστερός.
Οἶδε [6] Διόνυσος, οἶδε τὸ μεθύσαι μόνον·
εἰ δὲ νέον, ἢ παλαιὸν, οὐ πεφρόντικεν.

ἐν δὲ Ῥοδίῳ ἢ Ποππυζούσῃ, θηλυκῶς εἴρηκε, καὶ ὅτι αἱ Σικελικαὶ διάφοροι εἰσί·

1 προσπετασθ. edd. cum ms. *A.* 2 περὶ οὐσίας ed. Baſ. & Caſaub. 3 Deeſt coniunctio edd. 4 Αἰγείῳ vulgo. 5 Ὁ λευκὸς vulgo. 6 Forſ. Ὁ δὲ Διεν.

nominatur, poſtquam una columba provolavit e mari, & in templum involavit, mox reliquae ſequuntur. Tum quotquot circa ea loca habitant, quibus ampla res domi eſt, ii laute epulantur: reliqui laeti plaudunt. Oletque tunc univerſus is tractus butyrum: quo utuntur indicio reditus Divae. Autocrates, in Achaicis, refert etiam Iovem in columbae formam verſum fuiſſe Aegii, [Achaiae oppido,] cum virginem deperiret Phthiam nomine. Attici masculino nomine περιστερὸν vocant: (quaſi latine *columbum* dicas.) Alexis, in Concurſantibus:

Candidus enim Veneris ſum columbus.
Novit Bacchus, novit merum potare ſolum:
ſit-ne novum vero, an vetus, parum curat.

In Rhodio vero, ſive Muliere adblandiente, in foeminino genere dixit; ubi ſimul ſignificat praeſtantiam Sicularum columbarum:

— Περιστερὰς
ἔνδον τρέφων τῶν Σικελικῶν τούτων πάνυ
κομψάς. —

Φερεκράτης, ἐν Γραφεῦσι, φησίν·

Ἀπόπεμψον ἀγγέλλοντα τὸν περιστερόν.

ἐν δὲ Πετάλῃ·

Ἀλλ', ὦ περιστέριον, ὅμοιον Καλλισθένει c
πέτου, κόμισον δέ μ' ἐς Κύθηρα καὶ Κύπρον.

Νίκανδρος δ', ἐν δευτέρῳ Γεωργικῶν, τῶν Σικελικῶν μνημονεύων πελειάδων, φησί·

Καί τε σύ γε θρέψαιο Δρακοντιάδας διτοκεύσας,
ἢ Σικελὰς, μεγάροιο πελειάδας· οὐδέ σφιν ἅρπαι,[1]
οὐδέ σφιν ἴρηκες[2] νωνήσιμοι[3] ἐξενέπονται.[4]

LII. ANAS, aliæque aves aquatiles.

ΝΗΤΤΑΙ. Τούτων, ὡς φησιν Ἀλέξανδρος ὁ Μύνδιος, ὁ ἄρρην μείζων καὶ ποικιλώτερος. τὸ δὲ λε-

1 οὐδέ † φιναρσὰ edd. φιναρσαι Ms. 2 οὐ δὲ φινοστράκεοι vulgo. 3 νωμήσιμοι vulgo. 4 ἐξενίπτονται edd. ἐξενίπονται Ms.

— *Columbas*
intus alens, de genere Sicularum illarum,
elegantes admodum.

Pherecrates, in Pictoribus, ait:

Dimitte nuncium columbum.

In Petala vero:

At, o columbula, similis Callistheni
vola, perveheque me in Cythera & in Cyprum.

Nicander, secundo Georgicorum, Sicularum peleiadum meminit, dicens:

Tuque in aedibus ale Dracontiadas biparas
aut Siculas peleiades; quibus nec milvi
nec accipitres nocere dicuntur.

52. ANATES. Harum mas, ut ait Alexander Myndius, maior est & magis variegatus. Quod vero *glaucion* vo-

γόμενον γλαυκίον διὰ τὴν τῶν ὀμμάτων χρόαν,
d μικρῷ ἔλαττόν ἐστι νήττης. τῶν δὲ βοσκάδων καλουμένων, ὁ μὲν ἄῤῥην κατάγραφος. ἔστι δὲ ἧττον νήττης. [1] ἔχουσι δὲ οἱ ἄῤῥενες σιμά τε καὶ ἐλάττονα τῇ συμμετρίᾳ τὰ ῥύγχη. [2] ἡ δὲ μικρὰ κολυμβὶς, πάντων ἐλαχίστη τῶν ἐνύδρων, ῥυπαρομέλαινα [3] τὴν χροιὰν, καὶ τὸ ῥύγχος ὀξὺ ἔχει, σκέπον τε [4] τὰ ὄμματα· τὰ δὲ πολλὰ καταδύεται. ἔστι δὲ καὶ ἄλλο γένος βοσκάδων, μεῖζον μὲν νήττης, ἔλαττον δὲ χηναλώπεκος. αἱ δὲ λεγόμεναι φασκάδες, μικρῷ μείζονες οὖσαι τῶν μικρῶν κολυμβίδων, τὰ λοιπὰ νήτταις εἰσὶ παραπλήσιοι. [5] ἡ δὲ λεγομένη οὐρία,
e οὐ πολὺ λείπεται νήττης· τῷ χρώματι δὲ ῥυποκέραμός ἐστι, [6] τὸ δὲ ῥύγχος μακρόν τε καὶ στενὸν ἔχει. ἡ δὲ φάλαρις, καὶ αὐτὴ στενὸν ἔχουσα τὸ ῥύγχος, στρογγυλοτέρα τὴν ὄψιν οὖσα, ἔντεφρος τὴν γαστέ-

1 κατάγραφος νήττης edd. cum ms. *A.* omissis tribus vocibus. 2 ῥύγχα edd. 3 ῥυπαρομέλανα edd. ῥυπαρομέλαιναν malim. 4 σκέπτον τε ed. Casaub. 5 παραπλήσιαι edd. cum ms. *Ep.* 6 ῥυπαροκέραμός ἐστι edd.

catur ob oculorum colorem, id paulo minus est anate. Quae *boscades* appellantur, earum mas notis distinctus est: est autem minor anate. Habent autem mares sima rostra, & pro portione minora. Parva *colymbis*, omnium minima aquatilium avium, colore est sordide nigro, rostro acuto & oculos tegente: aquas haec subit frequentissime. Est vero etiam aliud boscadum genus, maius anate, minus vulpanse re. Quae vero *phascades* vocantur, paulo maiores sunt quam parvae colymbides, caeterum anatibus similes. *Uria* quae vocatur, haud multo minor est anate, colore sordide testaceo, rostro longo & angusto. Etiam *phalaridi* angustum rostrum est, species vero corporis rotundior, cinereus

ρα, μικρῷ μελαντέρα τὸν νῶτον. [1] Τῆς δὲ νήττης καὶ κολυμβάδος, ἀφ' ὧν καὶ τὸ νήχεσθαι καὶ κολυμβᾶν εἴρηται, μνημονεύει μετὰ καὶ ἄλλων λιμναίων πολλῶν Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι διὰ τούτων·

Νάσσας, κολοιοὺς, ἀττάγας, φαλαρίδας,
τροχίλους, κολυμβούς. —

f Μνημονεύει αὐτῶν καὶ Καλλίμαχος ἐν τῷ Περὶ Ὀρνέων.

LIII. Παρῆσαν δὲ πολλάκις ἡμῖν καὶ οἱ καλουμένοι
Paraſtatae. παραστάται, ὧν μνημονεύει Ἐπαίνετος ἐν Ὀψαρτυτικῷ, καὶ Σιμάριστος [2] ἐν τρίτῳ Συνωνύμων καὶ τετάρτῳ. εἰσὶ δ' οἱ ὄρχεις οὕτω καλούμενοι. Συγκεκνισωμένων δέ τινων κρεῶν ζωμῷ καὶ [3] παραφερομέ-
Carnes ſuffocatae. νων, ἐπεί τις ἔφη, τῶν πνικτῶν κρεαδίων δός, ὁ τῶν ὀνομάτων Δαίδαλος Οὐλπιανὸς, αὐτὸς ἐγώ φησιν a ἀποπνιγήσομαι, εἰ μὴ εἴπῃς ὅπου καὶ σὺ εὗρες τὰ

1 τὸ νῶτον edd. 2 Σίμαρος vulgo. 3 *Delenda* videtur καὶ partic.

color in ventre, paulo magis niger in tergo. Anatis & mergi, (νήττης & κολυμβάδος) a quibus & verba ducuntur, νήχεσθαι, *natare*, & κολυμβᾶν, *ſub aqua mergi*) ſimul cum multis aliis paluſtribus avibus meminit Ariſtophanes in Acharnenſibus, ubi ait:

Anates, graculos, attagenas, phalaridas,
trochilos, mergos.

Eorumdem meminit Callimachus in libro de Avibus.

53. Aderant nobis ſaepe etiam qui *paraſtatae* vocantur; quorum Epaenetus meminit in Arte Coquinaria, & Simariſtus libro tertio & quarto Synonymorum. Sunt autem teſticuli, quos ita adpellant. Adpoſitis vero carnibus quibusdam cum iure ſuaviſſimum nidorem ſpargentibus, cum dixiſſet nonnemo, Cedo mihi de *ſuffocatis* (πνικτοῖς) iſtis carnibus; ibi tum vocabulorum Daedalus Ulpianus: Ipſe ego, inquit, ſuffocer, ni nobis dicas, ubinam tu carnes tales memoratas legeris:

τοιαῦτα κρεάδια. οὐ μὴ γὰρ ὀνομάσω πρὶν μαθεῖν. ὁ δὲ, Στράττις εἶπεν, ἔφη, ἐν Μακεδόσιν ἢ Κινησίᾳ·

— — πνικτόν τι τοίνυν ἔστω σοι συχνὸν
τοιοῦτον. —

καὶ Εὔβουλος, Κατακολλωμένῳ·

Καὶ πνικτὰ Σικελικὰ πατανίων [1] σωρεύματα.

Ἀριστοφάνης τ' εἴρηκεν ἐν Σφηξίν·

ἐν λοπάδι πεπνιγμένον. [2]

Κρατῖνος δ', ἐν Δηλιάσι·

b Τῷ δ' ὑποτρίψας τι μέρος πνίξον [3] καθαρύλλως.

Ἀντιφάνης δ', ἐν Ἀγροίκῳ·

— Α. Καὶ πρῶτα μὲν
αἶρω ποθεινὴν μᾶζαν, ἣν Φερέσβιος
Δηὼ [4] βροτοῖσι χάρμα δωρεῖται φίλον. [5]
ἔπειτα πνικτὰ τακερὰ μηκάδων μέλη,

1 παντανίων vulgo. 2 Temere πεπνιγμέναν ed. Caſ. 3. 3 πνίξων ed. Caſaub. 4 Δημήτηρ vulgo. 5 φίλων edd.

numquam enim ego ſic eas nominavero, quin hoc didicerim. Et ille: Strattis, ait, in Macedonibus ſive Cineſiâ, dixit:

Sit tibi frequens igitur caro ſuffocata talis.

Et Eubulus, in Glutinato:

Carnium Siculo more ſuffocatarum cumulatae patinae.

Et Ariſtophanes, in Veſpis:

in patina ſuffocatum.

Cratinus vero, in Deliadibus:

Itaque tu intere partem quamdam, & ſuffoca nitidule.

Antiphanes vero, in Ruſtico:

— A. *Et primum quidem*
mazam fero optatam, quam alma mater
Ceres gratum mortalibus munus dedit.
Dein ſuffocata tenera caprarum membra,

χλόην καταμπέχοντα, σάρκα νεογενῆ.

Β. Τί λέγεις; [1] Α. Τραγωδίαν περαίνω [2] Σοφοκλέους.

LIV. Lactentes porcelli.

ΓΑΛΑΘΗΝΩΝ δὲ χοίρων ποτὲ περιενεχθέντων, καὶ περὶ τούτων ἐζήτησαν οἱ δαιταλεῖς εἰ τὸ ὄνομα εἴρηται. καί τις ἔφη· Φερεκράτης, Δουλοδιδασκάλῳ·

γαλαθηνα ἔκλεπτον, οὐ τέλεα.

ἐν δὲ Αὐτομόλοις·

οὐ γαλαθηνὸν ἄρ' ὗν θύειν μέλλεις;

Ἀλκαῖος, Παλαίστρᾳ·

Ὀδὶ [3] γὰρ αὐτὸς ἐστίν· εἴ τι γρύξομαι, [4]
ὧν σοι λέγω, πλέον τι γαλαθηνοῦ μυός. [5]

Ἡρόδοτος δ' ἐν τῇ πρώτῃ φησὶν, ὅτι ἐν Βαβυλῶνι ἐπὶ τοῦ χρυσοῦ βωμοῦ οὐκ ἔξεστι θύειν, ὅτι μὴ γαλαθηνὰ μοῦνα. Ἀντιφάνης, Φιλεταίρῳ·

1 λέγης edd. 2 παίειν vulgo. 3 ὁ δεῖ vulgo. Forsan ᾧ δεῖ debuere. Varie corrigunt viri docti. 4 γρίξομαι edd. 5 ὗς edd.

herbulis circumdata, carnem nuperrime natam.

B. *Quid ais?* A. *Tragoediam perago Sophoclis.*

54. Quum vero aliquando *Lactentes porcelli* (Γαλαθηνοὶ χοῖροι) circumferrentur, etiam super his quaesiverunt convivae, an reperiatur nomen apud antiquos. Respondit unus ex illis: Pherecrates in Servo-magistro ait:

Lactentia furatus sum, non perfecta.

Idem, in Transfugis:

Nonne ergo lactentem porcum mactaturus es?

Alcaeus, in Palaestra:

En illum ipsum! si quid mutiam ego
de his, quae tibi dico, tantulo amplius quam lactens mus!

Herodotus vero libro primo tradit, Babylone ad auream aram nulla alia animalia immolari nisi lactentia. Antiphanes, in Philetaero:

d Κομψός γε μικρὸς κρωμακίσκος οὑτοσὶ [1] γαλαθηνός. —

Ἡνίοχος, Πολυεύκτῳ·

Ὁ βοῦς χαλκοῦς ἦν, ἄνεφθος δὲ καὶ πάλαι·
ὁ δ' ἴσως γαλαθηνὸν τέθυκε τὸν χοῖρον λαβών.

καὶ Ἀνακρέων δέ φησίν·

Οἷά τε νεβρὸν νεοθηλέα γαλαθηνὸν, ὅς τ' ἐν ὕλῃ
κεροέσσης [2] ἀπολειφθεὶς [3] ἀπὸ [4] μητρὸς ἐπτοήθη.

Κράτης, Γείτοσι·

Νῦν μὲν γὰρ ἡμῖν [5] παιδικῶν δαὶς [ἀεὶ,] [6]
ὅκως περ ἀρνῶν ἐστι [7] γαλαθηνῶν τε καὶ
χοίρων. —

e Σιμωνίδης δ' ἐπὶ τοῦ Περσέως τὴν Δανάην ποιεῖ λέγουσαν·

Ὦ τέκος, οἷον ἔχω πόνον·

1 οὗτος vulgo. 2 κερόεις edd. καιρόσσης Ms. 3 ὑπολειφθεὶς apud Aelian. 4 ὑπὸ corrigunt viri docti. 5 ὑμῖν edd. 6 ἀεὶ ex coniect. adiecimus. δαίσομ' ὥσπερ ἄρνων edd. δαισοχως περ ἀρνῶν Ms. 7 ἔτι ed. Ven. Baſ. Caſ. 1. 2. ἐτι ed. Caſ. 3.

Lepidus ſane parvus cromaciſcus hic
lactens.

Heniochus, in Polyeucto:

Bos erat aeneus, qui iam dudum percoqui non poſſet:
hic autem fortaſſe lactentem porcum ſumſit quem immolaret.

Et Anacreon ait:

Velut hinnulum tenellum, lactentem, qui in ſylvis,
poſtquam cornutam deſeruit matrem, paveſcit.

Crates, in Vicinis:

Nunc nobis amaſiorum epulae ſunt [ſemper,]
dum quidem agnorum lactentium porcellorumve
copia eſt.

Simonides vero Danaën de Perſeo haec dicentem inducit:

O infans! quantum habeo doloris!

σὺ δ' ἀωτεῖς, [1] γαλαθηνῷ τ' ἤτορι κνώσσεις.

καὶ ἐν ἄλλοις ἐπ' Ἀρχεμόρου εἴρηκεν·

Ἰὼ στεφάνου· [2] γλυκεῖαν ἐδάκρυσαν ψυχὰν
ἀποπνέοντα γαλαθηνὸν τέκος.

Κλέαρχος δ', ἐν τοῖς Περὶ Βίων, εἰς τοῦτό φησιν ὠμότητος Φάλαριν τὸν τύραννον ἐλάσαι, ὡς γαλαθηνὰ θοινᾶσθαι βρέφη. Θῆσθαι δέ ἐστι, τὸ θηλάζειν τὸ γάλα. Ὅμηρος· [3]

Ἕκτωρ γὰρ θνητός τε γυναῖκά τε θήσατο μαζόν. f

διὰ τὸ ἐντίθεσθαι τὰς θηλὰς εἰς τὰ στόματα τὰ βρέφη. καὶ ὁ τιτθὸς ἐνθένδε, διὰ τὸ ἐντίθεσθαι τὰς θηλάς.

Νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνούς.

LV. Dorcades.

Περιενεχθεισῶν δέ ποτε καὶ ΔΟΡΚΑΔΩΝ, ὁ a Ἐλεατικὸς [4] Παλαμήδης ὀνοματολόγος ἔφη· Οὐκ

1 σὺ δ' αὖτε εἰς vulgo. 2 Εὐστεφάνου edd. 3 Deest vox Ὅμηρος edd. 4 Rectius fuerit Ἐλεάτης.

tu vero placide dormis, & tenero pectore (γαλαθηνῷ ἤτορι) *ſtertis.*

Et alibi de Archemoro dixit:

Heu coronam! Lactentem deflebant infantem,
dulcem animam efflantem.

Clearchus vero in Vitis ſcribit, eo ſaevitiae progreſſum eſſe Phalaridem, ut lactentibus veſceretur infantibus. Θῆσθαι vero ſonat *lac fugere;* ut apud Homerum:

Hector quidem mortalis eſt, mulierisque ſuxit (θήσατο) *mammam.*

Nempe eo quod *induntur mamillae* (ἐντίθενται αἱ θηλαὶ) in ora infantum. Indidem eſt etiam vocabulum ὁ τιτθός, *mamma*, ab eo quod mamillae ἐντίθενται.

Hinnulos poſtquam collocavit recens natos lactentes.

55. Circumferebantur etiam aliquando *Dorcades.* Tum Palamedes Eleates, vocabulorum collector, Non inſua-

ἄχαρι κρέας τὸ τῶν δορκώνων. [1] πρὸς ὃν ὁ Μυρτίλος ἔφη· μόνως δορκάδες λέγονται, δόρκωνες δὲ οὔ. Ξενοφῶν Ἀναβάσεως πρώτῳ· „Ἐνῆσαν δὲ καὶ ὠτίδες καὶ δορκάδες.“

LVI. PAVO.

ΤΑΩΣ. Ὅτι σπάνιος οὗτος ὁ ὄρνις, δηλοῖ Ἀντιφάνης ἐν Στρατιώτῃ ἢ Τύχωνι, λέγων οὕτως·

Τῶν ταῶν μὲν ὡς ἅπαξ τις [2] ζεῦγος ἤγαγεν μόνον, σπάνιον ὂν τὸ χρῆμα· πλείους δ' εἰσὶ [3] νῦν τῶν ὀρτύγων.

καὶ Εὔβουλος, ἐν Φοίνικι·

b Καὶ γὰρ ὁ ταὼς διὰ τὸ σπάνιον θαυμάζεται.

„Ὁ ταὼς, φησὶν Ἀριστοτέλης, σχιδανόπους ἐστὶν, καὶ ποικιλόγυς, [4] καὶ τίκτει τριετὴς γενόμενος, ἐν οἷς χρόνοις καὶ τὴν ποικιλίαν τῶν πτερῶν λαμβάνει. ἐπωάζει δὲ ἡμέρας πρὸς τριάκοντα. τίκτει δὲ ἅπαξ

1 δορκάδων edd. 2 ἀπάξης h. l. vulgo, & deest τις. 3 πλείους εἰσὶ corr. Grot. 4 Inſerunt hîc mssti iſta, τίκτει δὲ ἅπαξ τοῦ ἔτους ὠὰ ὠοδ. quae paulo inferius leguntur.

vis eſt, ait, dorconum caro. Cui Myrtilus: Solummodo *dorcades*, inquit, vocantur: non *dorcones*. Xenophon, Anabaſeos libro primo: »Erant ibi vero etiam otides & dorcades.«

56. PAVO. Raritatem huius avis indicat Antiphanes in Milite vel Tychone, ubi ait:

Ex quo par pavonum in urbem neſcio quis primum attulit, rari qui fuerant, magis crebro cernas coturnicibus.

Et Eubulus, in Phoenice:

Ob raritatem pavus eſt miraculo.

»Pavo, ait Ariſtoteles, fiſſis pedibus eſt, & herbâ veſcens. Parit tertio anno ex quo natus eſt: quo tempore etiam varietatem accipit pennarum. Ovis incubat ad dies triginta. Parit autem ſemel in anno ova duode-

τοῦ ἔτους ὠὰ δώδεκα· ταῦτα δὲ οὐκ εἰσάπαξ, ἀλλὰ παρ' ἡμέρας δύο· αἱ δὲ πρωτοτόκοι ὀκτώ. τίκτει δὲ καὶ ὑπηνέμια ὠά, ὡς ἡ ἀλεκτορίς· οὐ πλείω δὲ τῶν δύο. ἐκλέπει δὲ καὶ ἐπωάζει, καθάπερ ἡ ἀλεκτορίς." Εὔπολις δ', ἐν Ἀστρατεύτοις, φησὶ περὶ αὐτοῦ οὕτως·

Μή ποτε θρέψω c
παρὰ Φερσεφόνῃ τοιόνδε ταῶν
ὃς τοὺς εὕδοντας ἐγείρει;

Ἀντιφῶντι δὲ τῷ ῥήτορι λόγος μὲν γέγραπται, ἔχων ἐπίγραμμα Περὶ Ταῶν· καὶ ἐν αὐτῷ τῷ λόγῳ οὐδεμία μνεία τοῦ ὀνόματος γίνεται, ὄρνεις δὲ ποικίλους πολλάκις ἐν αὐτῷ ὀνομάζει· φάσκων „τούτους τρέφειν Δῆμον τὸν Πυριλάμπους, [1] καὶ πολλοὺς παραγίνεσθαι κατὰ πόθον τῆς τῶν ὀρνίθων θέας, ἔκ τε Λακεδαίμονος καὶ Θετταλίας, καὶ σπουδὴν ποιεῖσθαι τῶν ὠῶν μεταλαβεῖν." περὶ δὲ τῆς ἰδέας αὐτῶν

1 Περιλάμπους edd.

cim; ſed ea non continuato enixu, verum quarto quoque die: primiparae vero foeminae nonniſi octo pariunt. Parit autem etiam irrita ova, quemadmodum gallina; nec vero plura duobus. Excludit vero, & incubat, prorſus ut gallina. Eupolis autem, in Aſtrateutis (*i. e.* Militiae-deſertoribus) de eâdem ave haec ait:

Ne forte alere cogar
apud Proſerpinam talem pavonem,
dormientes qui excitet.

Antiphontis oratoris exſtat oratio, titulum praeferens *De Pavonibus:* in ipſa vero oratione ne ulla quidem nominis fit mentio; ſed ſaepius *variegatas aves* eas nominat: »quas alere, ait, Demum, Pyrilampis filium: convenireque multos Lacedaemone & e Theſſalia ſtudio illas viſendi, cupereque ovorum participes fieri.« Et

d λέγων γράφει· „Εἴ τις ἐθέλοι καταβαλεῖν [1] εἰς πόλιν τοὺς ὄρνιθας, οἰχήσονται ἀναπτάμενοι. ἐὰν δὲ τῶν πτερύγων ἀποτέμῃ, τὸ κάλλος ἀφαιρήσεται. τὰ πτερὰ γὰρ αὐτῶν τὸ κάλλος ἐστὶν, ἀλλ' οὐ τὸ σῶμα." Ὅτι δὲ καὶ περισπούδαστος ἦν αὐτῶν ἡ θέα, ἐν τῷ αὐτῷ λόγῳ πάλιν φησίν· „Ἀλλὰ τὰς μὲν νουμηνίας ὁ βουλόμενος εἰσῄει· τὰς δὲ ἄλλας ἡμέρας εἴ τις ἔλθοι βουλόμενος θεάσασθαι, οὐκ ἔστιν ὅστις ἔτυχεν. καὶ ταῦτα οὐκ ἐχθὲς οὐδὲ πρώην, ἀλλ' ἔτη πλέον ἢ τριάκοντα ἐστίν."

LVII.

e „Ταῶς δὲ λέγουσιν Ἀθηναῖοι, ὡς φησι Τρύφων, τὴν τελευταίαν συλλαβὴν περισπῶντες καὶ δασύνοντες. καὶ ἀναγιγνώσκουσι μὲν οὕτως παρ' Εὐπόλιδι ἐν Ἀστρατεύτοις, (πρόκειται δὲ τὸ μαρτύριον·) καὶ ἐν Ὄρνισιν Ἀριστοφάνους· [2]

Τηρεὺς γὰρ εἶ σύ; πότερον [3] ὄρνις ἢ ταῶς.

Ταῶς, cum spiritu aspero, in media voce.

1 An μεταβαλεῖν? 2 Ἀριστοφάνης edd. 3 εἰς ὑπόπτερον edd.

de earumdem formâ loquens, ait: »Si quis voluerit in urbem aves illas transferre, abibunt avolantes: sin partem pennarum resecuerit, periit formae pulcritudo. Nam in pennis inest earum pulcritudo, non in corpore.« Ingens autem fuisse hominum studium visendi illas aves, eâdem in oratione iterum declarat his verbis: »Noviluniis quidem, quicumque videre eas cupit, admittitur: aliis diebus si quis advenit vifere cupiens, nemini licet. Et haec non heri, aut nuper ita esse coeperunt: sed iam anni sunt amplius triginta.«

57. »Dicunt vero ταῶς Athenienses (ut ait Tryphon) ultimam syllabam circumflectentes & aspirantes. Et sic quidem legunt apud Eupolidem in Militiae-desertoribus, cuius testimonium supra adpositum est. Item in Avibus Aristophanis:

Tereus igitur tu es? utrum avis, an pavo?

καὶ πάλιν·

— ὄρνις δῆτα. τίς ποτ' ἐστίν; [1] οὐ δή που ταὼς;

λέγουσι δὲ καὶ τὴν δοτικὴν ταῶνι, ὡς ἐν τῷ αὐτῷ Ἀριστοφάνης. Ἀμήχανον δὲ παρ' Ἀττικοῖς καὶ Ἴωσιν ἐν τοῖς ὑπὲρ μίαν συλλαβὴν ὀνόμασι τὴν τελευτῶσαν [2] ἀπὸ φωνήεντος ἀρχομένην δασύνεσθαι. πάν- f
τως γὰρ εἶναι ψιλὴν αὐτὴν παρηκολούθηκεν· οἷον, νεὼς, λεὼς, [3] Τυνδάρεως, Μενέλεως, λειπόνεως, εὔνεως, Νείλεως, πρᾶος, υἱὸς, Κεῖος, [4] Χῖος, δῖος, χρεῖος, πλεῖος, λεῖος, [5] λαιὸς, βαιὸς, φαιὸς, πηὸς, γόος, θοὸς, ῥόος, ζωός. Φίλαρχος γὰρ οὖσα καὶ ἡγεμονικὴ τὴν φύσιν ἡ δασύτης, τοῖς τελευταίοις μέρεσι τῶν ὀνομάτων οὐδαμῶς ἐγκαθείργνυται. Ὠνόμασται [6] δὲ ταῶς, [7] ἀπὸ τῆς τάσεως τῶν πτερῶν." Σέλευκος δ' a
ἐν τῷ πέμπτῳ Περὶ Ἑλληνισμοῦ· „Ταῶς· παραλό-

1 τί ποτ' ἐστίν edd. 2 συλλαβὴν inferunt edd. 3 Deeſt vox edd. 4 Κῖος edd. 5 Deeſt λεῖος ed. Baſ. & Caſ. 6 ὀνομάσθαι ed. Baſ. & Caſ. 7 ταὼς h. l. ms. *Ep.*

& rurſus:

Avis quidem. At quaenam illa eſt? Anne vero pavo?

Dicunt autem etiam dativum ταῶνι: ut Ariſtophanes in eâdem fabulâ. Fieri vero [alioqui] apud Atticos & Ionas non poteſt, ut in nominibus, quae plures quam unam ſyllabam habent, ultima ſyllaba a vocali incipiens adſpiretur: ſed omnino hoc ei proprium eſt, ut leni pronuncietur ſpiritu. Sic: νεὼς, λεὼς, Τυνδάρεως, Μενέλεως, λειπόνεως, εὔνεως, Νείλεως, πρᾶος, υἱὸς, Κεῖος, Χῖος, δῖος, χρεῖος, πλεῖος, λεῖος, λαιὸς, βαιὸς, φαιὸς, πηὸς, γόος, θοὸς, ῥόος, ζωός. Suâ enim naturâ principium amat & principatum adſpiratio; & intra poſtremas vocabulorum partes neutiquam includitur. Nomen autem Graecum ταῶν invenit pavo, a τῇ τάσει (*id eſt*, ab expanſione) pennarum. « Sed & Seleucus, quinto libro de Hellenismo (*ſive*, de Graecae linguae proprietate:) ait:

γως δὲ οἱ Ἀττικοὶ καὶ δασύνουσι καὶ περισπῶσι. τοῖς δὲ [1] πρώτοις τῶν φωνήεντων κατὰ τὰς ἁπλᾶς τῶν ὀνομάτων ἐκφορὰς συνεκφέρεσθαι ἐθέλει, καὶ ἐνταυθοῖ προάττουσα, [2] καὶ τάχιον ἐκθέουσα, δι' ἐπιπολῆς [3] ἐστι τῶν λέξεων. τεκμαιρόμενοι οὖν Ἀθηναῖοι καὶ διὰ τῆς τάξεως τὴν ἐνοῦσαν τῇ προσῳδίᾳ φύσιν, οὐκ ἐπὶ τῶν φωνήεντων τιθέασι, ὥσπερ τὰς ἄλλας, πρὸ δὲ τούτων τάσσουσιν. οἶμαι δὲ καὶ διὰ τοῦ Η στοιχείου
b τυπώσασθαι τοὺς παλαιοὺς τὴν δασεῖαν. διόπερ καὶ Ῥωμαῖοι πρὸ πάντων τῶν δασυνομένων ὀνομάτων τὸ Η προγράφουσι, τὸ ἡγεμονικὸν αὐτῆς διασημαίνοντες. εἰ δὲ τοιαύτη ἡ δασύτης, μή ποτε ἀλόγως κατὰ τὴν τελευτῶσαν συλλαβὴν ὁ ταῶς [4] πρὸς τῶν Ἀττικῶν προσπνεῖται."

1 In *Epit.* tota ῥῆσις sic concepta: Καὶ Σέλευκος δέ φησι, παραλόγως τὸ ταῶς δασύνεσθαι καὶ περισπᾶσθαι παρ' Ἀττικοῖς. τοῖς γὰρ πρώτοις τῶν φων. &c. 2 πράττουσα edd. cum ms. *A*. Desideratur autem h. l. substantivum ἡ δασύτης aut tale aliquod. 3 δι' ἐπιστολῆς edd. 4 τοῦ ταῶς ms. *Ep*.

»Ταῶς: praeter rationem vero Attici & aspero spiritu notant & circumflectunt. Aspiratio vero cum primoribus vocalibus in simplici vocabulorum pronunciatione simul pronunciari amat; atque ibi praecedens, & celerius excurrens, summum primumque in vocabulis locum obtinet. Notantes igitur Athenienses etiam per ipsum situm naturam huic accentui propriam, non super vocalibus ponunt, quemadmodum alios accentus, sed ante vocales adponunt. Puto vero etiam per H literam formasse veteres asperum spiritum. Quare & Romani omnibus aspiratis nominibus literam H praeponunt, hanc eius esse naturam indicantes, ut principatum tenere amet. Quae si est aspirationis natura, videtur praeter rationem vocabulum ταῶς in ultimâ syllabâ aspirari ab Atticis.«

LVIII. Πολλῶν οὖν καὶ ἄλλων ἐν τῷ συμποσίῳ περὶ
TETRAX. ἑκάστου τῶν εἰσκομιζομένων ῥηθέντων· Ἀλλὰ κἀγώ, φησὶν ὁ Λαρήνσιος, κατὰ τὸν πάντα ἄριστον Οὐλπιανὸν, προτείνω τι καὶ αὐτὸς ὑμῖν. (ζητήσεις γὰρ σιτούμεθα.) τὸν ΤΕΤΡΑΚΑ τί νομίζετε; Καί τινος εἰπόντος, εἶδος ὀρνέου· (ἔθος δὲ καὶ γραμματικῶν παισὶ περὶ πάντων τῶν προβαλλομένων λέγειν, εἶδος Φυτοῦ, εἶδος ὀρνέου, εἶδος λίθου·) ὁ Λαρήνσιος ἔφη· Καὶ αὐτὸς, ἀνδρῶν λῶστε, ὅτι χαρίεις Ἀριστοφάνης ἐν τοῖς Ὄρνισι μνημονεύει ἐν τούτοις, οἶδα·

Πορφυρίωνι καὶ πελεκᾶντι
καὶ πελεκίννῳ [1] καὶ φλέξιδι
καὶ τέτρακι καὶ ταῶνι.

ζητῶ δ' ἐγὼ παρ' ὑμῶν μαθεῖν, εἰ καὶ παρ' ἄλλῳ τινὶ αὐτοῦ τις γίνεται μνήμη. Ἀλέξανδρος γὰρ ὁ Μύν-

1 πελεκίνῳ edd.

58. Poſtquam vero ſuper aliis etiam inlatis cibis multa inter coenam diſputata eſſent, Larenſius ait: Ego vero, (quod facere amat Ulpianus vir longe optimus) nonnihil & ipſe in medium vobis proponam: nam quaeſtionibus veſcimur. TETRACEM vos quid eſſe putatis? Quumque reſpondiſſet nonnemo, eſſe avis ſpeciem: (moris eſt enim Grammaticorum filiis, ut, qualecumque ſit de quo quaeratur, dicant eſſe *plantae ſpeciem, ſpeciem avis, ſpeciem lapidis*:) Larenſius ait: Ne ego quidem, o virorum optime, ſum neſcius, in feſtivi Ariſtophanis Avibus illam commemorari, ubi ait:

Porphyrioni & pelecano,
& pelecino & phlexidi,
& tetraci & pavoni.

Sed a vobis diſcere cupio, an apud alium etiam quemdam fiat eiusdem mentio. Nam Alexander Myndius,

δίος ἐν δευτέρῳ Περὶ Πτηνῶν Ζώων, οὐ τοῦ ὄρνιθος τοῦ μεγάλου μνημονεύει, ἀλλά τινος τῶν σμικροτάτων. Tetrax minor.
d λέγει γὰρ οὕτως· „Τέτραξ, τὸ μέγεθος ἴσος σπερμολόγῳ, τὸ χρῶμα κεραμεοῦς, ῥυπαραῖς στιγμαῖς καὶ μεγάλαις [1] γραμμαῖς ποικίλος, καρποφάγος. ὅταν ὠοτοκῇ δὲ, τετράζει τῇ φωνῇ.“ Καὶ Ἐπίχαρμος ἐν Ἥβας Γάμῳ·

— Λαμβάνοντι [2] γὰρ
ὄρτυγας, στρουθούς τε, καὶ κορυδάλλας [3] φιλοκονείμονας, [4]
τέτραγας, σπερματολόγους τε, καὶ ἀγλαὰς [5] συκαλλίδας. [6]

καὶ ἐν ἄλλοις δὲ φησίν·

Ἦν δ' ἐρωδιοί τε πολλοὶ μακροκαμπυλαύχενες, [7]
τέτραγές τε, καὶ σπερματολόγοι. —

Ἐπεὶ δὲ ὑμεῖς οὐδὲν ἔχετε, (σιωπᾶτε γὰρ,) ἐγὼ καὶ Tetrax maior.

1 μελαίναις malim. 2 λαμβάνοντα edd. 3 κορυδάλας edd. Forſ. κορυδάλλια (vel κορυδάλια) φιλοκονείμονα. 4 φοινικονείμονας edd. φοινικοείμονας corr. Caſaub. 5 καὶ ἀγλαὰς vulgo. 6 συκαλίδας edd. 7 μακρὸν καμπυλαύχενες edd.

ſecundo libro de volucribus Animantibus, non maioris illius meminit, ſed alicuius e minimarum numero avium. Sic enim ſcribit: »*Tetrax*, magnitudine aequalis eſt ſpermologo, colore teſtaceo, ſordidis punctis & magnis [*ſive*, nigris] lineis notatus, frugivorus. Cum ova parit, vocem edit a qua ipſa nomen *tetracis* invenit.« Et Epicharmus, in Hebes Nuptiis, ait:

— *Capiunt enim*
coturnices, paſſeres, & alaudas pulvere-veſtiri-amantes,
tetragas, ſpermatologosque, & nitentes ficedulas.

Et alibi:

Erant & ardeae multae longis-collis-curvatisque
tetragesque & ſpermatologi. —

Quoniam vos vero, quid dicatis, non habetis; (ſiletis

τὸ ὄρνεον ὑμῖν ἐπιδείξω. ἐπιτροπεύων γὰρ ἐν Μυσίᾳ e
τοῦ κυρίου αὐτοκράτορος, καὶ προϊστάμενος τῶν τῆς
ἐπαρχίας ἐκείνης πραγμάτων, τεθέαμαι ἐπὶ τῇ χώρᾳ
ἐκείνῃ τοὔρνεον. καὶ μαθὼν οὕτω καλούμενον παρὰ τοῖς
Μυσοῖς καὶ Παίοσιν, ὑπεμνήσθην ἐκ τῶν ὑπ' Ἀριστο-
φάνους εἰρημένων τὴν ὄρνιθα. νομίζων δὲ καὶ παρὰ τῷ
Aristotelis opus multorum talentorum. πολυμαθεστάτῳ Ἀριστοτέλει μνήμης ἠξιῶσθαι τὸ ζῶον
ἐν τῇ πολυταλάντῳ πραγματείᾳ· (ὀκτακόσια γὰρ
εἰληφέναι τάλαντα παρ' Ἀλεξάνδρου τὸν Σταγειρί-
την λόγος ἔχει, εἰς τὴν περὶ τῶν ζώων Ἱστορίαν) ὡς
οὐδὲν εὗρον περὶ αὐτοῦ λεγόμενον, ἔχαιρον ἔχων ἐχεγ- f
γυώτατον μάρτυρα τὸν χαρίεντα Ἀριστοφάνη. Ἅμα
δὲ ταῦτα λέγοντος αὐτοῦ, εἰσῆλθέ τις Φέρων ἐν τῷ
ταλάρῳ τὸν τέτρακα. ἦν δὲ τὸ μὲν μέγεθος ὑπὲρ ἀλε-
κτρυόνα τὸν μέγιστον, τὸ δὲ εἶδος πορφυρίωνι παρα-
πλήσιος· καὶ ἀπὸ τῶν ὤτων ἑκατέρωθεν εἶχε κρεμά-

enim:) ego ipſam etiam avem vobis oſtendam. Nam quum procurator eſſem domini Caeſaris in Myſia, rebusque illius provinciae praeeſſem, vidi in ea regione avem quam dixi: quumque iſto nomine adpellari a Myſis & Paeonibus cognoviſſem, recordatus ſum illius ex iis quae ab Ariſtophane dicta ſunt. Ratus vero etiam doctiſſimum Ariſtotelem dignatum eſſe mentionem eius facere in illo *multorum talentorum opere*: (nam octingenta talenta ab Alexandro accepiſſe aiunt Stagiritam condendae *Animalium Hiſtoriae* cauſſa:) cum nihil de ea commemoratum invenirem, gaviſus ſum locupletiſſimum me teſtem habere feſtivum Ariſtophanem. Adhuc loquebatur haec Larenſius, cum intravit aliquis tetracem caveâ incluſum ferens. Erat autem avis maior maximo gallo gallinaceo, ſpecie non diſſimilis porphyrioni: ab auribus vero utrimque pendulas habebat paleas, paleae

μενα, ὥσπερ οἱ ἀλεκτρυόνες, τὰ κάλλαια· βαρεῖα
a δ' ἦν ἡ φωνή. θαυμασάντων οὖν ἡμῶν τὸ εὐανθὲς τοῦ ὄρνιθος, μετ' οὐ πολὺ καὶ ἐσκευασμένος παρηνέχθη· καὶ τὰ κρέα αὐτοῦ ἦν παραπλήσια τοῖς [1] τῆς μεγάλης στρουθοῦ, ἣν καὶ αὐτὴν πολλάκις κατεδαισάμεθα.

LIX. LUMBULI.

ΨΥΑΙ. Ὁ τὴν τῶν Ἀτρειδῶν [2] Κάθοδον πεποιηκὼς, ἐν τῷ τρίτῳ, φησίν·

Ἶσον δ' [3] Ἑρμιονεὺς ποσὶ καρπαλίμοισι μεταστὰς,

ψύας [4] ἔγχει νύξε.

Σιμάριστος δ' ἐν τρίτῳ Συνωνύμων οὕτως γράφει·
b „Ὀσφύος αἱ ἐκ πλαγίων σάρκες ἐπανεστηκυῖαι, ψύαι. τὰ δὲ ἑκατέρωθεν κοιλώματα, λέγουσι κύβους, γαλλίας." Κλέαρχος δ' ἐν δευτέρῳ Περὶ Σκελετῶν οὕτως φησί· „Σάρκες μυῶται καθ' ἑκάτερον

1 Deeſt τοῖς edd. 2 τῶν Ἡρακλειδῶν corr. Caſaub. 3 φησί· Νῖσον corrigit idem. 4 Forſ. ψοίας, aut ψυίας.

galli ſimiles: vox autem ei gravis erat. Pulcritudinem avis cum eſſemus admirati, non multo poſt etiam parata menſae inferebatur: & caro eius in cibo ſimilis erat carni ſtruthiocameli, qua & ipſa ave ſubinde veſci nobis contigit.

59. Ψύαι. LUMBI: LUMBULI. Auctor Reditûs Atridarum [*ſive*, Heraclidarum] in patriam, libro tertio ait:

Ex aequo [ſive, *Niſum*] *Hermioneus celeribus pedibus aſſecutus,*

lumbos haſtâ perfodit.

Simariſtus vero, tertio Synonymorum, ita ſcribit: »Carnes, quae e lumbis ab utroque latere eminent, *lumbuli* dicuntur: cavitates vero quae ſunt utrimque, *cybos* & *gallias* vocant.« Clearchus vero, ſecundo libro DE SCELETIS [*id eſt*, DE OSSIUM IN CORPORE HUMANO COMPAGE] ait: »Carnes muſculoſae ab utraque parte; quas non-

μέρος, ἃς οἱ μὲν ψύας, οἱ δὲ ἀλώπεκας, οἱ δὲ νευρομήτρας [1] καλοῦσι." Μνημονεύει δὲ τῶν ψυῶν καὶ Ἱπποκράτης ὁ ἱερώτατος. Ὠνομάσθησαν δ' οὕτως διὰ τὸ ῥαδίως ἀποψᾶσθαι, ἢ [2] οἷόν τις οὖσα ἐπιψαύουσα σὰρξ καὶ ἐπιπολῆς τοῖς ὀστέοις ὑπάρχουσα. μνημονεύει αὐτῶν [3] καὶ Εὔφρων ὁ κωμικὸς ἐν Θεωροῖς·

Λοβός τις ἐστὶ, καὶ ψύαι καλούμεναι· c
ταύτας ἐπιτεμὼν [4] πρὶν θεωρῆσαι μαθών.

LX. Uber.

Οὖθαρ. Τηλεκλείδης, Στερρροῖς·

Ὡς οὖσα θῆλυς, εἰκότως οὖθαρ φορῶ. [5]

Ἡρόδοτος δ' ἐν τῇ τετάρτῃ τῶν Ἱστοριῶν [ἐπὶ ἵππων] φησίν. [6] σπανίως δέ ἐστιν εὑρεῖν τὸ οὖθαρ ἐπὶ τῶν ἄλλων ζώων λεγόμενον· ὑπογάστριον δὲ μόνον, ὡς ἐπὶ τῶν ἰχθύων, λέγεται. Στράττις, Ἀταλάντῃ·

1 νεφρομήτρας aut νεφρομήτορας corr. Casaub. quasi *renum matrices*. 2 Deest ἢ editis. 3 αὐτῆς ed. Bas. & Cas. 4 ἐπιτεμῶν edd. ἐπιτεμεῖν coni. Dalec. 5 Alibi est φέρω. 6 Desunt vulgo verba ἐπὶ ἵππων. Tum post φησὶν est nota defectus * in ed. Bas. In edit. Cas. vero adiiciuntur verba Herodoti haec:

nulli *lumbos*, (ψύας,) alii *vulpes*, (ἀλώπεκας,) alii *nervorum matres* (νευρομήτρας) adpellant. « Meminit lumborum (τῶν ψυῶν) etiam sanctissimus Hippocrates. Nomen autem invenerunt ex eo quod *facile* ἀποψῶνται, id est, *abradantur*: aut quod sit quaedam caro leviter attingens (ἐπιψαύουσα) ossa, & superne eis praetexta. Meminit eorumdem & Euphron comicus, in Theoris:

Lobus est aliquis, & quae ψύαι *vocantur:*
has praecidere, priusquam spectes, disce.

60. Uber. (Οὖθαρ.) Teleclides, in Rigidis:

Foemina cum sim, par est ut uber feram.

Herodotus, quarto libro Historiarum [de equis] usurpat id nomen. Raro vero de aliis animantibus dictum οὖθαρ reperire licet: sed solummodo ὑπογάστριον (*abdomen*) dicitur, ut in piscibus. Strattis, in Atalanta:

d Ὑπογάστριον θύννου τε [1] καὶ ἀκροκώλιον.

Θεόπομπος, Καλλαίσχρῳ·

A. Ἰχθύων δὲ δὴ

ὑπογάστρι'. B. Ὦ Δάματερ. [2] —

ἐν δὲ Σειρῆσιν, ὑπήτρια καλεῖ τὰ ὑπογάστρια, λέγων οὕτως·

Θύννων τε λευκῶν Σικελικῶν ὑπήτρια.

ΛΑΓΩΣ. Περὶ τούτου ὁ μὲν ὀψοδαίδαλος Ἀρ- LXI.

χέστρατος οὕτως φησί· Lepus in cibo.

Τοῦ δὲ λαγὼ πολλοί τε τρόποι, πολλαί τε θέ-

σεις [μὲν] [3]

σκευασίας εἰσί· κεῖνος δ' οὖν ἐστιν ἄριστος,

ἂν πεινῶσι μεταξὺ φέρῃς κρέας ὀπτὸν ἑκάστῳ,

e θερμὸν, ἁπλῶς ἁλίπαστον, ἀφαρπάζων ὀβελίσκου,

μικρὸν ἐνωμότερον. μὴ λυπείτω δέ σ' ὁρῶντα 5

ἰχῶρα στάζοντα κρεῶν, ἀλλ' ἔσθιε [4] λάβρως.

τὰς φλέβας τε πίμπλασθαι φυσσεωμένης τῆς ἵππου, καὶ τὸ οὖθαρ κατίσθαι. 1 Vulgo h. l. Ὑπογάστριον δὲ θύννου τε καὶ &c. 2 ὑπογαστρίῳ διάμαρτιν edd. ὑπογάστριω διαματερ Ms. 3 μὲν deeſt vulgo. πάμπολλά τε εἴδη corr. Caſaub. 4 ἔσθε mssti. Debuerant forſ. ἔσθε γε.

Abdomen thynni, ſimulque trunculi.

Theopompus, Callaeſchro:

A. *Et piſcium nempe abdomina.* B. *O alma Mater!*

In Sirenibus vero abdomina idem poëta ὑπήτρια dicit:

Thynnorumque Siculorum candidorum ὑπήτρια.

61. LEPUS. De hoc, obſoniorum artifex Archeſtratus in hunc modum praecipit:

Leporis adparandi multae ſunt quidem rationes, multaque praecepta: ſed optimum ex his illud eſt, ut eſurientibus adponas aſſam carnem ſingulis, calidam, prorſus nil unctam, raptam e veru, nonnihil etiamnum crudiuſculam. Nec doleas videns ſanguinem e carne ſtillantem; immo avide devora.

Αἱ δ' ἄλλαι περίεργοι ἐμοί γ' εἰσὶν διὰ παντὸς
σκευασίαι, γλοιῶν [1] καταχύσματα, καὶ κατάτυρα,
καὶ κατέλαια λίαν, ὥσπερ γαλῇ ὀψοποιούντων. [2]

Ναυκράτης [3] δ' ὁ κωμῳδιοποιὸς, ἐν Περσίδι, σπανίως, φησὶν, ἐστὶν εὑρεῖν δασύποδα περὶ τὴν Ἀττικήν. f λέγει δ' ὧδε·

Ἐν τῇ γὰρ Ἀττικῇ τίς εἶδε πώποτε
λέοντας, ἢ τοιοῦτον [4] ἕτερον θηρίον;
οὗ δασύποδ' εὑρεῖν ἐστιν οὐχὶ ῥᾴδιον.

Ἀλκαῖος δ', ἐν Καλλιστοῖ, καὶ ὡς πολλῶν ὄντων ἐμφανίζει, διὰ τούτων·

Κοριαννὸν εἶναι λεπτὸν, [5] ἵνα τοὺς δασύποδας,
οὓς ἂν [6] λάβωμεν, ἁλσὶ διαπάττειν ἔχῃς.

LXII.

Grammaticalia, λαγὸς, λαγὰς, λαγωός.

Τρύφων δὲ φησί· „Τὸν λαγὼν ἐπ' αἰτιατικῆς ἐν a Δαναΐσιν Ἀριστοφάνης ὀξυτόνως καὶ μετὰ τοῦ ν λέγει·

1 γλυῶν edd. 2 γαλὴ ὀψοποιοῦντες edd. 3 Ναυσικράτης forſ. 4 ἤ τι τοιοῦτον ms. *Ep.* 5 εἶναί τι λεπτὸν vulgo. 6 οὓς ἂν vulgo.

Reliquos omnes curioſos reputo omnino
adparatus, ſi ſordibus perfundas, multoque caſeo
oleove nimis inungas, quaſi feli epulas parans.

Naucrates vero (*ſive*, Nauſicrates) comicus, in Perſide, ait, rarum eſſe in Attica leporem invenire. Verba poëtae haec ſunt:

In Attica quis vidit umquam
leones, aut talem aliquam beſtiam?
ubi ne leporem quidem facile invenias.

Sed Alcaeus, in Calliſto, frequentes etiam ibi eſſe ſignificat, cum ait:

Coriandrum adeſſe tuſum oportet, quo lepores,
ſi quos ceperimus, cum ſale conſpergere queas.

62. Tryphon vero ſcribit: »In accuſativo caſu τὸν λαγὼν dixit Ariſtophanes in Danaidibus, ultimâ acutâ, & ν literâ in fine adiectâ:

Λύσας [1] ἴσως ἂν τὸν λαγὼν ξυναρπάσειεν ἡμῶν.
καὶ ἐν Δαιταλεῦσιν·

Ἀπόλωλα· τίλλων τὸν λαγὼν ὀφθήσομαι.

Ξενοφῶν δ' ἐν Κυνηγετικῷ χωρὶς τοῦ ν, λαγῶ, καὶ περισπωμένως. Ἐπεὶ τὸ καθ' ἡμᾶς ἐστι λαγός. ὥσπερ δὲ ναὸν λεγόντων ἡμῶν, ἐκεῖνοί φασι νεών, καὶ λαὸν λεών· οὕτω λαγὸν ὀνομαζόντων, ἐκεῖνοι λαγὼν ἐροῦσι. τῇ δὲ τὸν λαγὸν ἐνικῇ αἰτιατικῇ, ἀκόλουθός ἐστιν ἡ παρὰ Σοφοκλεῖ, ἐν Ἀμύκῳ [2] Σατυρικῷ, πληθυντικὴ ὀνομαστική·

Γέρανοι, κορῶναι, [3] γλαῦκες, ἴκτινοι, λαγοί.

τῇ δὲ λαγὼν ἡ διὰ τοῦ ω παραπλησίως προσαγορευομένη λαγῷ [4] παρ' Εὐπόλιδι ἐν Κόλαξιν·

1 An λήσας? 2 Temere Ἀμύκλῳ ed. Casaub. 2. & 3. 3 χελῶναι h. l. ed. Ven. & ms. A. 4 Vulgo λαγὰ absque iota subscripto, & sic mox iterum.

Solvens [five, *Clam*] *fortasse leporem* (τὸν λαγὼν) *postrum corripuerit.*

Item in Convivis:

Perii: vellicans leporem (τὸν λαγὼν) *conspiciar.*

Xenophon vero, in Cynegetico, λαγῶ, absque ν litera, ultimâ vero syllabâ circumflexâ. Nam apud nos usitata nominis forma est λαγός. Quemadmodum vero pro eo quod nos ναὸν dicimus, illi νεὼν aiunt, & pro λαὸν, λεών: sic, quem nos λαγὸν nominamus, illi λαγὼν vocant. Accusativo vero singulari τὸν λαγὸν consentaneus est apud Sophoclem in Amyco Satyrico nominativus pluralis:

Grues, cornices, noctuae, milvi, lepores (λαγοί.)

Sed accusativo singulari τὸν λαγὼν respondet per ω longum similiter formatus nominativus pluralis λαγῷ apud Eupolidem, in Adsentatoribus:

ἵνα πάρα [1] μὲν βατίδες καὶ λαγῷ καὶ γυναῖκες
εἰλίποδες.

Εἰσὶ δ' οἱ καὶ ταῦτ' ἀλόγως κατὰ τὴν τελευτῶσαν συλλαβὴν περισπωμένως προφέρονται. δεῖ δὲ ὀξυτονεῖν τὴν λέξιν· ἐπειδὴ τὰ εἰς ος λήγοντα τῶν ὀνομάτων, ὁμότονά ἐστι κἂν μεταληφθῇ εἰς τὸ ω παρ' Ἀττικοῖς· c
ναὸς, νεώς· καλὸς, κάλως. οὕτως [2] δ' ἐχρήσατο τῷ ὀνόματι καὶ Ἐπίχαρμος, καὶ Ἡρόδοτος, καὶ ὁ τοὺς Εἵλωτας ποιήσας. εἶτά ἐστι τὸ μὲν Ἰακὸν, λαγός·

Λαγὸν ταράξας, πῖθι, [3] τὸν θαλάσσιον.

τὸ δὲ λαγὼς, Ἀττικόν. λέγουσι δὲ καὶ Ἀττικοὶ λαγὸς, ὡς Σοφοκλῆς· „γέρανοι, κορῶναι, γλαῦκες, [4] λαγοί." Τὸ μέντοι, ἢ πτῶκα λαγωόν, εἰ μὲν ἐστὶν Ἰωνικὸν, πλεονάζει τὸ ω· εἰ δ' Ἀττικὸν, τὸ ο. Λαγῶα [5] δὲ λέγεται κρέα." d

1 ἵνα μὴ παρὰ μὲν edd. 2 Turbata videtur orationis consecutio. 3 πίθει vulgo h. l. 4 ἰκτῖνοι hic iterum inserunt edd. 5 Rectius λαγῷα.

Ubi adsunt raiae, & lepores, (λαγῷ) mulieresque flexipedes.

Sunt vero qui & haec praeter rationem circumflexâ ultimâ syllabâ efferunt. At acuere hanc dictionem oportet: quoniam, quaecumque nomina in *os* desinunt, licet apud Atticos o in ω mutetur, tamen eumdem servant accentum: ut ναὸς, κάλος; Attice νεὼς, κάλως. Sic vero usus est eo nomine & Epicharmus & Herodotus, & qui *Eilotas* composuit. Proinde Ionica forma est ὁ λαγός:

Leporem (Λαγὸν) cum turbaveris marinum, bibe.

Sed λαγὼς, Atticum est: quamquam & Attici ὁ λαγὸς dixerunt, ut Sophocles: *Grues, cornices, noctuae, lepores.* (λαγοί.) Illud vero (Homericum,) ἢ πτῶκα λαγωόν, si quidem Ionicum est, abundat vocalis ω; sin Atticum, abundat o. Leporinae vero carnes, λαγῷα κρέα dicuntur. «

LXIII. Leporis foecunditas.

Ἡγήσανδρος δ' ὁ Δελφὸς ἐν Ὑπομνήμασι, κατὰ τὴν Ἀντιγόνου τοῦ Γονατᾶ, φησὶ, βασιλείαν τοσοῦτον πλῆθος γενέσθαι λαγῶν ἐν Ἀστυπαλαίᾳ, ὡς τοὺς Ἀστυπαλαιεῖς περὶ αὐτῶν μαντεύσασθαι. καὶ τὴν Πυθίαν εἰπεῖν, κύνας τρέφειν, καὶ κυνηγετεῖν· ἁλῶναι τε ἐν ἐνιαυτῷ πλείους τῶν ἑξακισχιλίων. ἐγένετο δὲ τὸ πλῆθος τοῦτο, [1] Ἀναφαίου τινὸς ἐμβαλόντος [2] δύο λαγωοὺς εἰς τὴν νῆσον· ὡς καὶ πρότερον, Ἀστυπαλαίεως τινὸς ἀφέντος δύο πέρδικας εἰς τὴν
e Ἀνάφην, τοσοῦτον πλῆθος ἐγένετο περδίκων ἐν τῇ Ἀνάφῃ, ὡς κινδυνεῦσαι ἀναστάτους γενέσθαι [3] τοὺς κατοικοῦντας. κατ' ἀρχὰς δὲ ἡ μὲν Ἀστυπάλαια οὐκ εἶχεν λαγῶς, ἀλλὰ πέρδικας. Πολύγονον δέ ἐστι τὸ ζῶον ὁ λαγὼς, ὡς Ξενοφῶν εἴρηκεν ἐν τῷ Κυνηγετικῷ. καὶ Ἡρόδοτος δ' οὕτως φησί· „Τοῦτο μὲν ὅτι ὁ λαγὼς ὑπὸ πάντων θηρεύεται, καὶ θηρίου καὶ ὄρνιθος

1 τοῦτο τὸ πλῆθος edd. 2 ἐμβάλλοντος edd. 3 γίνεσθαι edd.

63. Narrat Hegeſander Delphus in Commentariis, regnante Antigono Gonata, tantam leporum multitudinem fuiſſe in Aſtypalaea inſula, ut ſuper eis oraculum conſulerent Aſtypalaeenſes. Quibus quum reſpondiſſet Pythia, *canes alerent, & venarentur*, captos eſſe uno anno ultra ſex millia. Exſtiterat autem illa multitudo ex quo Anaphaeus quidam duos lepores in eam inſulam conieciſſet: quemadmodum ante id tempus, cum Aſtypalaeenſis quidam duas perdices in Anaphen dimiſiſſet, tanta perdicum multitudo in illa inſula prognata eſt, ut propemodum e patria emigrare cogerentur inſulani. Ante id tempus perdices quidem habuerat Aſtypalaea, ſed nullos lepores. Eſſe autem foecundum admodum animal leporem, Xenophon etiam docuit in Cynegetico. Et de eodem argumento Herodotus ita ſcribit: »Quoniam lepori inſidiantur omnes, & ferae & aves, & ho-

καὶ ἀνθρώπου, οὕτω δή τι πολύγονον ἐστίν· ἐπικυΐσκει τε [1] μόνον πάντων θηρίων· καὶ τὸ μὲν δασὺ τῶν τέκνων ἐν τῇ γαστρὶ, τὸ δὲ ψιλὸν, τὸ δὲ ἄρτι ἐν τῇσι μήτρῃσι [2] πλάσσεται, τὸ δ' ἐπαναιρέεται." [3] Πολύβιος f
δ', ἐν τῷ ιβ'. τῶν Ἱστοριῶν, γίγνεσθαι, φησὶ, παρόμοιον τῷ λαγῷ ζῷον, τὸν κούνικλον καλούμενον, γράφων οὕτως· „Ὁ δὲ κούνικλος καλούμενος, πόρρωθεν μὲν ὁρώμενος, εἶναι δοκεῖ λαγὼς μικρός· ὅταν δ' εἰς τὰς χεῖρας λάβῃ τις, μεγάλην ἔχει διαφοράν, καὶ κατὰ τὴν ἐπιφάνειαν, καὶ κατὰ τὴν βρῶσιν. γίνεται δὲ τὸ πλεῖον κατὰ γῆς." Μνημονεύει δὲ αὐτῶν καὶ Ποσειδώνιος ὁ φιλόσοφος ἐν τῇ Ἱστορίᾳ. καὶ ἡμεῖς a
εἴδομεν πολλοὺς [4] κατὰ τὸν ἀπὸ Δικαιαρχείας πλοῦν ἐπὶ Νέαν πόλιν. νῆσος γάρ ἐστιν οὐ μακρὰν τῆς γῆς κατὰ τὰ τελευταῖα μέρη τῆς Δικαιαρχείας, ὑπ' ὀλί-

Cuniculus.

1 Rectius fuerit ἐπικυΐσκεταί τε. 2 ταῖς μήτραισι edd.
3 ἐπ' ἀναίρεται vulgo. 4 αὐτῶν inferunt edd.

mines; eapropter nimirum foecundum admodum hoc animal eſt, ac ſolum ex omnibus animantibus ſuperfoetatur: nam ſimul alium foetum pilis iam veſtitum utero geſtat, alium nudum, alius tantum quod formatur in utero, alium inſuper concipit.« Polybius vero, duodecimo libro Hiſtoriarum, eſſe ait ſimile lepori animal, quod *cuniculum* vocant. De quo ita ſcribit: »Cuniculus qui vocatur, procul intuentibus parvus lepus eſſe videtur: ubi vero in manum acceperis, multum ſane discrepat, cum ſpecie, tum in cibo. Vivit autem plerumque ſub terra.« Meminit horum etiam Poſidonius philoſophus in Hiſtoria. Et nos quoque magnum eorum vidimus numerum, cum Puteolis navigaremus Neapolin: nam contra extremam Puteolorum partem eſt inſula non longe a continente, a paucis habitata ho-

γων μὲν κατοικουμένη, πολλοὺς δὲ ἔχουσα τοὺς κουνίκλους τούτους. Καλοῦνται δέ τινες καὶ Χελιδονίαι λαγωοί. μνημονεύει δὲ αὐτῶν Δίφιλος ἢ Καλλιάδης ἐν Ἀγνοίᾳ, οὕτως· „Τί τοῦτο; ποδαπὸς οὗτος χελιδόνιος ὁ δασύπους; γλαυκία [1] δ' ἡ μίμαρκυς;" Θεόπομπος δ', ἐν τῇ εἰκοστῇ τῶν Ἱστοριῶν, περὶ τὴν b Βισαλτίαν, φησὶ, λαγωοὺς γίνεσθαι, δύο ἥπατα ἔχοντας. Chelidonias lepus.

LXIV.

ΣΥὸς δὲ Ἀγρίου ἐπεισενεχθέντος, ὃς κατ' οὐδὲν ἦν ἐλάττων τοῦ καλοῦ γραφομένου Καλυδωνίου· προβάλλω, τὶς ἔφη, σοὶ [2] ζητεῖν, Φροντιστὰ καὶ λογιστὰ Οὐλπιανὲ, τίς ἱστόρηκε τὸν Καλυδώνιον σῦν θήλειάν τε γεγονέναι καὶ λευκὴν τὴν χρόαν. Ὁ δὲ [οὐ] [3] σφόδρα Φροντίσας, καὶ τὸ προβληθὲν ἀποδιοπομπησάμενος, Ἀλλ' ὑμῖν γε, [4] ἔφη, ἄνδρες γάστρωνες, Aper. Sus vel Vir agrius.

1 An γλαυκιᾶ. 2 σὺ Ms. Deeſt edd. 3 Vulgo ὁ δὲ σφόδρα, absque negatione. 4 An ὑμεῖς γε? An Ἀλλ' ὑμῖν ἐγὼ, ſcil. προβάλλω? & deinde, οἱ εἰ μὴ κορ. ἔχετε?

minibus, magnum vero numerum habens horum cuniculorum. Sunt vero & lepores qui *chelidoniae* (quaſi *hirundinarii*) vocantur; quorum meminit Diphilus ſive Calliades in fabulâ Ignorantiâ, ubi ait:

Quid hoc? cuiás eſt chelidonius hic lepus?
& glauca mimarcys? (*conämentum ex inteſtinis ſanguineque leporis paratum.*)

Theopompus vero vigeſimo Hiſtoriarum libro ſcribit, circa Biſaltiam lepores gigni, bina habentes iecinora.

64. Poſt haec quum inlatus eſſet APER nihil cedens pulcro illi, qui pingi ſolet, Calydonio: Tibi, inquit nonnemo, curioſe inquiſitor ratiocinatorque Ulpiane, propono ut quaeras, quis docuerit Calydonium aprum foeminam fuiſſe & colore album. Ille vero nihil admodum curans, & a ſe amandans quaeſtionem: Immo vobis ego propono, viri gulae dediti; qui niſi nunc ſa-

εἰ μὴ κόρον ἤδη ἔχετε τοσούτων [1] ἐμπλησθέντες, [2] ὑπερβαλλειν μοι δοκεῖτε πάντας τοὺς ἐπὶ πολυφαγίᾳ c διαβοητους γενομένους· καὶ τίνες εἰσὶν οὗτοι, ζητεῖτε. προσέρεσθαι δικαιόν [3] ἐστιν ὑμᾶς σὺν [4] τῷ σ̄ σῦς ἑτυμώτερον· [5] παρὰ τὸ σεύεσθαι γὰρ καὶ ὁρμητικῶς ἔχειν τὸ ζῶον εἰρηται. τέτριπται δε καὶ το λέγειν χωρὶς τοῦ κατ' ἀρχὰς σ̄, ὗς. οἱ δε, σῦν εἰρῆσθαι [6] οἱονεὶ θῦν, τὸν εἰς θυσίαν εὐθετοῦντα. Νῦν δε, εἰ δοκεῖ, ἀποκρίνεσθέ μοι, τίς μνημονεύει κατὰ τὸ σύνθετον, ὁμοίως ἡμῖν, συάγρου, ἐπὶ τοῦ συὸς τοῦ ἀγρίου; Σοφοκλῆς μεν γὰρ, ἐν Ἀχιλλέως Ἐρασταῖς, ἐπὶ κυνὸς ἔταξε τεῦχεσθαι ἀπὸ τοῦ σῦς ἀγρεύειν, λέγων· d

Σὺ δ', ὦ σύαγρε, Πηλιωτικὸν [7] τρέφος. [8]

Σύαγρος, proprium nomen.

Παρ' Ἡροδότῳ δε ὄνομα κύριον Σύαγρος, Λάκων γε-

1 τοσοῦτον edd. 2 ἐμπλασθέντες edd. 3 Legebam προσφ. δὲ δίκαιον. 4 σῦν vulgo. 5 ἑτοιμώτερον edd. 6 οἱ δὲ συγκρῆσθαι edd. 7 παλιωτικὸν edd. 8 βρέφος *Epit.*

tiari eſtis, poſtquam tot cibis impleviſtis ventrem, ſuperare mihi videmini illos prae caeteris voracitate famoſos; qui quinam ſint, vos iubeo quaerere. Aequum eſt vero, & veriloquio convenientius, ut praepoſitâ σ literâ σῦς efferatis vocabulum: nam a τῷ σεύεσθαι, id eſt, a *fero impetu quo irruit*, nomen invenit hoc animal. At uſus tamen obtinuit, ut absque σ initio vocis, ὗν dicere conſueverimus. Sunt vero etiam, qui σῦν dictum putent veluti θῦν, ut qui ſit ad immolandum (εἰς θυσίαν) maxime idoneus. Nunc vero, ſi videtur, reſpondete mihi: E veteſtioribus quis compoſito vocabulo, quemadmodum nos ſolemus, σύαγρον dixit aprum, quem alii σῦν ἄγριον? Nam Sophocles quidem, in Achillis Amatoribus, in cane poſuit id nomen a *venando apro*, dicens:

Tu vero, o ſyagre, (id eſt, *aprorum venator*) *Peliotice alumne.*

Apud Herodotum vero proprium nomen *Syagrus* eſt,

νος, ὁ πρὸς Γέλωνα τὸν Συρακούσιον πρεσβεύσας περὶ τῆς πρὸς τοὺς Μήδους συμμαχίας, ἐν τῇ ἑβδόμῃ. καὶ Αἰτωλῶν δὲ οἶδα στρατηγὸν Σύαγρον, οὗ μνημονεύει Φύλαρχος ἐν τετάρτῃ Ἱστοριῶν. Καὶ ὁ Δημόκριτος ἔφη· Ἀεί ποτε σὺ, ὦ Οὐλπιανὲ, οὐδενὸς μεταλαμβάνειν εἴωθας τῶν παρασκευαζομένων πρὶν μα-
e θεῖν εἰ ἡ χρῆσις μὴ [1] εἴη τῶν ὀνομάτων παλαιά. κινδυνεύεις οὖν ποτε διὰ ταύτας τὰς Φροντίδας, ὥσπερ ὁ Κῶος Φιλητᾶς ζητῶν τὸν καλούμενον ψευδολόγον τῶν λόγων, [2] ὁμοίως ἐκείνῳ διαλυθῆναι. ἰσχνὸς γὰρ πάνυ τὸ σῶμα διὰ τὰς ζητήσεις γενόμενος, ἀπέθανεν· ὡς τὸ πρὸ τοῦ μνημείου αὐτοῦ ἐπίγραμμα δηλοῖ·

Mentiens quae vocatur ratio.

Ξεῖνε, Φιλητᾶς εἰμί. λόγων ὁ ψευδόμενός με
ὤλεσε, καὶ νυκτῶν Φροντίδες ἐσπέριοι.

1 Legebam, εἰ ἡ χρῆσις, ἢ μὴ, εἴη &c. Sed nil mutant libri.
2 ψευδόμενον λόγον Suid.

genere Spartanus, qui ad Gelonem Syracuſium miſſus eſt legatus de ſocietate adverſus Medos; ſeptimo libro. Meminique etiam Aetolorum praetorem Syagrum, cuius mentionem Phylarchus fecit quarto libro Hiſtoriarum. Cui Democritus reſpondit: Conſtans hic tuus mos eſt, Ulpiane, ut de omnibus quae parata ſunt nihil deguſtes, quin prius didiceris, utrum antiquus ſit, nec ne, nominum uſus. Quare verendum ne propter has tuas curas, quemadmodum Philetas Cous, cum in ratiocinationem inquireret quae *Mentiens* vocatur, ſimiliter ut ille, macie conſumaris. Nam propter illas quaeſtiones macie prorſus confectus ille periit; quemadmodum declarat inſcriptio quae in illius monumento legitur:

Hoſpes! Philetas ſum. Ratio, Mentiens quae dicitur, perdidit me, & curae veſpertinae per noctes continuatae.

LXV. Σύαγρος, aper.

Ἴν' οὖν μὴ καὶ σὺ ζητῶν τὸν σύαγρον ἀφανισθῇς, μάθε, ὅτι Ἀντιφάνης μὲν ἐν Ἁρπαζομένῃ οὕτως ὠνόμασε·

Λαβὼν ἐπανάξω σύαγρον εἰς τὴν οἰκίαν f
τῆς νυκτὸς αὐτῆς, καὶ λέοντα, καὶ λύκον.

Διονύσιος δὲ ὁ τύραννος, ἐν τῷ Ἀδώνιδι [1]

Νυμφῶν [2] ὑπὸ σπήλυγγα τὸν αὐτόστεγον
σύαγρον ἐκβόλειον [3] εὔθηρον κλύειν,
ὦ [4] πλεῖστ' ἀπαρχὰς ἀκροθινιάζομαι.

Λυγκεὺς δ' ὁ Σάμιος ἐν τῇ πρὸς Ἀπολλόδωρον Ἐπιστολῇ γράφει οὕτως· „ἵνα τὰ μὲν αἴγεια τοῖς παι- a
σὶ, τὰ δὲ συαγρία μετὰ τῶν Φίλων αὐτὸς ἔχῃς.“ καὶ Ἱππόλοχος δὲ ὁ Μακεδὼν, οὗ ἐμνημονεύσαμεν ἐν τοῖς πρὸ τούτων, ἐν τῇ πρὸς τὸν προειρημένον Λυγκέα ἐπιστολῇ ἐμνήσθη συάγρων πολλῶν. Ἐπεὶ δὲ σὺ καὶ τὸ

1 Ἄδωνι edd. 2 Νυμφᾶν corrigit Fiorillo & dein τὰν αὐτόστεγον: tum *vers. sq.* δύειν pro κλύειν; & *vs.* 3. ὃν pro ὦ. 3 ἐκβέλειον edd. 4 ὦ ed. Ven. & Baſ. οὗ τὰ πλεῖστ' legebat Dalec. & verſu praeced. κλύω.

65. Ne igitur tu quoque, *ſyagrum* quaerens, inareſcas, diſce uſurpaſſe ſic Antiphanem in Raptâ:

Prehenſum reducam aprum (τὸν σύαγρον) *domum*
hac ipſa nocte, & leonem, lupumque.

Et Dionyſius rex, in Adonide:

Nympharum ſub antrum nativo fornice tectum,
σύαγρον . . . . . .
. . . . . *primitias Diis conſecro.*

Lynceus vero Samius in Epiſtolâ ad Apollodorum haec ſcribit: »ut caprinam carnem pro pueris, aprugnam vero tibi & amicis habeas.« Atque etiam Hippolochus Macedo, cuius mentionem in ſuperioribus fecimus, in Epiſtolâ ad praedictum Lynceum multorum aprorum meminit. Quoniam tu vero etiam illam tibi propoſitam

προβληθέν σοι ἀποπροσπεποίησαι περὶ τῆς χρόας τοῦ Καλυδωνίου συὸς, εἴ τις αὐτὸν ἱστορεῖ λευκὸν τὴν χρόαν γεγονότα, ἐροῦμεν ἡμεῖς τὸν εἰπόντα. τὸ δὲ μαρτύριον ἀνίχνευσον σύ. πάλαι γὰρ τυγχάνω ἀνεγνωκὼς τοὺς Κλεομένους τοῦ Ῥηγίνου διθυράμβους· ὧν ἐν τῷ ἐπι-
b γραφομένῳ Μελεάγρῳ τοῦτο ἱστόρηται. Οὐκ ἀγνοῶ δὲ, ὅτι οἱ περὶ τὴν Σικελίαν κατοικοῦντες ἀσχέδωρον καλοῦσι τὸν σύαγρον. Αἰσχύλος γοῦν ἐν Φορκίσι, παρεικάζων τὸν Περσέα τῷ ἀγρίῳ τούτῳ συΐ, φησίν·

Ἄσχεδωρος, Sicula vox, Aeſchylo uſurpata.

Ἔδυ δ' ἐς ἄντρον ἀσχέδωρος ὡς. —

καὶ Σκίρας (εἷς δ' ἐστὶν οὗτος τῆς Ἰταλικῆς καλουμένης κωμῳδίας ποιητὴς, γένος Ταραντῖνος) ἐν Μελεάγρῳ [1] φησίν·

Ἔνθ' οὔτε ποιμὴν ἀξιοῖ νέμειν βοτὰ,
οὔτ' ἀσχέδωρος νεμόμενος καπρώζεται.

1 δέ φησιν edd.

quaeſtionem a te amandaſti, de colore Calydonii apri, an album fuiſſe tradiderit aliquis; nos auctorem qui id dixit declarabimus: ipſum vero teſtimonium tu inveſtiga. Nam plusculum effluxit temporis ex quo Cleomenis Rhegini Dithyrambos legeram: quorum in eo qui Meleager inſcribitur, id ipſum traditur. Nec vero ſum neſcius, a Siciliae incolis *aſchedorum* (ἀσχέδωρον) nominari aprum. Igitur Aeſchylus in Phorcidibus, apro comparans Perſeum, ait:

Subiit antrum, aſchedori ad inſtar.

Et Sciras (qui eſt unus ex Italicae, quae dicitur, Comoediae poëtis, genere Tarentinus) in Meleagro ait:

Ubi nec paſtor paſcere amat greges,
nec aſchedorus paſcens ſubat.

ὅτι δὲ Αἰσχύλος, διατρίψας ἐν Σικελίᾳ, πολλαῖς κέ- c
χρηται φωναῖς Σικελικαῖς, οὐδὲν θαυμαστόν.

LXVI. Περιεφέροντο καὶ ΕΡΙΦΟΙ πολλάκις, ποικίλως
HOEDI. ἐσκευασμένοι· ἄλλοι δὲ [1] καὶ πολὺ [2] τοῦ ὀποῦ ἔχοντες, οἵτινες οὐ τὴν τυχοῦσαν ἡδονὴν παρεῖχον ἡμῖν. καὶ γὰρ τὸ τῆς αἰγὸς κρέας προσιμώτατόν ἐστι. Κλειτόμαχος γοῦν ὁ Καρχηδόνιος, οὐδενὸς δεύτερος τῶν ἀπὸ τῆς νέας Ἀκαδημίας κατὰ τὴν θεωρίαν ὤν, Θηβαῖόν τινα ἀθλητὴν ὑπερβαλεῖν ἰσχύϊ φησὶ τοὺς καθ' ἑαυτὸν, κρέασιν αἰγείοις χρώμενον. εὔτονοι γὰρ καὶ γλί- d
σχροι χυμοὶ, καὶ πολὺν χρόνον ὑπομένειν ἐν τοῖς ὄγκοις δυνάμενοι. ἐσκώπτετο δὲ ὁ ἀθλητὴς, διὰ τὴν ἀπὸ τῶν ἱδρώτων δυσωδίαν. τὰ δ' ὕεια καὶ ἄρνεια κρέα, ἀδιαπόνητα ταῖς ἕξεσιν ὑπάρχοντα, [3] ῥᾷστα φθείρεται διὰ τὴν πιμελήν. Τὰ δὲ παρὰ τοῖς κωμῳδιποιοῖς

1 Forſ. ἄλλοι τε, aut ἄλλως τε. 2 καὶ πολλοῦ τοῦ ὀποῦ vulgo. 3 ἕξεσιν ἐνυπάρχοντα legebam.

Aeſchylum vero nil mirum eſt Siculis multis uſum vocibus, quippe in Sicilia aliquamdiu verſatum.

66. Circumferebantur ſaepe etiam HOEDI, variâ atque variâ ratione parati: & ſubinde multo laſerpitio conditi, qui haud vulgarem nobis voluptatem adferebant. Nam & caprina caro validiſſimum praebet nutrimentum. Clitomachus quidem Carthaginienſis, nulli ex novae Academiae doctoribus doctrinâ ſecundus, Thebanum quemdam athletam, ait, omnibus aequalibus robore praeſtitiſſe, quod caprinâ carne veſci conſueviſſet. Gignit enim ea ſuccos firmos viſcidosque, & qui in corporis ſubſtantiâ diu queant permanere. Ridebatur vero idem athleta ob ſudoris graveolentiam. Suilla vero & agnina caro, cum non elaborata exercitationibus ineſt in corporibus, facile corrumpitur ob pinguedinem. Coenae vero, de quibus loquuntur comici poëtae, ſua-

λεγόμενα δεῖπνα, ἡδίστην ἀκοὴν παρέχει τοῖς ὠτὶ μᾶλλον, ἢ τῇ φαρύγγι. ὥσπερ τὰ παρὰ Ἀντιφάνει μὲν ἐν Ἀκεστρίᾳ·

Α. Κρέα δὲ τίνος ἥδιστ' ἂν ἐσθίοις; Β. Τίνος;
εἰς εὐτέλειαν. τῶν προβάτων μὲν, οἷς ἔνι
e μήτ' ἔρια, μήτε τυρός. ἀρνός· φίλτατε.
τῶν δ' αἰγέων [1] κατὰ ταὐτὰ, ἃ μὴ τυρὸν ποιεῖ· [2]
ἐρίφου. διὰ τὴν ἐπικαρπίαν γὰρ τῶν ἀδρῶν, [3]
ταῦτ' ἐσθίων τὰ Φαυλότατ' [ἐγὼ] [4] ἀνέχομαι.

Ἐν δὲ Κύκλωπι φησί·

Τῶν χερσαίων δ' ὑμῖν ἥξει παρ' ἐμοῦ ταυτί·
βοῦς ἀγελαῖος, τράγος [5] ὑλιβάτης, [6] αἰξ οὐρανία, [7]
κριὸς τομίας, κάπρος ἐκτομίας, ὗς οὐ τομίας,
δέλφαξ, δασύπους, ἔριφοι, — — —

1 τῶν δὲ αἰγείων vulgo. 2 τυροποιεῖ edd. 3 ἀνδρῶν edd. 4 φαυλότατ' ἀνέχομαι edd. cum ms. *Ep.* φαῦλα ἀνεχ. ms. *A.* 5 ταῦρος ms. *Ep.* 6 ὑλιβάτας ed. Ven. & Baſ. ὑλιβάτας ms. *Ep.* ὑλοβάτης malebam. 7 οὐριβότας corrigit Fiorillo.

viores ſunt ad aures, quam ad palatum. Verbi cauſſâ, illa apud Antiphanem, in Aceſtriâ. [*id eſt*, in Sartrice; *ſive*, in Medicâ.]

A. *Quasnam carnes libentiſſime tu comedas?* B. *Quasnam?*
Frugalis ſum. Ex ovibus, illarum veſcor carne, quibus
nec lana, nec lac eſt: agninam dico, vir amiciſſime.
Ex caprino genere ſimiliter earum pecudum, quae caſeum
non praebent:
hoedorum dico. Nam propter fructum qui ex adultis ca-
pitur,
vilioribus hisce veſci non recuſo equidem.

In Cyclope vero ait:

E terreſtribus haec vobis aderunt, a me praebita:
bos gregalis, hircus ſylvivagus, capra coelum ſcandens,
aries exſectus, aper caſtratus, ſus non exſecta,
porcellus, lepus, cervi, — — —

τυρὸς χλωρὸς, τυρὸς ξηρὸς, τυρὸς κοπτὸς,
τυρὸς ξυστὸς, τυρὸς τμητὸς, τυρὸς πηκτός.

LXVII. Coena apud Mneſimachum.

Μνησίμαχος δ' ἐν Ἱπποτρόφῳ τοιαῦτα παρασκευάζει·

Βαῖν' ἐκ θαλάμων κυπαρισσορόφων [1] f
ἔξω, Μάνη· στεῖχ' εἰς ἀγορὰν,
πρὸς τοὺς Ἑρμᾶς, οὗ προσφοιτῶσ'
οἱ φύλαρχοι, τούς τε μαθητὰς
τοὺς ὡραίους, οὓς ἀναβαίνειν 5
ἐπὶ τοὺς ἵππους μελετᾷ Φείδων [2]
καὶ καταβαίνειν. οἶσθ' οὓς φράζω;
Τούτοις τοίνυν ἄγγελλ', ὅτιὴ [3]
ψυχρὸν τοὔψον, τὸ ποτὸν θερμὸν,
ξηρὸν φύραμ', ἄρτοι ξηροί· 10
σπλάχν' ὀπτᾶται χναῦ· [4] ἥρπασται a

1 κυπαρισσοτρόφων vulgo. 2 Φιδων edd. cum ms. *A.* 3 ὅτι edd. 4 χαύνῳ edd. χναυω Ms.

caſeus recens, caſeus ſiccus, caſeus tuſus,
caſeus raſus, caſeus ſectus, caſeus coagulatus.

67. Mneſimachus vero, in Hippotropho, (*i.e.* Equosalente) haecce adparat:

Prodi e thalamo cupreſſinis laqueato tabulis
foras, Manes! egredere in forum
ad Hermas illos, quo conveniunt
equitum tribuni, ad diſcipulosque
pulcros illos, quos conſcendere
equos curat Phidon,
& deſcendere. Noſti quos dicam?
His ergo nuncia,
frigeſcere obſonia, potum caleſcere;
areſcere maſſam, panes areſcere:
viſcera aſſari torrida: raptam

κρέας ἐξ ἅλμης, ἐξήρηται
τόμος ἀλλᾶντος, τόμος ἠνύστρου,
χορδῆς ἕτερος, φύσκης ἕτερος·
διαλαιμοτομεῖθ' ὑπὸ τῶν ἔνδον·
κρατὴρ ἐξερροίβδητ' οἴνου·
πρόποσις χωρεῖ· λείπεται σκόρδαξ· [1]
ἀπολασταίνει νοῦς μειρακίων· [2]
πάντες [3] δ' ἔνδον τὰ κάτωθεν ἄνω.
Μέμνησ' [4] ἃ λέγω· πρόσεχ' οἷς φράζω.
Χάσκεις αὐτός; [5]
Βλέψον δεῦρ', εἴ πως αὐτὰ φράσεις. [6]
αὐτίκ' ἐρῶ σοι πάλιν ἐξ ἀρχῆς.
Ἥκειν ἤδη, καὶ μὴ μέλλειν·
b τῷ τε μαγείρῳ μὴ [7] λυμαίνεσθ'·
ὡς τῶν ὄψων ἐφθῶν ὄντων,

1 κόρδαξ ms. *Ep.* 2 μειραχίου edd. μειράκιον Ms. 3 Απάντα? 4 μέμνηθ' edd. μέμνησθ' ms. *A.* 5 Forſ. οὕτος; 6 φράζεις ed. Ven. Baſ. Caſ. 1. φράζοις ed. Caſ. 2. 3. 7 μήτε λυμαιν. edd.

carnem e muria, direptumque
hillae fruſtum, fruſtum omaſi,
aliud chordae, aliud botuli:
gulam implere hos qui ſunt intus:
vini craterem iam dum exhauſtum:
procedere potum; ſupereſſe cordacem:
laſcivire animos adoleſcentium;
omniaque intus ſurſum deorſum.
Memento quae dixi; ad verba adtende.
Stas ore hiante?
Huc ades! diſpice, dicere an poſſis.
Statim ab initio cuncta tibi repetam.
Iam veniendum, nec ceſſandum,
nec faciendam coquo iniuriam:
eſſe quippe elixa obſonia,

ὀπτῶν ὄντων, ψυχρῶν ὄντων,
καθ' ἕκαστα λέγων. βολβός, ἐλαία,
σκόροδον, καυλός, κολοκύντη, [1] ἔτνος,
θρίον, φυλλάς· θύννου τεμάχη,
γλάνιδος, γαλεοῦ, ῥίνης, γόγγρου·
φυξίκινος [2] ὅλος, κορακῖνος ὅλος,
μεμβρὰς, σκόμβρος, θυννὶς, κωβιὸς,
ἠλακατῖνος, [3] κυνὸς οὐραῖον
τῶν καρχαριῶν, νάρκη, βάτραχος·
πέρκη, σαυρὸς, τριχίας, φυκὶς,
βρίγχος, [4] τρίγλη, κόκκυξ, τρυγὼν,
σμύραινα, φάγρος, μυλλὸς, λεβιὰς,
σπάρος, [5] αἰολίας, θράττα, χελιδὼν,
καρὶς, τευθὶς, ψῆττα, δρακαινὶς,
πουλυποδάριον, [6] σηπία, ὀρφὼς,

1 κολοκύνθα ed. Caſ. κολοκύντα ed. Ven. & Baſ. 2 φυξίνικος Dalec. Sed neutrum verum videtur. 3 ἠλακατῆνες alibi. 4 βρίγκος alibi. 5 σκάρος hîc inferunt ed. Ven. & Baſ. cum Msto. σκάρις ed. Caſ. 6 πολυπόδιον vulgo.

eſſe aſſa, eſſe frigida.
Singula recenſe. (Adeſt) *bulbus*, (adeſt) *oliva*,
allium, *caulis*, *cucurbita*, *puls ex legumine*,
thrium, *herbulae*, *thynni fruſta*,
glanidis, *galei*, *ſquatinae*, *congri*,
phyxicinus integer, *coracinus integer*,
membras, *ſcomber*, *thynnis*, *gobius*,
elacatinus, *cauda canis*
carchariae, *torpedo*, *rana*,
perca, *lacertus*, *trichias*, *phycis*,
brinchus, *mullus*, *cuculus*, *turtur*,
muraena, *pager*, *myllus*, *lebias*,
ſparus, *aeolias*, *thratta*, *hirundo*,
ſquilla, *loligo*, *paſſer*, *dracaenis*,
polypodarium, *ſepia*, *orphus*,

κάραβος, ἐσχάρος, ἀφύαι, βελόναι,
κεστρεὺς, σκορπίος, ἔγχελυς, ἄρτοι.
κρέα τἄλλα, τὸ πλῆθος ἀμύθητον·
χηνὸς, χοίρου, βοὸς, ἀρνὸς, οἰὸς,
κάπρου, αἰγὸς, ἀλεκτρυόνος, νήττης,
κίττης, πέρδικος, ἀλωπεκίου.
καὶ μετὰ δεῖπνον θαυμαστὸν ὅσ' ἐστ'
ἀγαθῶν πλήθη.
πᾶς δὲ κατ' οἴκους μάττει, πέττει,
τίλλει, κόπτει, τέμνει, εὐεῖ,
χαίρει, παίζει, πηδᾷ, δειπνεῖ,
d πίνει, σκιρτᾷ, λορδοῖ, κεντεῖ,
βινεῖ. [1] σεμναὶ δ' αὐλῶν ἀγαναὶ [2]
φωναὶ, μολπὰ, κλαγγὰ, [3] θράττει,

1 κινεῖ ms. *Ep.* Fortaſſe & hoc verbum, & alia nonnulla deinde, perperam contextui illata ſunt, & aliter diſtribuendi erant verſus. 2 ἄγαν αἱ vulgo. 3 μολπῇ, κλαγγῇ, edd. μολπαὶ, κλαγγαὶ, corr. Caſ. In ms. *A.* inter lineas μολπὴ, κλαγγή.

locuſta, eſcharus, apuae, acus,
ceſtreus, ſcorpius, anguillae, panum varia genera.
Aliae carnes innumerabiles:
anſeris, porci, bovis, agni, ovis,
apri, caprae, galli, anatis,
picae, perdicis, vulpeculaeque.
Et poſt coenam mirum quantum
aderit bonorum.
Quisque in aedibus pinſit, coquit,
vellit, ferit, ſecat, uſtulat,
gaudet, ludit, ſaltat, comedit,
bibit, tripudiat, procumbit, pungit.
Suaves tibiarum magnificique
ſoni, cantus, clangores. . . .

νεῖται, πνεῖται, κούραν. [1] Κασίας
ἀπὸ γᾶς ἁγίας, [2] ἁλίας, Συρίας [3]
ὀσμὴ σεμνὴ μυκτῆρα δονεῖ
λιβάνου μακροῦ, [4] σμύρνης, καλάμου,
στύρακος καὶ βαρυλίνδου, κίνδου, μισθοῦ, μίν-
θου. [5] 60
τοιάδε δόμους ὁμίχλη κατέχει
πάντων ἀγαθῶν ἀνάμεστος. [6]

LXVIII. Rhoduntia patina.

Ἐπὶ τούτοις λεγομένοις παρηνέχθη ἡ Ῥοδουντία καλουμένη λοπάς· περὶ ἧς ἐξεταγώδησεν ὁ σοφὸς ἐκεῖνος μάγειρος, πρὶν καὶ ἐπιδεῖξαι ὅ τι φέρει. διε- e χλεύαζέ τε τοὺς πάνυ μαγείρους γενομένους, ὧν καὶ μνημονεύων ἔφη· τί τοιοῦτον ἐξεῦρεν ὁ παρὰ Ἀνδίππῳ τῷ κωμικῷ μάγειρος, ὃς [7] ἐν τῷ Ἐγκαλυπτομένῳ τοιάδε ὠγκώσατο· [8]

1 Iungunt vulgo κούραν κασίας, & interpungunt poſt πνεῖται. 2 ἁγίας edd. 3 Poſt Συρίας interpungunt edd. 4 Abeſt μακροῦ ms. *Ep.* 5 In mendoſis vocibus nil mutat ms. *A.* Pro μισθοῦ, eſt κισθοῦ in ed. Caſ. In ms. *Ep.* ſcribitur: στύρακος λίνδου κίνδου μίνθου. 6 ἀναμέστους Dalec. 7 Deeſt vulgo pronomen. 8 ἠγκώσατο edd. ἀγκώσατό ms. *A.*

. . . . . .
Caſſiâ e terrâ ſanctâ Syriâ
odor eximius nares laceſſit,
turis, myrrhae, calami, ſtyracis,
. . . . . .
Taliş aedes nebula occupat,
cunctis bonis repleta.

68. His dictis inferebatur *Rhoduntia* quae vocatur *patina*: de qua multas tragoedias excitavit ſapiens ille coquus, priusquam, quid eſſet quod adferret, oſtenderet: riſitque celebres illos coquos, qui olim exſtiterunt; quos nominatim etiam commemorans, ait: Quidnam tale invenit ille apud Anthippum comicum coquus, qui in fabulâ Velato hunc in modum gloriatur:

Coqui oſtentatio.

A. Σόφων Ἀκαρνὰν καὶ Ῥόδιος Δαμόξενος
ἐγένονθ' ἑαυτῶν συμμαθηταὶ τῆς τέχνης·
ἐδίδασκε δ' αὐτοὺς Σικελιώτης Λάβδακος.
f οὗτοι τὰ μὲν παλαιὰ καὶ θρυλλούμενα
ἀρτύματ' ἐξήλειψαν ἐκ τῶν βιβλίων,
καὶ τὴν θυείαν [1] ἠφάνισαν ἐκ τοῦ μέσου·
οἷον λέγω, κύμινον, ὄξος, σίλφιον,
τυρὸν, κορίαννον· οἷς ὁ Κρόνος ἀρτύμασιν
ἐχρᾶτο, πάντα. Φλέδονά τ' εἶναι ὑπέλαβον [2]
a τὸν τοῖσι τούτοις [3] παντοπώλην [4] χρώμενον.
αὐτοὶ δ' ἔλαιον [5] καὶ λοπάδα καινὴν, πάτερ,
πῦρ τ' ὀξὺ καὶ μὴ πολλάκις φυσώμενον
ἐποίουν· ἀπὸ τούτου πᾶν τὸ δεῖπνον εὐτρεπές.
οὗτοι τε πρῶτον δάκρυα καὶ πταρμὸν πολὺν

1 θυίαν ed. Baſ. & Caſ. θυΐαν ed. Ven. cum ms. *Ep.* 2 Vulgo πάντα φίλαν τὸ εἶναί θ' ὑπέλαβον. ἠλίθιον εἶναί θ' corrigebat Toup. Simplicius fuerat, φαῦλον εἶναί θ' ὑπελ. 3 Deeſt vulgo τούτοις. 4 παντοπάλαις edd. 5 αὐτοὶ δ' ἐλεόν τε Toup.

A. *Sophon Acarnan Damoxenusque Rhodius*
fuerunt hac in arte condiſcipuli:
praeceptor illis fuerat Siculus Labdacus.
Hi quidem vetera & pervulgata
deleverunt e libris condimenta,
& mortarium e medio ſuſtulerunt;
cuminum, inquam, acetum, ſilphium,
caſeum, coriandrum; omnia, quibus Saturnus condimentis
uſus olim erat. Nugatoremque exiſtimabant eſſe,
qui iſtis omnibus uteretur, ſcrutarium.
Ipſi vero oleum [ſive, *menſam coquinariam*] *& patinam*
novam, o pater,
& ignem acrem, non identidem ſuſflandum,
fecerunt: [invexerunt:] *harum rerum ope fit quaevis*
coena ſpecioſa.
Hi primum lacrymas, & multam ſternutationem,

ἀπὸ [1] τῆς τραπέζης καὶ σίαλον ἀπήγαγον,
τῶν τ' ἐσθιόντων ἀνεκάθηραν [2] τοὺς πόρους.
Ὁ μὲν οὖν Ῥόδιος, πιών τιν' ἄλμην, ἀπέθανε·
παρὰ τὴν Φύσιν γὰρ τὸ ποτὸν ἦν. Β. Μάλ' εἰκότως. b
Α. Ὁ Σόφων δὲ πᾶσαν τὴν Ἰωνίαν ἔχει·
ἐμὸς γενόμενος, ὦ πάτερ, διδάσκαλος.
Καὐτὸς φιλοσοφῶ, [3] καταλιπεῖν συγγράμματα
σπεύδων ἐμαυτοῦ καινὰ τῆς τέχνης. Β. Παπαί·
ἐμὲ κατακόψεις, οὐχ ὁ θύειν μέλλομεν.
Α. Τὸν ὄρθρον ἐν ταῖς χερσὶν ὄψει βιβλία
ἔχοντα, καὶ ζητοῦντα τὰ [4] κατὰ τὴν τέχνην.
οὐδὲν χονδρεύου σοι [5] διαφέρω τ' Ἀσπενδίου. c
γεύσω δ', ἐὰν βούλησθε, τῶν εὑρημένων.
Οὐ ταὐτὰ προσάγω πᾶσιν αἰεὶ [6] βρώματα
τεταγμένα. [7] εὐθὺς ἔστι μοι πρὸς τὸν βίον·

1 ὑπὸ edd. 2 ἀνεκάθαρεν edd. 3 φιλόσοφα καταλιπ. edd. 4 Deest τὰ vulgo. 5 χονδρεύουσι Ms. χοροῦ σοι corr. Casaub. χορευτοῦ διαφ. Toup. 6 ἀεὶ vulgo. 7 τὰ τεταγμέν' edd.

a menſa & ſalivam removerunt,
& comedentium expurgarunt meatus.
Ac Rhodius quidem ille, epotâ quadam muriâ obiit;
erat enim potio contra naturam. B. *Meritum tulit praemium.*
A. *Sophon vero univerſam Ioniam tenet:*
is mihi, o pater, praeceptor fuerat.
Atque etiam ego philoſophiae do operam, relinquere libros
parans novos ſuper arte meâ. B. *Papae!*
me enecabis, non victimam immolandam.
A. *Mane me videbis manibus libros*
tenentem, quaerentemque quae ad artem pertinent.
Nihil ego tibi differo a [citharoedo] *Aſpendio.*
Specimen, ſi vultis, meorum dabo inventorum.
Non eosdem ſemper cibos adpono omnibus
definitos. Sunt mihi alii, ſtatim in communis vitae uſum:

ἕτερ᾽ ἐστὶ τοῖς ἐρῶσι, καὶ τοῖς Φιλοσόφοις,
καὶ τοῖς τελώναις. Μειράκιον, ἐρωμένην
ἔχον, πατρῷαν [1] οὐσίαν κατεσθίει·
τούτῳ παρέθηκα σηπίας καὶ τευθίδας,
καὶ τῶν πετραίων ἰχθύων τῶν ποικίλων,
ἐμβαμματίοις [2] γλαυρῖσι κεχορηγημένα.
d ὁ γὰρ τοιοῦτός ἐστιν οὐ δειπνητικὸς,
πρὸς τῷ [3] φιλεῖν δὲ τὴν διάνοιαν ἔστ᾽ ἔχων.
Τῷ Φιλοσόφῳ παρέθηκα κωλέαν, πόδας·
ἀδηφάγον [4] τὸ ζῷον εἰς ὑπερβολὴν
ἐστίν. Τελώνῃ γλαῦκον, ἔγχελυν, σπάρον,
ὅταν ἐγγύς· ἢν δ᾽ οὔ [5] ὕστερος, ἀρτύω φακῆν.
Καὶ τὸ περίδειπνον τοῦ βίου λαμπρὸν ποιῶ.
Τὰ τῶν γερόντων στόματα διαφορὰν ἔχει,
νωθρότατα [6] πολλῷ δ᾽ ἐστὶν ἢ τὰ τῶν νέων.

1 τὴν πατρῴαν vulgo. 2 ἐν βαμματ. edd. 3 πρὸς τὸ ed. Baſ. & Caſ. 4 ἀδηφάγων edd. 5 ἢν δ᾽ ὁ δ᾽ edd. 6 νωθρότερα corr. Toup.

ſunt alii pro amantibus, alii pro philoſophis,
pro publicanis alii. Adoleſcens, amaſiam
habens, patrimonium dilapidat:
huic adpono ſepias & loligines,
& ex ſaxatilium genere piſcium variegatorum,
lautis intinctibus condecorata omnia.
Is enim coenaturus multi non eſt cibi,
ſed oſculis intentus eſt ei animus.
Philoſopho pernam adpono pedesque:
eſt enim vorax admodum hoc animal.
Publicano glaucum, anguillam, ſparum,
ſi in promtu eſt; qui ſi ceſſat, condio lenticulam.
Silicernium item ſplendidum facio.
Senum eſt aliud, aliud palatum iuvenum:
multo illorum, quam horum, obtuſius.

σίναπι τούτοις παρατίθημι, [1] καὶ ποιῶ 45 e
χυλοὺς ἐχομένους δριμύτητος τὴν φύσιν,
ἵνα διεγείρας πνευματῶ τὸν ἀέρα.
Ἰδὼν τὸ πρόσωπον γνώσομ', οὗ [2] ζητεῖ φαγεῖν
ἕκαστος ὑμῶν.

LXIX.

Aliud, Coquus: aliud, Obsonifex.

Καὶ ὁ παρὰ Διονυσίῳ [3] δὲ ἐν Θεσμοφόρῳ μάγειρος, ἄνδρες δαιταλεῖς· (οὐ χεῖρον γὰρ καὶ τούτου μνησθῆναι τί φησί·)

Σφόδρα μοι [4] καὶ χάρις αἰεὶ μία, νὴ τοὺς θεούς,
ταυτὶ προεῖπας. [5] τὸν μάγειρον εἰδέναι f
πολὺ δεῖ γὰρ αἰεὶ [6] πρότερον οἷς μέλλει ποιεῖν
τὸ δεῖπνον, ἢ τὸ δεῖπνον [7] ἐγχειρεῖν ποιεῖν.
ἂν μὲν γὰρ ἕν τις τοῦτ' [8] ἐπιβλέψῃ μόνον, 5
τοῦψον ποιῆσαι κατὰ τρόπον πῶς δεῖ· τίνα

1 Vulgo παρατιθ. σίναπι τούτοις. 2 εἰ ζητεῖ vulgo. Poſſis & ἃ ζητεῖ corrigere. 3 Διονύσῳ edd. 4 Σφοδρά μοι legebam. Suſpectus merito locus, varie tentatus ab interpretibus. 5 Non hîc vulgo, ſed poſt εἰδέναι interpungunt. 6 ἀεὶ edd. & ſic paulo ante. 7 Deſunt tria verba ἢ τὸ δεῖπνον edd. 8 Vulgo ἐὰν μὲν γὰρ ἕν τις οὗτ' ἐπιβλ.

Illis ſinapi adpono, ſuccosque paro
multa quibus ineſt naturâ acrimonia,
ut ſpiritus eorum excitem ſuſſlemque.
